ANECDOTA GRÆCA

E CODD. MANUSCRIPTIS

BIBLIOTHECARUM OXONIENSIUM

DESCRIPSIT

J. A. CRAMER, S. T. P.

AULÆ NOVI HOSPITII PRINCIPALIS,

NECNON

ACADEMIÆ ORATOR PUBLICUS.

VOL. I.

OXONII,

E TYPOGRAPHEO ACADEMICO.

MDCCCXXXV.

MONITUM LECTORI.

QUOD jam olim optabat Kusterus (Suid. T. II. p. 78.), ut opuscula Græca quæ adhuc inedita latent in bibliothecis nostris publici juris fierent, id nunc tandem adjuvantibus preli Academici Delegatis effectum est habiturum. Hæc Anecdota, quorum evulgandorum curam in nos suscepimus, grammatici plerumque sunt generis: et quanquam haud maximi esse momenti fatendum sit, neque cum iis quæ Im. Bekkero debemus conferenda; ita tamen haud contemnenda, neque Doctorum Virorum in Græcis literis peritorum studiis indigna esse confidimus.

Hoc primo volumine continentur anonymi cujusdam auctoris Ὁμήρου Ἐπιμερισμοὶ, i. e. exercitationes grammaticæ in Homericas voces quamplurimas secundum seriem alphabeticam digestas. Hæc a nobis descripta sunt e Cod. MS. cujus usum nobis concesserunt Coll. Nov. Custos et Socii. Hæc vocum collectio a nemine præter Bentleium in fragm. Callim. antehac notata, imprimis nobis visa est digna quæ publici juris fieret, tum quod multa habet ex antiquis scholiastis et grammaticis deprompta, quæ ad illustrandum poetarum principem conducant, tum quod alia ex parte multa profert, quæ ad emendanda duo Lexica Etymologica, Magnum dico et Gudianum, inserviant. Licet enim plurima cum duo-

bus his lexicis communia habeat, raro tamen in eadem voce explicanda cum utroque ad verbum quadrat, sed varietatem quandam exhibet, præcipue in exemplis ab antiquis scriptoribus desumptis, quorum segetem haud contemnendam præbet; ita ut vix ullus exstet inter optimæ notæ poetas, quem non aliquot fragmentis subinde auctum esse videamus. De auctore hujusce collectionis nihil compertum habemus; nam cum in promptu esset de Herodiano, doctissimo veterum grammatico, et Ἐπιμερισμῶν auctore cogitare, id vetuerunt tum ipsius nomen sæpius laudatum, tum indicia Christiani hominis sacræ scripturæ loca citantis. Herodiani etiam esse negat Bentleius ad Callimachi fr. CCCVI. Satius erit ergo ad Byzantinæ recentioris scholæ quendam, sive Chœroboscum, sive alium, certe haud indoctum grammaticum, referre. Et potuit quidem ex Epimerismis Herodiani, quæ nullibi tamen nominat, plurima hausisse; sane visus est nobis habere quædam quæ ex isto opere se sumsisse affirmat Theognostus Grammaticus, mox a nobis fortasse edendus.

In his Epimerismis vulgandis hæc nobis præcipua fuit cura, ut textum codicis summa cum fide ubique exhiberemus, nulla mutatione facta, nisi ubi manifesta esset depravatio; sed neque hoc tacite, neque omissa interim falsæ scripturæ indicatione. Opus critica supellectile augere supersedimus; paucis solummodo, quæ nobis quasi currente calamo inter describendum occurrebant, adnotatis. Plus laboris insumsimus in locis Homericis pene innumeris secundum indicem Seberianum indicandis. Duos etiam indices adjecimus, unum auctorum citatorum,

alterum glossarum, quarum sub unaquaque litera nullus servatur ordo.

Restat ut pauca de Codice ipso, qui in Catalogo Bibl. Nov. Coll. num. 298. signatur, insuper moneamus. Est chartaceus formæ in fol., sæculo decimo quarto fere ineunte, eadem, si paucula excipias, manu exaratus, eaque parum eleganti, et propter scripturæ compendia interdum lectu difficili. Folia numerantur 250.

Fol. 1—6. continet Tzetzis Metaphrasin Iliados sed initio et fine mancam.

Fol. 7. intervenit Ilias cum Scholiis interlinearibus et marginalibus quæ a vulgatis parum videntur discrepare.

Fol. 107. sequuntur Homeri Rhapsodiarum allegoricæ Interpretationes ejusdem, ut videntur, Tzetzis, quæ tamen non ultra M procedunt.

Fol. 120. Schol. in Iliad., quæ cum Venet. A fere videntur consentire, sed desinunt in B. v. 264. et scripta sunt recentiori manu.

Fol. 127. Τοῦ Ὁμήρου Ἐπιμερισμοὶ, non ii quidem quos hodie vulgamus, sed breviores, et ad Homeri textus normam sicut Scholia confecta. Incipiunt, Μῆνιν· μῆνις γέγονε παρὰ τὸ μένω ῥῆμα· μῆνις ὄνομα προσηγορικὸν ῥηματικὸν, καὶ κατ' ἐπέκτασιν τοῦ ε εἰς η, μῆνις· ἡ ἐναπομείνασα ὀργὴ μῆνις καλεῖται, καὶ ἄλλως μάνις τις ἐστὶ ἡ μῆνις, ἢ παρὰ τὴν μανίαν, ἐοίκασι γὰρ μαινομένοις οἱ ὀργιζόμενοι. Explicantur postea Ἄειδε· Πηληϊάδεω· Ἀχιλῆος· et quæ sequuntur deinceps usque ad finem lib. A. Tales Ἐπιμερισμοὺς habet et Codex Bibl. Reg. Paris. olim Coislin. No. 387. quod jam observaverat Montfaucon Bibl. Coislin. p. 598. sed horum pleniorem

notitiam debemus benignitati Car. Bened. Hase de hac re a nobis consulti. Insunt in eod. Cod. Paris. quædam cum iis quos hodie luci damus Ἐπιμερισμοῖς consimilia, sed est parva tantum portio operis in brevius redacta et exemplis omnino destituta. Explicantur voces Ἄλλος, Ἄριστος, Ἀτρεκέως, Ἄρβα, Ἀμβρόσιος, Ἀνήσει, Ἀναθυμὸν, Αὐτὰρ, Ἀρτύνω, Ἄγχιστα, Αἴκεν, Αὐτῆς, Ἄτη, Ἀριθμηθήμεν, Αὔτως, Ἀκράαντον, Ἀλλήλοις, Αἰγιόχοιο, Αἴης, &c. &c.

Hæc speciminis loco subjungere non pœnitebit:

Fol. 219. r. *Ἐπιμερισμοὶ κατὰ στοιχεῖον τοῦ* Ὁ*μήρου, τοῖς φιλομαθέσι καὶ σπουδαίοις ὠφέλιμοι.* Ἄλλος· *διὰ τί ἐστιν ἀσύναρθρον; ἐπειδὴ αἱ ἀντωνυμίας πρώτως δεῖξιν σημαίνουσιν, οἷον ἐγὼ, σὺ, τὰ δὲ ἄρθρα ἀναφορὰν δηλοῦσιν· ἐναντία δέ ἐστιν ἡ δεῖξις τῆς ἀναφορᾶς.* Οἱ *ἄλλοι· ἀσύναρθρόν ἐστι διότι ἐν ὀρθῇ καὶ πλαγίᾳ πτώσει νοεῖται· ὁποτέρᾳ οὖν πτώσει προσέλθοι τὸ ἄρθρον, ἀκαταλλότητα παρέξει.* Ἄλλος *ἐκ τοῦ ἄλαλος γέγονε κατὰ συγκοπὴν, διότι τὸ ἄλλος ἀναιρετικόν ἐστι τῶν ὡρισμένων προσώπων, καὶ ὄνομά ἐστιν ἢ ἀντωνυμία.* Εἰσὶ *γάρ τινες λόγοι οἱ ἕλκοντες αὐτὸ ὡς ἀντωνυμίαν καὶ μὴ ὄνομα· ἐπειδὴ ὃν τρόπον τὸ ἐκεῖνος καὶ τὸ οὗτος ποιοῦσι τὰ οὐδέτερα αὐτῶν, ἀποβολῇ τοῦ ν, οἷον ἐκεῖνο, τοῦτο, τὸν αὐτὸν τρόπον ἔχει καὶ τὸ ἄλλο οὐδέτερον, ἀποβολῇ τοῦ ν· σεσημείωται τὸ ἄλλο, τοῦτο, καὶ τὰ ὅμοια.* Ἕ*τερος δὲ λόγος ἐστὶ τοῦ μὴ εἶναι ἀντωνυμίαν· πῶς δέ ἐστιν;* Ἀ*ντωνυμία λέγεται ἀντ' ὀνόματος, τὸ δὲ ἄλλος ἐστὶν ἀόριστον· διότι τὸ ἐκεῖνος καὶ τὸ οὗτος καὶ τὰ λοιπὰ ἢ δεῖξιν σημαίνει ἢ ἀναφορὰν, τὸ δὲ ἄλλος οὔτε δεῖξιν σημαίνει οὔτε ἀναφοράν· καὶ ἔστιν ὄνομα τὸ ἄλλος καὶ κλητικὴν οὐκ ἔχει, διότι ἡ κλῆσις τῆς φύσεως μάχεται τῇ σημασίᾳ τοῦ ὀνόματος.* Ἄλλο, *τοῦτο· διὰ τί σεσημείωται;* Τὰ *ἐπὶ τῶν οὐδετέρων παρασχηματιζόμενα ἀρσενικοῖς καὶ ὁμοφωνοῦντα τῇ αἰτιατικῇ τοῦ ἀρσενικοῦ, τὸ ἄρθρον ἐστὶ τὸ δια-*

κρίνον. Ἐὰν μὲν γὰρ εἴπω σοφὸν, τοῦτο ἄδηλον εἰ τῆς εὐθείας οὐδετέρας ἢ τῆς αἰτιατικῆς ἀρσενικῆς, προσερχομένων δὲ τῶν ἄρθρων διαφορὰν ποιοῦσιν. Ἐὰν μὲν γὰρ εἴπω, τὸν σοφὸν, τοῦτό ἐστιν αἰτ. ἀρσενικοῦ, ἐὰν δὲ, τὸ σοφὸν, εὐθεῖα οὐδετέρου κ. τ. λ.

Fol. 228. v. Αἲ ἐπίῤῥημα εὐχῆς σημαίνει· τοῦτο ἐκ τοῦ εἰ τοῦ σημαίνοντος τὸ εἴθε, τροπῇ τοῦ ε εἰς α, καὶ ἀπομένει τὸ ι, καὶ γίνεται αἴ.

Ἀθηναίη· τὸ ναι ὡς δίκη, δικαία. Ἔστι γὰρ Ἀθήνη, Ἀθηναία, παρὰ τοῦ θῶ, τὸ θηλάζω· ὁ μέλλων, θήσω, θήνη καὶ Ἀθήνη (ἀμήτωρ γὰρ ἡ θεὸς παραλαμβάνεται), ἔστιν Ἀθηναία· καὶ ὥσπερ Ναυσικάα κατὰ κρᾶσιν τῶν δύο α εἰς α μακρὸν γίνεται Ναυσικᾶ, οὕτως καὶ ἀπὸ τοῦ Ἀθηναία ἀποβολῇ τοῦ ι γίνεται Ἀθηνάα, καὶ κράσει τῶν δύο α εἰς α μακρὸν γίνεται Ἀθηνᾶ· ἐξ οὗ καὶ περισπᾶται. Πᾶσα συναίρεσις.

Ἀπόλλων· καὶ κλίνεται Ἀπόλλω. Ὁ κανών· Τὰ εἰς λων ὀνόματα βαρύτονα, εἴτε δισύλλαβα εἴτε ὑπὲρ δύο συλλαβὰς, φυλάττει τὸ ω καὶ ἐπὶ γενικῆς, οἷον Ἀσκάλων Ἀσκάλωνος, Ἀπόλλων, Δόλων· καὶ ἔστιν ἡ κλητικὴ Ἄπολλον, καὶ ἀναβιβάζει τὸν τόνον. Ὁ κανών· Τὰ εἰς ων σύνθετα, ὅταν κ. τ. λ.

Fol. 139. nostri cod. insunt Allegoriæ Homericæ quæ Heraclidi Pontico vulgo tribuuntur. Inc. Προλεγόμενα Ἀλληγοριῶν τῆς Ἰλιάδος· terminantur autem fol. 142. r. περὶ τοῦ Διὸς ἀσεβῶν· sunt ibi quædam notabiles lectiones, unde unus et alter mutilus locus suppleri, plures autem emendari poterint. Et hæc quidem in nova Homeri editione ab Academia in lucem emissa restituentur.

Fol. 145. Ὁμήρου Ἐπιμερισμοὶ κατὰ Ἀλφάβητον.

Fol. 245. Σημαινόμενα τῶν λέξεων κατὰ στοιχεῖον· Ἀρετὴ σημαίνει δύο, τὴν κατὰ πόλεμον ἀνδρίαν,

οἶδ' ἀρετὴν οἷος ἐσσὶ,

ὅτε δὲ ψιλῶς χωρὶς τῆς ἀνδρείας,

ἀλλ' ἐθέλεις ἀρετὴν σὴν διαφαίνεμεν.

Αὔω σημαίνει τέσσαρα, κ. τ. λ. Hæc usque ad fol. 250. quod est voluminis ultimum, recentissima autem manu scriptum.

ΑΡΧΗ ΣΥΝ ΘΕΩ ΤΩΝ ΟΜΗΡΟΥ

ΕΠΙΜΕΡΙΣΜΩΝ ΚΑΤ' ΑΛΦΑΒΗΤΟΝ.

Ἄριστος: (Il. A. 69.) Παρὰ τὸ ἀρείων· τοῦτο παρὰ τὸ ἄρης, ὃ σημαίνει τὸν πόλεμον· γίνεται συγκριτικὸν, ἀρείων ἄριστος· ἐξ οὗ ἄριστος κυρίως, ὁ ἐν πολέμῳ ἀνδραγαθῶν· καταχρηστικῶς, καὶ ὁ ἐν οἵῳ δή ποτε πράσει[a], παρὰ τὸ ῥῶ τὸ λέγω, καὶ τοῦ στερητικοῦ α· ἐν πολέμῳ γὰρ οὐ λόγων ἀλλ' ἔργων χρεία.

Ἀτρεκέως: (Il. B. 10.) Ἐπίρρημα μεσότητος παρὰ τὸ δέρκω τὸ βλέπω· ὄνομα δερκὲς, καὶ κατ' ἐπέκτασιν τοῦ α γίνεται ἀδερκὲς, τὸ λίαν ὑπερβλέπον, καὶ τοῦ δ τροπῇ εἰς τ. ἀτρεκές· τὸ λίαν ὑπερβλεπόμενον· ἢ παρὰ τὸ τρέχω, τὸ μὴ παρατρέχον τὴν ἀλήθειαν· ἢ παρὰ τὸ τρέπω, τὸ μὴ παρατρέπον[b].

Ἀγυιά: Διατὶ ἔχει τὸ ἰῶτα; τὰ διὰ τοῦ ια θηλυκὰ ὑπὲρ δύο συλλαβὰς προπαροξύτονα, τῷ ἰῶτα θέλει παραλήγεσθαι· οἷον ἅρπυια· Εἰλείθυια· αἴθυια· Ὠρείθυια· ἄγυια· σεσημείωται τὸ μητρυιὰ παραληγόμενον τῷ ἰῶτα καὶ ὀξυνόμενον. καὶ ἀναλογώτερόν ἐστι τὸ ἄγυια.

μέσην ἐς ἄγυιαν ἰοῦσαι[c]. (Il. Υ. 254.)

Ἀμβρόσιος: (Il. B. 19.) Τὸ σι ἰῶτα· τὰ διὰ τοῦ ιο κτητικὰ ἀπὸ πρωτοτύπων τῶν εἰς οσ γινομένων, εἰ μὲν μεταβάλλουσι τὸ τ εἰς σ διὰ τοῦ ἰῶτα γράφεται· οἷον ἀκήρατος ἀκηράσιος· ἄμβροτος ἀμβρόσιος· εἰ δὲ φυλάττουσι τὸ τ, διὰ τῆς ει διφθόγγου γράφεται· Ἀρχέστρατος Ἀρχεστράτειος· Καλλίστρατος Καλλιστράτειος· χωρὶς εἰ μὴ ὦσιν ἐνικὰ, ὡς τὸ Βοιωτὸς Βοιώτιος. καὶ Αἴγυπτος Αἰγύπτιος· γίνεται δὲ παρὰ τὸ

[a] Leg. πράγματι cum Etym. M. p. 143, 11. et Gud. p. 77, 40. ad quem noster proxime accedit. [b] Cf. Etym. M. in Ἀτρεκὲς p. 165, 23. [c] Congr. cum Etym. M. p. 14, 21. sub ead. v.

ἄμβροτος, τοῦτο παρὰ τὸ βροτὸς, καὶ τοῦ στερητικοῦ α, καὶ πλεονασμῷ τοῦ ν καὶ τροπῇ τοῦ νυ εἰς μυ, τὸ θηλυκὸν ἀμβροσία. καὶ σημαίνει τὴν ἀθανασίαν· ἀμβροσία δὲ, ἡ ὄντως σοφία θεοῦ[d].

Ἀνήηι:

εὖτ' ἄν σε μελίφρων ὕπνος ἀνήῃ. (Il. B. 34.)

ῥῆμα ὑποτακτικὸν τῶν εἰς μι· ἀνῶ, ἀνῇς, ἀνῇ, καὶ πλεονασμῷ τοῦ η ποιητικῶς· ὡς τὸ στῶ, στῇς στήῃ· γίνεται ἀνήῃ· ἀνήσειεν τῶν εἰς μι ὥσπερ τὸ τύψειεν.

Ἄφθιτον: (Il. B. 46.) Ἐκ τοῦ φθιτὸς καὶ τοῦ α τοῦ στερητικοῦ· τοῦτο παρὰ τὸ φθίνω, ὅπερ διφορεῖται κατὰ τὴν γραφήν.

Αὐτὰρ καὶ Ἀτὰρ, ποῖον ἐστὶν ἀναλογώτερον; καὶ λέγομεν ὅτι κατὰ πλεονασμὸν ἐστὶ τὸ αὐτάρ· κανὼν γὰρ ἐστὶν ὁ λέγων, ὅτι παρεπόμενον ἐστὶ τῇ ἐκ τοῦ α συνεστώσῃ διφθόγγῳ μετὰ τὴν ὑπόστασιν τοῦ ὑποτακτικοῦ φωνήεντος ἐκτείνειν τὸ α· οἷον κλαίω κλάω, αἰετός· εἴπερ οὖν καὶ ὁ αὐτὰρ σύνδεσμος ἔνδειαν εἶχεν τὸ υ ἐν τῷ ἀτὰρ, παρείπετο ἂν καὶ ἡ τοῦ α ἐπέκτασις· ὁ αὐτὰρ διαφέρει τοῦ δὲ, ὅτι ὁ μὲν αὐτὰρ προτάσσεται, τὸ δὲ δὲ ὑποτάσσεται. ὀξύνεται δὲ τὸ ἀτὰρ, ἢ βαρύνεται· οἱ μὲν οὖν ὀξυτόνως ἀνέγνωσαν, ὡς Καλλίμαχος· οἱ δὲ βαρυτόνως, λόγῳ τοιῷδε· πᾶσα λέξις εἰς αρ λήγουσα βαρύνεται· οἷον ἄφαρ· εἶθαρ· δάμαρ· στέαρ· οὖθαρ· ῥητέον οὖν ὅτι οὐδεὶς συμπλεκτικὸς σύνδεσμος ἢ βαρύνεται ἢ περισπᾶται· πάντες δὲ ὀξύνονται πλὴν τοῦ ἤτοι[e].

Ἀπάτη: (Il. B. 114.) Ἀάτη, καὶ πλεονασμῷ τοῦ π ἀπάτη.

Ἀρτύνω: (Od. Δ. 771.) Ἐκ τοῦ ἀρτίω, τοῦτο παρὰ τὸ ἀρτῶ, τοῦτο παρὰ τὸ ἄρω, τὸ ἁρμόζω, ὁ μέλλων ἀρῶ, καὶ Αἰολικῶς ἄρσω, καὶ ἄρτος ὄνομα ῥηματικόν· ἐκ τοῦ ἀρτῶ δὲ τὸ ἀρτίζω, καὶ καταρτίζω, καὶ ἀρτύω· ἐκ γοῦν τοῦ ἀρτύω γέγονεν ἀρτύνω, καὶ πλεονασμῷ τοῦ νυ· πέφυκε γὰρ τὸ νυ πλεονάζειν καὶ τοῖς ῥήμασι.

Ἄγχιστα: (Il. B. 58.) Ἐπίρρημα τοπικὸν, ἐκ τοῦ ἄγχω ἄγχιστος, ὄνομα παράγωγον· ἀγχιστεὺς ὁ συγγενὴς, καὶ ῥῆμα ἀγχιστεύω, καὶ ῥηματικὸν ὄνομα ἀγχιστεία.

[d] Plen. Etym. M. p. 80, 32. [e] Cf. Etym. M. p. 172, 17.

Ἄγετε: (Il. I. 165.) Ῥῆμα ἐστὶ ἢ ἐπίῤῥημα. καὶ λέγομεν ἐπίῤῥημα. ἀλλὰ κανὼν ἐστὶν ὁ λέγων· τὰ ἀριθμὸν ἀναδεχόμενα μετὰ τῆς δεούσης τῶν προσώπων καταλήξεως ῥήματα ἐστί· καὶ ὀφείλει εἶναι ῥῆμα. ἀλλ' ἕτερος κανὼν ἐστὶν ὁ λέγων καὶ ποιῶν αὐτὸ ἐπίῤῥημα· ὥσπερ γὰρ τὸ δεῦρο ὁμολογουμένως ὂν ἐπίῤῥημα, ἐχόμενον δὲ προστακτικῆς ἐννοίας, κατὰ συνεκδρομὴν ἀναδρομὴν ἀνεδέξατο, ὡς ἐν τῷ.

Δεῦτε φίλοι τὸν ξεῖνον ἐρώμεθα[f]. (Od. Θ. 133.)

οὕτως τὸ ἄγε ἐπίῤῥημα ὂν, κατὰ συνδρομὴν τοῦ ῥήματος ἔσχε παρατατικὸν τὸ ἄγετε[g].

Αἴκεν: (Il. A. 66.) Ὁ εἰ σύνδεσμος συναπτικὸς τρέπει τὸ ε εἰς α· οἱ γὰρ Δωριεῖς τὸ ε εἰς α τρέπουσιν, τὸ γὰρ Ἄρτεμις Ἄρταμις[h] λέγουσιν· οὕτως καὶ τοῦτο πλεονασμῷ τοῦ ι, αἴκεν.

Ἀδινάων: (Il. B. 87.) Ὁ κανών: ἡ εὐθεῖα ἀδίνη. τὸ ἀρσενικὸν ἀδινός· τὸ δι ἰῶτα· διατί; τὰ εἰς νος ὀξύτονα, ἀπὸ ἐπιῤῥήματος γινόμενα, διὰ τοῦ ἰῶτα γράφεται· οἷον πύκα πυκινός· τάχα ταχινός· ἄδδην ἀδινός· τὸ δι βραχύ· διατί; τὰ εἰς νος παρώνυμα συστέλλει τὸ ἰῶτα· ἑσπερινός· ταχινός· πλὴν τοῦ χαλινὸς καὶ λαρινός· τὸ μὲν χαλινὸς, ὅτι ἐστὶ καὶ οὐδέτερον· τὰ χαλινά· τὸ δὲ λαρινὸς, ἐκ τοῦ ῥινὸς βύρσης, καὶ μετὰ τοῦ λα ἐπιτατικοῦ λαρινός.

Ἅλις: (Il. B. 90.) Ἱκανῶς· ἐπίῤῥημα μεσότητος, δασύνεται· τὸ ἀθροιστικὸν α δασύνεται· οἷον ἅπας· ἁλής· γίνεται οὖν ἐκ τῆς ἁλὸς γενικῆς, ἐν ταύτῃ γὰρ ἀθρόον καὶ ἱκανὸν ἐστὶ τὸ ὕδωρ[i].

Ἀϋτεῖς: Παρὰ αὔω τὸ φωνῶ· ὃ παρὰ τὸ ἄω, τὸ πνέω, πλεονασμῷ τοῦ υ[k] αὔω· καὶ ὁ μέλλων αὔσω, καὶ ὄνομα ῥηματικὸν αὐλὸς, ἡ ἐπὶ μήκους παράτασις· καὶ παρώνυμον ὄνομα, αὖλαξ, ἡ ἐπιμήκης διαχάραξις τοῦ ἀρότρου[l].

Ἀκούσειαν: (Il. B. 98.) Ἀκούσαιμι, καὶ ἐξ αὐτοῦ ἀκούσειαν· ὁ κανών· τὰ εἰς μι εὐκτικὰ ἀορίστου ἐνεργητικοῦ οἱ Αἰολεῖς διὰ τοῦ εια προφέρουσιν· τίσαιμι τίσεια· ὑποστρέψαιμι ὑποστρέψεια·

[f] Cod. ξενον εἰρόμεθα. [g] Cf. Etym. M. p. 66, 44. [h] Cod. male ἀρτωμις. [i] Cf. Etym. M. p. 64, 48. et Gud. p. 35, 36. [k] Cod. male τοῦ νυ. [l] Cf. Etym. M. p. 170, 31.

Μὴ δέ τι σοῖσι πόδεσσιν[m] ὑποστρέψειας Ὄλυμπον. (Il. Γ. 407.)

ζήσαιμι δὲ οὐ λέγομεν ζήσειας· ἐπειδὴ τὰ τοιαῦτα εὐκτικὰ εὐχὴν δηλοῦσι πράγματος ὀφείλοντος πληρωθῆναι· ὁ γὰρ λέγων γράψειας εὔχεται ἵνα εἰς πέρας ἔλθῃ τοῦ γράψαι· ὅθεν οὐδεὶς λέγει ζήσειας, ἐπειδὴ εὑρίσκεται εὐχόμενος ἵνα εἰς πέρας ἔλθῃ τῆς ζωῆς· λοιπὸν εὑρίσκεται κατευχόμενος· ὁ δὲ κανὼν τοῦ ἀκούσειαν οὗτος· ὅσοι δὲ αὐτῶν οὐχ εἶχον τὴν μετοχὴν εἰς σ μετ' ὀξείας ἐνδέον συλλαβὴ τὸ τρίτον ἔχουσα τοῦ πρώτου καὶ λῆγον εἰς ἐκείνην τὴν συλλαβὴν ἥτις ἦν παράληξις τῆς γενικῆς τῆς μετοχῆς.

Ἄτη: (Il. I. 501.) Τὸ α μακρόν· οἱ μὲν ὅτι ἔστιν ἀάτη, καὶ κατὰ κρᾶσιν γίνεται ἄτη· οὐκ ἔστι δὲ, πλεονασμὸς γὰρ ἐστὶ τοῦ α· ἔστι δὲ ἄλλως εἰπεῖν, ὅτι ἔστιν ἄετος ὁ μάταιος καὶ ψευδός. καὶ γέγονεν ἐκ τοῦ ἐτὸς, καὶ μετὰ τοῦ στερητικοῦ α, καὶ ἐκβολῇ τοῦ ε, καὶ ἀναδόσει τοῦ τόνου ἄετος; τὸ θηλυκὸν ἀέτη, καὶ κράσει τοῦ αε εἰς α μακρὸν γίνεται ἄτη· καὶ ἄλλως· ἔστι τῶ, τὸ λαμβάνω, ἐξ οὗ τὸ

Κύκλωψ, τῆ, πίε οἶνον. (Od. I. 347.)

καὶ μετὰ τοῦ στερητικοῦ α γίνεται ἄτη· οὐδεὶς γὰρ αὐτὴν λαμβάνει ἀλλὰ φεύγουσιν[n].

Ἀΐξασα: (Il. B. 167.) Τὸ α φύσει μακρὸν, τὸ δὲ ἰῶτα θέσει.

Αἰσχρός: Παρὰ τὸ αἶσχος, ὃ σημαίνει τὸ ὄνειδος· καὶ ὥσπερ παρὰ τὸ κῦδος[o] γίνεται κυδρὸς, καὶ παρὰ τὸ φαῖδος[p] φαιδρὸς, οὕτω καὶ παρὰ τὸ αἶσχος γίνεται αἰσχρός· τὸ δὲ αἶσχος γίνεται ἐκ τοῦ ἔχω, πλεονασμῷ τοῦ σ ἴσχω· καὶ μετὰ τοῦ στερητικοῦ α αἴσχω, καὶ αἶσχος, ὃ οὐκ ἄν τις βούλοιτο ἔχειν[q].

Ἀριθμήμεναι: Τὸ θ μετὰ τοῦ μ ἐν συλλήψει ἐστίν· οὐδέποτε γὰρ συλλαβὴ εἰς δασὺ λήγει. γίνεται δὲ παρὰ τὸ ἀριθμῶ, τοῦτο δὲ παρὰ τὸ ἀριθμὸς, ἐξ οὗ καὶ τὸ ἐναρίθμιος[r].

Ἄμφω: (Il. A. 196.) Διατὶ τὸ ἄμφω καὶ δύο θεματικά; διότι οὐ γίνονται ἀπὸ τοῦ ἑνικοῦ, τὸ γὰρ σημαινόμενον κωλύει·

[m] Cod. ποδοῖσιν. [n] Cf. Etym. Gud. p. 89, 54. [o] Cod. κῦδρος. [p] Cod. φαῖδρος. [q] Cf. Etym. Gud. p. 22, 48. [r] Cf. Etym. Gud. p. 76, 49.

καὶ τὶ διαφέρει; ὅτι τὸ δύο καὶ διὰ τοῦ ο μικροῦ γράφεται, καὶ διὰ[s] τοῦ μεγάλου, ὡς καὶ προείρηται.

Ἄμμι: (Il. Α. 384.) Ἀντωνυμία δοτικὴ τῶν πληθυντικῶν· παρὰ τρισὶ διαλέκτοις γίνεται· οἱ Ἴωνες συστέλλουσι τὸ ι, καὶ περισπῶσι, ἡμῖν· οἱ δὲ Αἰολεῖς συστέλλουσι τὸ ι καὶ βαρύνουσι, καὶ πλεονάζουσι καὶ ἕτερον σύμφωνον, καὶ συστέλλουσι τὴν ἄρχουσαν, καὶ ψιλοῦσιν αὐτὴν, ὡς τὸ

ἄμμι δ' ἔργον.

οἱ δὲ Δωριεῖς συστέλλουσι τὸ ἰῶτα καὶ ὀξύνουσιν ἡμίν.

Αὔτως[t]: (Il. Α. 134.) Ἀντὶ τοῦ ματαίως· καὶ ἔστιν ἐπίῤῥημα μεσότητος, καὶ ψιλοῦται πρὸς ἀντιδιαστολὴν ἑτέρου σημαινομένου τοῦ οὕτως· οὐ[u] δὲ τὸ μάτην σημαίνει ψιλοῦται, τὸ γὰρ στερητικὸν ἄλφα ψιλοῦται· καὶ πῶς ἐστι τὸ στερητικόν; πόθεν παράγονται τὰ τῆς μεσότητος ἐπιῤῥήματα; ἐκ τῶν γενικῶν ὀνομάτων· καὶ πῶς ἔστιν ἡ γενικὴ τοῦ ὀνόματος; ἔστιν ἐτὸς καὶ σημαίνει τὸ[x] ἀληθές· τὸ γὰρ ἀληθὲς ὑπάρχει· τὸ δὲ ψεῦδος οὐχ ὑπάρχει, καὶ μετὰ τοῦ στερητικοῦ α ἄετος· καὶ ἀνεβίβασε τὸν τόνον· καὶ διατὶ τὸ ἄετος ἀνεβίβασε τὸν τόνον; τὰ γὰρ εἰς τος[y] δισύλλαβα ἀναβιβάζουσι τὸν τόνον ἐν τῇ συνθέσει, καὶ κλίνεται ἀέτου, ἡ εὐθεῖα τῶν πληθυντικῶν οἱ ἄετοι, ἀέτων, καὶ ἐξ αὐτοῦ ἐπίῤῥημα μεσότητος ἀέτως, καὶ ψιλοῦται ὡς στερητικόν· καὶ κράσει τοῦ αε εἰς τὴν αυ[z] δίφθογγον ὡς ἀέρα αὖρα, καὶ γράες γραῦς[a] καὶ νάες ναῦς.

Ἀκράαντον: (Il. Α. 138.) Παρὰ τὸ κραίνω τὸ τελειῶ, ἐξ οὗ καὶ ὁ μέλλων κρανῶ, ἔκρανα, καὶ τροπῇ τοῦ α εἰς η ἔκρηνα, καὶ τὸ προστακτικὸν κρῆνον, καὶ πλεονασμῷ τοῦ η κρήηνον. καὶ ὥσπερ παρὰ τὸ χραίνω τὸ μολύνω, χραντὸς, ὁ μεμολυσμένος, καὶ ἄχραντος ὁ ἀμόλυντος, καὶ παρὰ τὸ φαίνω φαντὸς, καὶ ἄφαντος, οὕτως καὶ παρὰ τὸ κραίνω, κραντὸς, καὶ ἄκραντος, καὶ πλεονασμῷ τοῦ α ἀκράαντος, ποιητικῶς[b].

Ἀλλήλοις: (Il. Δ. 472.) Ταυτοπάθειαν σημαίνει, ἢ ἑτεροπάθειαν. ἑτεροπάθειαν, οἷον, Αἴας ὁ Τελαμῶνος[c], καὶ Μενοικεὺς

[s] Cod. om. διά. [t] Cod. male αὔταρ. [u] Leg. εἰ. οος [x] Cod. τόν. [y] Cod. ν. [z] Cod. αι. [a] Cod. γραῦς. [b] Cf. Etym. Gud. p. 94, 47. [c] Etym. M. p. 67, 45. Τελαμώνιος.

ὁ Κρέοντος, ἑαυτοὺς ἀπέκτειναν, τοῦτ᾽ ἔστιν ἑκάτερος ἑαυτόν· τὸ δὲ ἀλλήλους ἐπὶ τῶν συμπεπλεγμένων, οἷον, Ἐτεοκλῆς καὶ Πολυνείκης ἀλλήλους ἀπέκτειναν, τουτ᾽ ἔστιν ἕτερος ἕτερον. [Ἀλλήλοις] ἡ εὐθεῖα τῶν πληθυντικῶν οὐκ ἔστι, διατί; διότι ἡ τοῦ ῥήματος σύνταξις τὴν ἐν τοῖς δευτέροις προσώποις μετάβασιν δηλοῖ. τὸ γὰρ ἀλλήλων ἤκουσαν, τοιοῦτόν τι ἐστιν· ἄλλοι ἄλλων ἤκουσαν, ἀλλήλους ἔτρωσαν· οἷον ἄλλοι ἄλλους· ἐγγινομένης δὲ τῆς εὐθείας, ἐν τῷ ἄλληλος νοηθήσεται τὸ ἄλλοι ἄλλοι· ὅπερ ἄλογον, διὰ τὸ ἐπάλληλον τῶν δύο εὐθείων· δύο γὰρ εὐθεῖαι ὁμοῦ παραλαμβανόμεναι λόγον οὐκ ἀπαρτίζουσιν[d].

Ἀλλήλω:

Γνώτην ἀλλήλω, (Od. Φ. 36.)

δυϊκὸς ἀριθμὸς, μόνης αἰτιατικῆς, οὐ γὰρ ἔχει εὐθεῖαν.

Ἀμφιελίσσας: (Il. Β. 165.) Ὄνομα ἐκ τοῦ ἑλίσσω· τὸ λι ἰῶτα· διατί; οὐδέποτε πρὸ τῶν δύο σίγμα εὑρίσκεται δίφθογγος, πλὴν τοῦ λεύσσω[e] καὶ κρείσσων.

Αἴης: (Il. Δ. 172.) Γῆς. παρὰ τὸ αὔω τὸ ξηραίνω, καὶ τροπῇ τοῦ υ εἰς ι, γίνεται αἴη.

Αἰγίοχοιο: (Il. Α. 202.) Πόθεν γίνεται; παρὰ τὸ ὀχὴ, ὃ σημαίνει τὴν τροφὴν, καὶ τὸ αἲξ αἰγός· λέγεται γὰρ αὐτὸν τεθηλάκεναι Ἀμάλθειαν τὴν αἶγα· οἱ δὲ ὅτι σκεπαστήριον αὐτῷ αἰγὸς ἦν, ἀπὸ Κρητικῆς αἰγὸς ληφθεῖσα· οἱ δὲ ἀπὸ τοῦ καταιγίζειν τοῖς ἀνέμοις καὶ πνεύμασι· καλεῖται γὰρ αἰγὶς ὁ ἄνεμος· οἱ δὲ Αἶγα πρώτην[f] τὴν τοῦ Παιὸς[g] θυγατέρα· ἐκ τοῦ ὀχὴ δὲ εὐωχία γίνεται, ἡ καλῶς τρέφουσα κατ᾽ ἐπαύξησιν τοῦ ο εἰς ω.

Ἀτρυτώνη: (Il. Β. 157.) Τὰ διὰ τοῦ ωνη βαρύτονα μὴ ὄντα κύρια παρώνυμα, μὴ δὲ διφορούμενα, διὰ τοῦ ω μεγάλου γράφεται· οἷον, μελεδώνη· κορώνη· βαρύτονα εἶπε διὰ τὸ ἡδονή[h]· καλλονή· μὴ ὄντα κύρια παρώνυμα, διὰ τὸ Ἑρμιόνη· εὐφρόνη· διφορούμενα εἶπε, διὰ τὸ ἀγχοίνη καὶ ἀγχονή· σεσημείωται πέντε· ὀθόνη· περόνη· βελόνη· σφενδόνη· ἀκόνη.

Ἀπίθησε: (Il. Α. 220.) Τὸ πι ἰῶτα διατί; οἱ μὲν ὅτι ἐκ

[d] Cod. ἀπαρτήζουσιν. [e] Cod. λεύσσων. [f] Suppl. γῆμαι ex. Etym. M. p. 27, 38. [g] Etym. M. p. 27, 38. Πανός. [h] Cod. δὲ τὸ ἡδνή.

τοῦ ἀπείθης ἐστὶν, ὅπερ οἱ μὲν ἐν συνηθείᾳ διὰ τῆς ει διφθόγγου γράφουσι, οἱ δὲ διὰ τοῦ ἰῶτα· ὁ δὲ Ἡρωδιανὸς λέγει ὅτι τὰ ἀπὸ βαρυτόνων μεταγόμενα εἰς περισπώμενον[i] συστέλλει τὴν παραλήγουσαν, οἷον ἔστι τὸ φείδω, καὶ γινόμενον περισπώμενον γράφεται διὰ τοῦ ἰῶτα, φιδῶ καὶ πεφιδήσεται· οὕτως ἐστὶ καὶ τὸ ἀπιθῶ.

Ἀθήνη: (Il. A. 194.) Τὸ θη η· διατί; ἐκ τοῦ θήσω μέλλοντος θήνη[k] ἡ θηλάζουσα, καὶ ἀθήνη μετὰ τοῦ στερητικοῦ α, ἀμήτωρ γὰρ ἡ θεὸς παραδίδοται.

Ἄπτετο: (Il. B. 171.) Ῥῆμα. καὶ συντάσσεται μετὰ γενικῆς· ἐπειδὴ ἡ ἐκ τῶν αἰσθήσεων γινομένη ἐνεργεία γενικῇ συντάσσεται, οἷον· ἀκούω σου· γεύομαι μέλιτος· πλὴν τῆς ὁράσεως.

Ἄχος: (Il. A. 188.) Ὄνομα παρὰ τὸ χέω, καὶ μετὰ τοῦ στερητικοῦ α, ἡ μὴ διαχέουσα τὴν ψυχὴν, ἀλλὰ συνέχουσα, ὥσπερ τοὐναντίον ἐπὶ τοῦ χαίρω διαχεῖται· ποίου εἴδους τῶν ὑποπεπτωκότων; εἰδικοῦ· τὸ γενικὸν ἐστὶν ἡ λύπη· καὶ εἴδη αὐτῆς δίαχος[l]· ἄχθος· φθόνος· καὶ ἔλεος. ἄχος ἐστὶ λύπη ἀφωνίαν ἐμποιοῦσα· ἄχθος λύπη βαροῦσα, καὶ ἐνοχλοῦσα ἐπὶ ἀβουλίᾳ τῶν συμβαινόντων· φθόνος λύπη ἐπ' ἀλλοτρίοις ἀγαθοῖς· ἔλεος λύπη ἐπ' ἀλλοτρίοις κακοῖς· πάσχει γάρ τις καὶ σὺ ἐλεεῖς[m].

Ἀτρείδης: (Il. A. 12.) Διαφέρει τὸ πατρωνυμικὸν τοῦ κτητικοῦ· πῶς; ὅτι τοῖς μὲν πατρωνυμικοῖς ἐνδέχεται τὰ τῶν παίδων ὀνόματα συντάσσειν καὶ μή. εἰ γὰρ ἀδελφῶν ὄντων τινῶν, τούτων ἕνα σημάναι βουλόμεθα, τῷ πατρωνυμικῷ παρατίθεμεν τὸ τοῦ παιδὸς κύριον ὄνομα· οἷον Ἀτρείδης Μενέλαος· Πριαμίδης Ἕκτωρ· εἰ δὲ μὴ ὦσιν ἀδελφοὶ, οὐ χρεία προσθήκης κυρίου· ἀρκούμεθα γὰρ τῇ πατρωνυμίᾳ· οἷον Πηλείδης ἐφόνευσεν Ἕκτορα· τὰ γὰρ πατρωνυμικὰ αὐτόθεν ἔχει τὴν σημασίαν, κἂν μήτε τοὺς υἱοὺς ἐπάγοιτο, μήτε τὸ τοῦ παιδὸς κύριον· τὰ δὲ κτητικὰ οὐχ οὕτως· ἀλλ' ἀνάγκη προσυπακούεσθαι τι αὐτοῖς· εἰ γάρ τις φαίη Πλατωνικὸς τὸ ὄνομα[n] ἢ χιτῶνος, ἀτελές

[i] Corr. ergo Etym. M. p. 122, 54. qui hab. μεταγ. εἰς πλεονασμόν.
[k] Etym. M. p. 24, 46. θήν.
[l] Leg. vid. εἴδη αὐτῆς δ΄. ἄχος.
[m] Cf. Etym. Gud. p. 100, 8.
[n] Corr. ex Etym. M. p. 166, 27. τοῦ νόμου.

ἐστι, ἀλλ' ἀναγκαίως δεῖ ἐπιφέρειν τοῖς κτητικοῖς προσηγορικὰ, ἢ κύρια· οἷον ᵗὉμήριος λόγος· βασιλικὸς δόμος.

ᵗἈλλ' ὅτι οἱ: (Il. B. 215.) δ'. μέρη λόγου· τὸ ἀλλὰ σύνδεσμος, τὸ ο ἄρθρον, τὸ τι ὄνομα ἀόριστον, τὸ οἱ ἀντωνυμία.

ᵗἈντίος: (Il. B. 185.) Τὸ τι ι. διατί; τὰ διὰ τοῦ ιο ὀνόματα πρὸ μιᾶς τὸν τόνον ἔχοντα, καὶ ἐν τῇ πρώτῃ συλλαβῇ τὸ α μεθ' οὗ ἐπιφέρεται δύο σύμφωνα ἢ καὶ πλείονα, διὰ τῆς ει διφθόγγου γράφεται· οἷον ἀνδρεῖος· ἀχρεῖος· ἀστεῖος· Καδμεῖος. πλὴν τοῦ ἀντίος, ὃ μετὰ τῆς ἐν προθέσεως, ἐναντίος· καὶ πῶς λέγομεν; ἐνάντιος ἢ ἐναντίος; ἐναντίος· πῶς; κανὼν ἐστὶν ὁ λέγων ὅτι τὰ εἰς ος ὑπὲρ δύο συλλαβὰς πρὸ μιᾶς τὸν τόνον ἔχοντα ἐν τῇ συνθέσει ἀναπέμπει τὸν τόνον. οἷον, ποικίλος παμποίκιλος[o]. ἀγκοῖλος μεσάγκοιλος[p]· αἰόλος παναίολος· τὸ γὰρ κορυθαίολος οὐκ ἔχει ἐγκείμενον τὸ ὅλος, ἀλλὰ τὸ αἰόλλω ῥῆμα, τὸ κινῶ· πρόσκειται χωρὶς εἰ μὴ σύνθετα ὑπάρχει, διὰ τὸ βουκόλος ἱπποβουκόλος· τοῦτο γὰρ ἕνεκα ἐνεργείας τὸν αὐτὸν τόνον ἐφύλαξεν ἐν τῇ συνθέσει· τὸ δὲ ἐναντίος παρέλκουσαν ἔχει τὴν ἐν πρόθεσιν· τὸ γὰρ ἀντίος καὶ ἐναντίος τὸ αὐτὸ σημαίνει, καὶ τούτου χαρὶν, τοῦ ἁπλοῦ τὸν τόνον ἐφύλαξεν, ὡς σχεδὸν μὴ γενομένης συνθέσεως[q].

ᵗἈτρέμας: (Il. B. 200.) Γίνεται ἐκ τοῦ ἀτρεμῶ, καὶ ἐστὶ παρασύνθετον ἐκ τοῦ ἀτρεμής· τοῦτο παρὰ τὸ τρεμῶ, καὶ τὸ στερητικὸν α, ἀτρεμής· καὶ ῥῆμα εἰς ω ἀτρεμῶ, καὶ ἐξ αὐτοῦ ἐπίῤῥημα εἰς α, ἀτρέμας· ἔστιν δὲ εἰς α ἀτρέμα· ὡς ἐκ τοῦ ἠρεμῶ ἠρέμας ἠρέμα.

ᵗἈλκή: (Il. Γ. 45.) Παρὰ τὸ ἀρκῶ τὸ βοηθῶ· ἀρκὴ, καὶ μεταθέσει τοῦ ρ εἰς λ, ἀλκή· ἢ παρὰ τὸ ἀκμὴν, τοῦτο παρὰ τὸ καμῶ, τὸ κοπιῶ· γίνεται κμὴ, καὶ μετὰ τοῦ στερητικοῦ α, ἀκμή· ἡ μὴ ταχέως κάμνουσα, ἢ κοπιῶσα, ἀλλὰ φέρειν κόπους δυναμένη[r].

ᵗἌναλκις: (Il. B. 201.) ᵗὌνομα σύνθετον· ἀλκὴ, καὶ μετὰ τοῦ στερητικοῦ α· τοῦτο ἐκ τοῦ ἀλκῶ τὸ βοηθῶ, ὁ μέλλων

[o] Cod. male καμποίκιλος. [p] Leg. ἀγκύλος μεσάγκυλος. [q] Cf. Etym. M. p. 113, 25. et Gud. p. 60, 43. [r] Cf. Etym. M. p. 97, 47. et Gud. p. 52, 5.

ἄλξω, ὄνομα ῥηματικὸν ἄλξις, καὶ ἔπαλξις, ἐκ τοῦ ἀλκῶ· οὗ ῥήματος ἀλκή· καὶ μετὰ τοῦ στερητικοῦ α, καὶ πλεονασμῷ τοῦ ν ἄναλκις, ὃ κλίνεται ἀνάλκιδος· ὁ κανών· τὰ εἰς ις προσηγορικὰ παρώνυμα μακροκατάληκτα, διὰ τοῦ δος κλίνεται· Ἀδώνιδος· Θεόγνιδος· πρόσκειται παρώνυμα μακροκατάληκτα, διὰ τὸ εὔνιδος· λάτριδος· ἀνάλκιδος.

Ἀγκυλομήτεω: (Il. B. 205.) Ὄνομα ἐκ τοῦ ἀγκύλος· σημαίνει δὲ τὸ ἀγκυλομήτης, τὸν ἐπὶ τῶν ἀγκύλων καὶ σκολιῶν πραγμάτων ὀρθῶς βουλευόμενον· ὁ τόνος. αἱ διὰ τοῦ εω Ἰωνικαὶ γενικαὶ εἰ μὲν ἀπὸ βαρυτόνων κοινῶν γενικῶν ὦσι, προπαροξύνονται· οἷον Ἀτρείδης Ἀτρείδεω· Αἰνείου Αἰνειέω· Πηλείδεω. εἰ δὲ ἀπὸ περισπωμένων κοινῶν γενικῶν ὦσι, προπαροξύνονται[s].

Αὖτις: (Il. A. 27.) Ἐκ τοῦ τίς, καὶ μετὰ τοῦ α, τοῦ σημαίνοντος τὸ ὀπίσω, αὔτις· καὶ ὥσπερ παρὰ τὸ ἐρύω, γίνεται ἐρύσω, ἀέρυσαν καὶ πλεονασμῷ τοῦ υ αὐέρυσαν, οὕτω καὶ ἄντις, ὃ σημαίνει τὸ πάλιν, γίνεται πλεονασμῷ τοῦ υ αὖτις. καὶ τί διαφέρει τὸ αὖτις τοῦ πάλιν; ὅτι τὸ μὲν πάλιν ἐστὶ τοπικόν· τὸ γὰρ εἰς τοπίσω[t] δηλοῖ· τὸ δὲ αὖτις χρονικὸν, τὸ ἐγγύτερον γὰρ δηλοῖ[u].

Ἀνέψυχθεν: (Il. K. 575.) Ἡ συγκοπὴ Ἰώνων, καὶ Αἰολέων, καὶ Δωριέων, παραλήγουσα τῆς μετοχῆς, λήγουσα γίνεται τῆς κατὰ πάθος.

Ἄπο:

νεῶν ἄπο καὶ κλισιάων. (Il. B. 91.)

ὧδε ἀναστρέφεται· καὶ διατὶ ἀναστρέφεται; ἐπειδὴ αἱ ἀναστρεφόμεναι προθέσεις ὅτε μεταξὺ δύο κυρίων ἢ προσηγορικῶν εὑρεθῶσι, συνδέσμου παραλαμβανομένου μετὰ τὴν πρόθεσιν, ἀναστρέφεται· οἷον,

νεῶν ἄπο καὶ κλισιάων. (Il. B. 91.)
Ἀγαμέμνονος πέρι καὶ Ἀχιλλέως·

Καὶ ἐὰν μεταξὺ δύο ὀνομάτων ἢ προθέσεων· ἢ τοῦ μὲν κυρίου ὄντος, τοῦ δὲ προσηγορικοῦ, ἢ ἐπιθετικοῦ· οὖν[x] πᾶσι τούτοις ἀναστρέφειν δεῖ τὴν πρόθεσιν· οἷον,

[s] Leg. παροξύνονται cum Etym. Gud. p. 5. [t] Sic Cod.
[u] Cf. Etym. M. p. 171, 42. [x] Leg. ἐν cum Etym. M. p. 123, 33.

μάχῃ ἔνι κυδιανείρῃ. (Il. Z. 124.)

Αἰγιαλός: (Il. Ξ. 34.) Ἐτυμολογεῖται παρὰ τὴν αἶαν γείτονα εἶναι τῆς ἁλός· τὸ δὲ αἶα παρὰ τὸ γαῖα ἀποβολῇ τοῦ γ.

Αἴσχιστος: (Il. B. 216.) Ὄνομα εἴδους τῶν παραγώγων ὑπερθετικῶν, ἐκ τοῦ αἶσχος· ὅπερ ἐκ τοῦ ἴσχω, ἴσχος, καὶ μετὰ τοῦ στερητικοῦ εἴρηται· σημαίνει δὲ τὸ ὄνειδος, καὶ ἐξ αὐτοῦ αἰσχρὸς, αἰσχρότατος, αἰσχρίων, καὶ ἐκβολῇ τοῦ ρω αἰσχίων· αἴσχιστος, ὥσπερ ἐστὶ μακρὸς, μακρότατος, μακρίων, καὶ μακίων, καὶ τροπῇ τοῦ α εἰς η μηκίων, καὶ μήκιστος·

τὸν δὲ μήκιστον καὶ κάρτιστον κτάνον ἄνδρα. (Il. H. 155.)

Ἄποινα: (Il. A. 20.) Οἱ μὲν ἐκ τοῦ φόνος ἄφονος, καὶ πλεονασμῷ ἄφοινος, καὶ ἄποινος· οἱ δὲ ἐκ τοῦ ποινὴ, ὃ σημαίνει τὴν τιμωρίαν, γίνεται ἄποινος· ἢ ἐκ τοῦ φονὴ, ὃ σημαίνει τὸν τοπὸν τῶν ἀναιρουμένων,

ἐν ἀργαλέῃσι φονῇσι [y] (Il. K. 421.)

καὶ προπαροξύνεται· τὰ γὰρ ἀπὸ τῶν εἰς α καὶ εἰς η θηλυκῶν, εἰς ος γινόμενα, ἀρσενικὰ, προπαροξύνονται· οἷον ὥρα ἄωρος· ποινὴ ἄποινος· τὸ δὲ ποινὴ, ἐκ τοῦ φόνος γίνεται φονὴ, καὶ πλεονασμῷ τοῦ ἰῶτα, καὶ τροπῇ τοῦ δασέως εἰς ψιλὸν, ποινή. τετραχῶς τὰ εἰς ἦτα θηλυκὰ συντίθενται· ἢ γὰρ φυλάττουσι τὸ αὐτὸ τέλος, ὡς τὸ μάχη Ἀνδρομάχη· ἢ προλαμβάνουσι τὸ ο, ὡς τὸ γυνὴ μισογύνης· ἢ τρέπουσι τὸ τέλος εἰς ος, ὡς τὸ φωνὴ ἄφωνος· κεφαλὴ ἐγκέφαλος· ἢ μεταποιοῦσιν εἰς ον οὐδέτερον, ὡς τὸ πύλη, δίπυλον καὶ τετράπυλον [z].

Ἀχαιός: (Il. Γ. 167.) Εἴδους τῶν ὑποπεπτωκότων ἐθνικῶν· ποσαχῶς λαμβάνεται τὰ ἐθνικά; τετραχῶς· ἐκ πόλεως, ἐκ χώρας, ἐξ ἔθνους, καὶ βασιλείας· τὸ δὲ Ἀχαιὸς παρειλήφθη ἀπὸ βασίλεως Ἀχαιοῦ· διατὶ ὀξύνεται; τὰ διὰ τοῦ αιος εἰ ἔχει πρὸ τῆς αι διφθόγγου τὸ χ προπερισπῶνται· οἷον ἀρχαῖος [a]· τροχαῖος· σεσημείωται τὸ Ἀχαιὸς καὶ Ἐρυσιχαιὸς ἔθνος·

Ἀμύνειν: (Il. Z. 463.) Καὶ ἀμύνεσθαι διαφέρει· ἀμύνειν ἐστὶ τὸ βοηθεῖν, ἀμύνεσθαι δὲ τὸ προηδικηκότας κολάζειν· καὶ

[y] Cod. om. φονῇσι. [z] Cf. Etym. Gud. p. 66, 38. [a] Cod. male ἀχαιός. ded. ex Etym. M. p. 180, 27.

πάλιν ἀμύναι καὶ ἐπαμύναι διαφέρει· ὅτι τὸ μὲν ἀμύναι, τὸ ἀμείψασθαι σημαίνει τοὺς ἠδικηκότας, τὸ δὲ ἐπαμύναι τὸ βοηθῆσαι· καὶ Ὅμηρος,

ἀλλ' ἐπάμυνον ὄφρα τάχιστα [b].

Ἀμείνων: (Il. A. 404.) Ἐκ *τοῦ μέρους μερίων, καὶ ἐκβολῇ τοῦ ρ, καὶ συναιρέσει, μείων, καὶ ἀμείων, καὶ πλεονασμῷ τοῦ ν, ἀμείνων. τὸ δὲ*

κλέπτῃ δέ τε νυκτὸς ἀμείνω (Il. Γ. 11.)

αἰτιατικὴ χωρὶς τοῦ ν· γένους θηλυκοῦ, πτώσεως αἰτιατικῆς, τῶν ἑνικῶν· ὡς τὸ ἐλάσσων ἐλάσσω, οὕτως ἀμείνονα ἀμείνω.

Ἀπούρας: (Il. A. 356.) Αὐρῶ *ἐστὶ τὸ ἀπολαύω. ὁ μέλλων ἐπαυρήσω, ὁ ἀόριστος ἐπαύρησα. συγκοπῇ ἐπηῦρα· τροπῇ τῆς ἐπὶ εἰς τὴν ἀπὸ, ἀπήυρα, καὶ τοῦ ο εἰς α ἀπαῦρα, ἡ μετοχὴ ἀπαύρας, καὶ τροπῇ τοῦ α εἰς ο, ἀπούρας· καὶ τί μετέχει; ἤγουν τὴν ἀπόλαυσίν μου ἀφελόμενος καὶ λαβὼν, κατέχεις* [c].

Ἀκριτόμυθε: (Il. B. 246.) Κρίνω, *κρινῶ, κέκρικα, κέκριμαι, κέκριται, κριτὸς, καὶ τοῦ μῦθος ἀκριτόμυθος· ἀναβιβασμῷ τοῦ τόνου· τὰ γὰρ εἰς ος δισύλλαβα ἀναβιβάζει τὸν τόνον· χωρὶς εἰ μὴ τὸ σημαινόμενον κωλύει, ὡς τὸ λοιγὸς βροτολοιγός.*

Αἰδὼς (Il. E. 787.) *καὶ αἰσχύνη διαφέρει*: Αἰδὼς *λέγεται ἡ ἐντροπὴ, ὡς τὸ, αἰδεῖται τὶς τὸν πατέρα· αἰσχύνεται δέ τις ἐφ' οἷς κατὰ συνήθειαν ἁμαρτάνει.*

Ἀγορήνδε: (Il. A. 54.) Εἰς *τὴν ἀγορὰν, τουτέστιν εἰς τὴν ἐκκλήσιαν· ἐπιῤῥηματικὴ ἡ σύνταξις, ὡς οἴκαδε, καὶ Ἀθήναζε.*

Ἀγορῆθεν: (Il. B. 264.) *Διατὶ προπερισπᾶται; ἐπεὶ τὰ ἀπ' ὀξυτόνων ἢ περισπωμένων παραγόμενα εἰς θεν ἐπιῤῥήματα, πρὸ μιᾶς ἔχουσι τὸν τόνον· γῆθεν· ἀγορῆθεν.*

Ἀεικέσσι: (Il. B. 264.) *Δύο σσ ποιητικῶς.*

Ἀεικὴς: (Il. K. 483.) Ὁ *σκληρὸς, ἐκ τοῦ εἴκω τὸ ὑποχωρῶ· γίνεται δὲ εἰκὴς, καὶ μετὰ τοῦ στερητικοῦ α ἀεικὴς, ὁ μὴ ὑπείκων τινί· τὸ θηλυκὸν ἡ ἀεικής· ἔστι δὲ τριγενὲς ὥσπερ τὸ εὐφυὴς, ἡ εὐφυὴς, τὸ εὐφυές.*

[b] Il. Φ. 311. leg. *ἀλλ' ἐπάμυνε τάχιστα.*

[c] Cf. Etym. M. p. 132, 33.

Αἱματοέσσα: (Il. B. 267.) Ὁ κανών· πᾶσα γενικὴ διὰ τοῦ ντ κλινομένη, τρέπουσα τὸ τέλος τῆς γενικῆς εἰς α, καὶ τὴν παραλήγουσαν φύσει μακρὰν ποιοῦσα, τὸ θηλυκὸν ποιεῖ· τὸ ἀρσενικὸν αἱματόεις· τὸ το μικρὸν διατί; τὰ εἰς εις τρεῖς παραλήξεις ἐπιδέχεται· καὶ τὸ η, ἢ τὸ ο[d], σπανίως δὲ τὸ ω· τὰ γὰρ εἰς ο μετουσιαστικὰ πλεονάζει τῆς τοῦ πρωτοτύπου συλλαβῆς, καὶ βαρύνεται· εὐρώεις· κητώεις· ἐρώεις· κηώεις. τὸ μὲν ο τὸ μικρὸν, οἷον αἱματόεις· σκιόεις·

Οὔρεά τε σκιόεντα. (Il. A. 157.)

τὸ η, οἷον φθογγήεις· τιμήεις· τὸ γὰρ χαρίεις ἀπὸ τοῦ χαριτώεις γέγονε, καὶ ἐν συγκοπῇ χαρίεις, τὸ δὲ ἀμφιγυήεις καὶ τὰ ὅμοια, κατὰ τροπὴν ἐγένοντο τοῦ ο εἰς η· ἔστι γύον καὶ σημαίνει τὸ μέλος· ἐξ αὐτοῦ γυόεις, καὶ τροπῇ τοῦ ο εἰς η γυήεις, καὶ ἀμφιγυήεις· καὶ ἔστι θύον καὶ σημαίνει μυρεψικὸν ἄνθος ἢ βοτάνην, καὶ γίνεται ἐξ αὐτοῦ θυόεις, τροπῇ τοῦ ο εἰς η θυήεις,

βωμός τε θυήεις[e]. (Il. Θ. 48.)

τὸ δὲ αἱματόεις μετουσιαστικὸν ἐστὶ μετοχή· τὰ γὰρ εἰς εις ἅπαντα μετουσιαστικὰ ἐστίν· ἔστι καὶ ἰόεις τοῦτο· εἰ γὰρ διὰ τοῦ ἰῶτα, ἐστὶν ὁ μετέχων τοῦ ἰοῦ· εἰ γράφεται διὰ τοῦ η, ἐστὶν ἀπὸ τοῦ ἠὼν ὃ σημαίνει τὸν αἰγιαλὸν, ἡ γενικὴ ἠόνος καὶ ἐξ αὐτοῦ ἠονόεις καὶ ἐν συγκοπῇ ἠόεις[f].

Ἀχρεῖος: Γίνεται ἐκ τοῦ χρεία· καὶ ὤφειλεν εἶναι ἄχρειος· κανὼν γὰρ ἐστὶν ὁ λέγων, ὅτι τὰ ἀπὸ τῶν εἰς α καὶ η θηλυκῶν συντιθέμενα, προπαροξύνονται· οἷον πύλη Εὐρύπυλος· κεφαλὴ ἀκέφαλος, οὕτως οὖν καὶ χρεία ἄχρειος· ἀλλ' ἕτερος κανὼν ἐστὶν ὁ λέγων ὅτι τὰ διὰ τοῦ ειος ὀνόματα, ἔχοντα ἐν τῇ πρώτῃ συλλαβῇ τὸ α, πρὸ μιᾶς ἔχει τὸν τόνον· οἷον, Καδμεῖος· ἀστεῖος· Βακχεῖος· τούτοις συνεξηκολούθησε καὶ τὸ ἀχρεῖος· ὡς οὖν εἴπομεν ἐκ τοῦ χρεία μετὰ τοῦ στερητικοῦ α ἀχρεῖος, οὗ μὴ ἔχει τις χρείαν, καὶ ἐξ αὐτοῦ ἀχρεῖον, τὸ οὐδέν[g]· ἀπὸ δὲ ὀνόματος μετήχθη εἰς ἐπιῤῥηματικὴν σύνταξιν

d Cod. ω̊. e Cod. male τεθνήεις. f Cf. Etym. M. p. 34, 31.
g Leg. οὐδέτερον cf. Etym. M. p. 182, 35.

ἀχρεῖον ἰδὼν[h] ἀπομόρξατο. (Il. B. 269.)

Ἀφήσω: (Il. B. 263.) Ὁ παρακείμενος ἀφῆκα, καὶ οἱ Ἴωνες πλεονασμῷ τοῦ ε, ὡς τὸ ἥνδανε ἑήνδανε[i]· ὥρακα ἑώρακα· οὕτως ἀφέηκα, καὶ τροπῇ τοῦ μακροῦ εἰς μακρὸν, ἤγουν τὸ η εἰς ω, καὶ γίνεται ἀφέωκα, τὸ παθητικὸν ἀφέωμαι, τὸ τρίτον ἀφέωνται.

Ἀπομόρξατο: (Od. P. 304.) Ἀπομόργω γίνεται ἐνεστὼς, τοῦτο ἐκ τοῦ ἀμέργω, τὸ ἐκπιέζω, μεταθέσει τοῦ ρ εἰς λ, ἀμέλγω, καὶ ἀμολγὸς[k], ὁ ἐκπιέζων τὰ πρόβατα, ἐξ οὗ καὶ ἱππημολγός· λοιπὸν ἐστὶ καὶ ἀμέλγω καὶ ἀμέργω, καὶ βαρύνεται· διατί; ἐπειδὴ τὰ εἰς γω λήγοντα ῥήματα, εἰ μὲν ἔχουσι πρὸ τοῦ γ σύμφωνον, βαρύνονται· οἷον ἀμέργω· εἴργω· στέργω· χωρὶς εἰ μὴ ἔχουσι ὄνομα προϋποκείμενον, διὰ τὸ ἐνεγῶ[l], ἔχει γὰρ προϋποκείμενον τὸ γεωργός· τὸ δὲ ἀμέργω, οὐκ ἔχει ὄνομα προϋποκείμενον[m]· τὸ δὲ ἀμοργὴ ἐκ τοῦ ῥήματος τοῦ ἀμέργω γέγονεν. [Ἀμέργω[n]] σημαίνει δύο· τὴν ὑποστάθμην τοῦ ἐλαίου, καὶ τὴν τρύγα[o] τοῦ οἴνου· ἔστι δὲ καὶ εἶδος βοτάνης πορφυρᾶς, ἐξ οὗ ἀμόργινα ἱμάτια λέγονται τὰ πορφυρᾶ· λοιπὸν ἐκ τοῦ ἀμέργω κατὰ τροπὴν τοῦ α εἰς ο, ὡς ἀκρίοεις ὀκρίοεις· καὶ ἄρχαμος ὄρχαμος, γίνεται ἀμόργω, καὶ ἀμόρξω, ὤμορξα, καὶ ὠμορξάμην, καὶ ὠμόρξατο, καὶ ἀπωμόρξατο, καὶ πάλιν συναρχομένως ἀπομόρξατο.

Ἀχνύμενος: (Il. A. 103.) Ἐκ τοῦ ἄχω, τοῦτο ἐκ τοῦ χῶ, τὸ δηλοῦν τὸ διαχεῖσθαι ἀλλὰ συνέχεσθαι ὑπ' αὐτῆς τὴν ψυχήν· ἢ χῶ, τὸ χωρῶ, καὶ μετὰ τοῦ στερητικοῦ α, ἄχω, ὁ μὴ χωρούμενος[p] διὰ τὴν λύπην, ἐκ τοῦ ἄχω ἀχύω, καὶ πλεονασμῷ τοῦ ν ἀχνύω ἐν ὑπερβιβασμῷ, καὶ ἄχνυμι.

Ἀγήνωρ: (Il. B. 276.) Παρὰ τὸ ἄγαν καὶ τὸ ἀνὴρ, γίνεται ἀγάνωρ· καὶ ἀποροῦσι τινες λέγοντες ὅτι τροπὴν ἔπαθεν, ἢ μετασχηματισμὸν ἴδιον· καὶ λέγουσι ὅτι ἴδιον σχηματισμόν. πῶς; διότι τὸ ἀνὴρ, μετ' ἄλλης λέξεως κατ' ἀρχὴν συντιθέμενον,

[h] Cod. om. ἰδών. [i] Om. Cod. [k] Cod. ἀμελγός. [l] Leg. γεωργῶ cum Etym. M. p. 129, 12. [m] Cod. προυκείμενον. [n] Male repetit Cod. et quasi initium novæ glossæ habet. [o] Cod. τρύγαν. [p] Cod. χορούμενος.

τρέπει τὸ α εἰς η, καὶ τὸ η εἰς ω· οἷον Εὐήνωρ· Ἀντήνωρ· ῥυπήνωρ· τὸ δὲ Νικάνωρ κατὰ τροπὴν Βοιωτικὴν γέγονε τοῦ η εἰς α.

Ἀνώγω: Τὸ ω[q] μέγα διατί; ἐκ τοῦ ἀνάγω, τοῦτο ἐκ τοῦ ἄναξ· ὁ μέλλων ἀνάξω, ὁ μέσος παρακείμενος ἀνῆγα, καὶ ὥσπερ ἐκ τοῦ πέπληγα μέσου παρακειμένου, ἐγένετο ῥῆμα πεπλήγω, οὕτως ἐκ τοῦ ἀνῆγα μέσου παρακειμένου γίνεται ῥῆμα ἀνήγω, καὶ τροπῇ τοῦ μακροῦ εἰς μακρὸν γίνεται ἀνώγω[r]. τοῖς γὰρ ἀνάσσουσι καὶ ἄρχουσι πέφυκε τὸ κελεύειν, καὶ ἔχει μέλλοντα,

πληθὺν δὲ ποτὶ νῆας ἀνώξομεν ἀπονέεσθαι. (Il. O. 295.)

Ἅμα: (Il. A. 251.) Δασύνεται, ὥσπερ ἐστὶ χάζω τὸ ὑποχωρῶ, καὶ ἐκβολῇ τοῦ χ ἔμεινεν ἡ ἀναλογοῦσα τῷ χ δασεῖα ἐν τῷ ἕξω, οὕτως καὶ τὸ ἅμα, ἐκ τοῦ θαμὰ γινόμενον.

Ἀγοράασθαι: Ἀπαρέμφατον ἐκ τοῦ ἀγορῶ, καὶ περισπᾶται· τὰ γὰρ εἰς ω λήγοντα ῥήματα τῷ ο παραληγόμενα, περισπῶνται· οἷον δημηγορῶ· γρηγορῶ· ἀλληγορῶ· οὕτως καὶ ἀγορῶ δευτέρας συζυγίας τῶν περισπωμένων, καὶ τὸ ἀπαρέμφατον, ἀγοράασθαι, καὶ ἀγοράζω, τὸ εἰς ἀγορὰν ἐμβάλλειν.

Ἀσχαλάα: (Il. B. 293.) Ῥῆμα· ἐνεστῶτος, πρώτης συζυγίας τῶν περισπωμένων· ἔστι γὰρ ἀσχάλλω, ὁ μέλλων ἀσχαλῶ, ἐξ οὗ ῥῆμα περισπώμενον ἀσχαλῶ, τὸ δεύτερον ἀσχαλάας, τὸ τρίτον ἀσχαλάει ἀσχαλᾷ, καὶ πλεονασμῷ τοῦ α ποιητικῶς· ὥσπερ καὶ ἐν ἄλλῳ ὁ ποιητὴς

οὔτε θαλάσσης κῦμα τόσον βοάα (Il. Ξ. 394.)

καὶ ἐστὶ τὸ μὲν ἓν α τὸ πρὸ τέλους βραχείας, τὸ δὲ α τὸ ἐπὶ τέλους μακρόν· ἐπειδὴ κανὼν ἐστὶν ὁ λέγων, ὅτι πᾶσα συλλαβὴ πλεονάζουσα, βραχύτερα θέλει εἶναι τῆς ἐν ᾗ πλεονάζει συλλαβῆς[s].

Ἄελλα: Ὄνομα προσηγορικὸν καὶ ῥηματικὸν, καὶ γίνεται παρὰ τὸ ἄω, τὸ πνέω, ἄελα, καὶ πλεονασμῷ ἑτέρου λ ἄελλα, ὡς τὸ θύελλα, καὶ προπαροξύνεται· κανὼν γὰρ ἐστὶν ὁ λέγων, ὅτι τὰ εἰς λα ὑπερβᾶσαν συλλαβὴν ἔχοντα, τὴν πρὸ τέλους

[q] Cod τὸ γω. [r] Cf. Etym. M. p. 115, 24. [s] Cf. Etym. M. p. 161, 35.

συλλαβὴν εἰς λ καταλήγουσαν ἅπαντα προπαροξύνεται[t] οἷον, δίκελλα· μάκελλα· θύελλα· Πρίσκιλλα· Σίβυλλα· καὶ τὰ ὅμοια.

Αὐλίδα: (Il. B. 303.) Ἐκ τοῦ Αὐλὶς, τὸ δὲ Αὐλὶς, ἐκ τοῦ αὐλίζω, αὐλίσω, αὐλίς. καὶ τί μετέχει; ἐπειδὴ ἐκεῖ συνηθροίσθησαν οἱ Ἕλληνες.

Ἀγρομένῃσιν: (Il. B. 481.) Ἔστιν ἀγείρω τὸ συναθροίζω, τὸ παθητικὸν, ἀγείρομαι καὶ ἀγειρόμενος, καὶ ταῖς ἀγρομέναις κατὰ ποιητικὴν τροπὴν τοῦ α εἰς η.

Ἀΐξας: (Il. E. 81.) Ἀΐσσω, ὁ παρατατικὸς ἤϊσσον, καὶ οὔτε χρονικῶς αὐτὸ ηὔξησεν, οὔτε συλλαβικῶς, τὸ γὰρ ἀΐσσω πάντοτε ὁ ποιητὴς μακρὸν ἔχει.

Ἀμφιαχυῖαν: (Il. B. 316.) Μετοχὴ θηλυκὴ, ἐκ τοῦ ἀμφιάχω, τοῦτο ἐκ τοῦ ἴα ἡ ἐκπεμπομένη βοή· ἐξ αὐτοῦ ἴος, καὶ μετὰ τοῦ στερητικοῦ α, ἄϊος καὶ ἀΐας, ὁ ἄφωνος, καὶ τὸ Ἀττικὸν ἄνεως καὶ ἄνεω

δὴν δ' ἄνεῳ ἦσαν. (Il. I. 30.)

εὐθεῖα τῶν πληθυντικῶν· λοιπὸν ἐκ τοῦ ἴα γέγονεν ἰάχω, καὶ ἰαχὴ, καὶ ἀμφιάχω, καὶ ὁ μέλλων ἀμφιάξω, ἀμφιάχαα, ἀμφιαχὼς, ἀμφιαχυῖα· τὰ γὰρ εἰς α θηλυκὰ παρεσχηματισμένα, ἰσοσυλλαβεῖ τῇ γενικῇ τοῦ ἀρσενικοῦ[u].

Ἀρίζηλος: Σημαίνει τὸν διάδηλον καὶ φανερόν· καὶ γίνεται ἐκ τοῦ ἄρι ἐπιτατικοῦ· τοῦτο ἐκ τῆς περὶ προθέσεως, αὕτη γὰρ ἡνίκα ὀξύνεται τὸ περισσὸν σημαίνει,

περὶ μέν σε τίω. (Il. Δ. 257.)

καὶ Δωρικῷ ἔθει τρέπεται τὸ ε εἰς α, ἀποβάλλει καὶ τὸ κατ' ἀρχὴν σύμφωνον· οἷον· μέχρι· ἄχρι· περί· ἀρὶ, τὸ περισσῶς, καὶ τὸ δῆλος, ὃ σημαίνει φανερὸν, ἀρίδηλος, καὶ πλεονασμῷ τοῦ σ ἀρίσδηλος· καὶ ἐπειδὴ τὸ ζ ἐκ τοῦ σ καὶ δ σύγκειται, τρέπεται τὸ δ καὶ σ εἰς ζ, καὶ γίνεται ἀρίζηλος[x].

Αὖθις: (Il. A. 425.) Ἐπίρρημα τοπικὸν, καὶ γίνεται ἐκ τοῦ αὐτόθι, τοῦτο ἐκ τοῦ αὐτοῦ· καὶ Ὅμηρος

[t] Cod. male παροξύνεται vid. Etym. M. p. 19, 51. [u] Cf. Etym. Gud. p. 48, 1. [x] Cf. Etym. M. p. 142, 20.

αὐτοῦ κ᾿ ἔνθ᾿ ἀκάχοιτο. (Il. Θ. 207.)

ἀντὶ τοῦ ἐκεῖσε· καὶ ὥσπερ ἀπὸ τοῦ ἀγχοῦ γίνεται ἄγχοθι, οὕτως καὶ ἀπὸ τοῦ αὐτοῦ αὐτόθι· καὶ ἐν συγκοπῇ αὖθι· διαφέρει δὲ αὖθι καὶ αὖθις, τὸ μὲν γὰρ αὖθι τοπικὸν ἐπίῤῥημα ἀπὸ τοῦ αὐτόθι, τὸ δὲ αὖθις σημαίνει πάλιν, καὶ μετὰ ταῦτα· τὸ θι ἰῶτα· διατί; τὰ εἰς ις ἐπιῤῥήματα πεφυκότα λέγεσθαι καὶ ἄνευ τοῦ σ, διὰ τοῦ ἰῶτα γράφεται· αὖτις καὶ αὖτι· μέχρις καὶ μέχρι· αὖθις καὶ αὖθι.

Ἄκρητον: (Od. B. 341.) Τί σημαίνει;

. . . κρητῆρι δὲ οἶνον
μίσγον. (Il. Γ. 269.)

τοῦτο δὲ σημαίνει ὅτι τῷ κρατῆρι τὸν οἶνον τῶν τε Τρωῶν καὶ Ἑλλήνων, ἤγουν ἡμῶν· γίνεται δὲ ἐκ τοῦ κερῶ, τὸ ἐπιχέω, ὁ μέλλων κεράσω[y] συγκοπῇ κράσω· κρατὴρ ἐκ τοῦ κράσω, κρατὸς, ἄκρατος καὶ ἄκρητος, τροπῇ τοῦ α εἰς η.

Ἀπὸ ἧς: Οὐκ ἀναστρέφεται ἡ πρόθεσις, ἐπειδὴ ἡ ἀπὸ πρόθεσις συντασσομένη μετὰ τῆς γενικῆς, τὸν οἰκεῖον τόνον τηρεῖ· ὡς ἐν τῷ

φίλης ἀπὸ πατρίδος αἴης. (Il. B. 162.)

καὶ δηλοῖ χωρισμὸν, ὡς ἐπὶ τοῦ ἀπέχω, τὸ πόῤῥωθεν ἐμαυτὸν καθιστῶ, καὶ ἀποβάλλω, καὶ ἀποῤῥίπτω, καὶ τῶν ὁμοίων.

Ἀστεμφές: (Il. Γ. 219.) Ἐκ τοῦ στρέφω, στρέφης, καὶ ἀστρεφὴς, καὶ ἀστερφὴς μετὰ τοῦ στερητικοῦ, καὶ ἐν ὑπερβιβασμῷ, καὶ μεταθέσει τοῦ ρ εἰς μ, γίνεται ἀστεμφής[z].

Ἀνύω: Παρὰ τὸ ἀνύω τὸ πράττω· τὸ δὲ ἀνύω διφορεῖται κατὰ τὸν χρόνον· ἔστι γὰρ παρὰ τῷ ποιητῇ καὶ μακρὸν καὶ βραχύ· μακρὸν μὲν, ὡς ἐν τῷ,

μάλα γὰρ νὺξ ἀνύεται[a]. (Il. K. 251.)

βραχὺ δὲ, ὡς ἐν τῷ,

Ὅππως Ἥφαιστος γ᾿ ἐθέλοι καὶ ἔργ᾿ ἀνύοιτο. (Il. Σ. 473.)

τὸ δὲ ἀνύω ἀεὶ ἐν συστολῇ ὁ ποιητὴς παραλαμβάνει[b].

Ἀστράπτω: (Il. B. 353.) Ἐκ τοῦ ἀστεροπή· τοῦτο ἐκ

[y] Cod. κεάσω. [z] Cf. Etym. M. p. 158, 33. [a] Edd. ἄνεται.
[b] Cf. Etym. Gud. p. 61, 44.

τοῦ ἀστὴρ, ἀστέρος, καὶ τοῦ ὄπτω ἀστεροπὴ[c], καὶ ἐκβολῇ τοῦ τ ἀστροπὴ, καὶ κατὰ παραγωγὴν ἀστεράπτω, καὶ ἐν συγκοπῇ ἀστράπτω.

ἈΛΑΠΆΖΕΙΝ: (Il. B. 367.) Ἐκ τοῦ λάπαθος, ἥτις ἐστὶ βοτάνη κενωτικὴ τῆς γαστρὸς, καὶ γίνεται παρὰ τὸ λα ἐπιτατικὸν μόριον, καὶ τὸ πάθος· παρὰ τὸ λίαν ἄποθεν ἡμῶν τὰ πάθη ποιεῖν· ἐκ τούτου γίνεται ῥῆμα λαπάζω, καὶ πλεονασμῷ τοῦ α ἀλαπάζω.

ἈΦΡΑΔΊΑ: (Il. B. 368.) Ἐκ τοῦ ἀφραδὴς, τοῦτο ἐκ τοῦ φράζω, φραδὴς, καὶ ἀφραδὴς, ὁ ἄβουλος καὶ ἄπορος, καὶ τὸ θηλυκὸν ἀφραδία.

ἌΠΟΛΛΟΝ: (Il. B. 371.) Κλητικὴ, διατὶ ἀναβιβάζει τὸν τόνον; τὰ εἰς ων σύνθετα, ὅταν εἰς ον εἴη ἡ κλητικὴ, ἀναβιβάζει τὸν τόνον ὑπὲρ δύο συλλαβὰς ὄντα. τί ἐστιν ὅταν εἰς ον εἴη ἡ κλητική; συνεξακούεται τὸ εἰς ον μικρόν· οἷον, Ἀγάμεμνον· ὀλβιόδαιμον· κακόδαιμον· Αὐτόμεδον· κυλλοπόδιον· χαμαιλέον· Ἐνόσιχθον· Ἄπολλον· ταῦτα γὰρ εἰς ο μικρὸν ὄντα ἀναπέμπουσι τὸν τόνον· πρόσκειται ὅταν ἔχωσι τὴν κλητικὴν εἰς ον διὰ τοῦ ο μικροῦ, διὰ τὸ ὦ χαλκοχίτων, καὶ ὦ φιλοπλάτων, ταῦτα γὰρ εἰς ων ἔχουσι τὴν κλητικὴν, ἀλλὰ διὰ τοῦ ω μεγάλου, καὶ οὐκ ἀναβιβάζουσι τὸν τόνον· πρόσκειται ὑπὲρ δύο συλλαβὰς, διὰ τὸ ἄκμων, τοῦτο γὰρ σύνθετον ἐστὶ παρὰ τὸ α ἐπιτατικὸν μόριον, καὶ τὸ κάμων, καὶ ἀκάμων, καὶ συγκοπῇ ἄκμων, ὁ πάνυ κάμνων· ἔχει οὖν καὶ τοῦτο διὰ τοῦ ο τὴν κλητικὴν, καὶ οὐ προπαροξύνεται, ἐπειδὴ δισύλλαβόν ἐστι· πρόσκειται σύνθετον, διὰ τὸ Ἱκετάον· Μαχάον· Ἀρετάον· ταῦτα γὰρ οὐ προπαροξύνεται κατὰ τὴν κλητικὴν, ἐπειδὴ ἁπλᾶ εἰσὶν, καὶ οὐχὶ σύνθετα· σεσημείωται τὸ ω Λακεδαῖμον, καὶ Παλαῖμον, ταῦτα γὰρ οὐ προπαροξύνεται κατὰ τὴν κλητικὴν, ἀλλὰ προπερισπᾶται· ἔστι δὲ σύνθετον· οὕτως δέ φασι λέγεσθαι τὴν πόλιν, ἐπειδὴ ἐν αὐτῇ πρῶτον οἱ θεοὶ ἔλαχον, καὶ ἐκληρώσαντο τὰς πόλεις, οἱονεὶ Λαχεδαίμων τὶς οὖσα, τροπῇ τοῦ δασέως εἰς ψιλόν· καὶ τὸ Παλαίμων παρὰ τὸ πάλη, ὃ ση-

[c] Leg. ἀστεροπτὴ cum Etym. Gud. p. 86, 36.

μαίνει τὴν παλέστραν, καὶ τὸ αἶμον, ὃ σημαίνει τὸν ἔμπειρον, γίνεται παληαίμων, καὶ ἐν συγκοπῇ παλαίμων· θέλουσι δὲ καὶ τὸ Εὐδαίμων κύριον ὄνομα μὴ προπαροξύνειν ἐν τῇ κλητικῇ, ἀλλὰ προπερισπᾶν, πρὸς ἀντιδιαστολὴν τοῦ ἐπιθέτου· ἐκεῖνο γὰρ προπαροξύνεται κατὰ τὴν κλητικήν· εὔδαιμον· ὀλβιόδαιμον· κακόδαιμον. Ἀπόλλων παρὰ τὸ ἀπολύειν τῶν κακῶν τοὺς ἀνθρώπους· ἰατρὸς γὰρ καὶ μάντις· οἱ δὲ παρὰ τὸ ἀπολύειν τὰς ἀκτῖνας, ὁ αὐτὸς γάρ ἐστι τῷ ἡλίῳ· οἱ δὲ ἀπὸ τοῦ πάλλειν τὰς ἀκτῖνας· ὁ κανών· τὰ εἰς λων ὑπὲρ δύο συλλαβὰς βαρύτονα διὰ τοῦ ω κλίνεται· οἷον Ἀσκάλων Ἀσκάλωνος· Ἀπόλλων Ἀπόλλωνος· βαρύνεται· τὰ εἰς λων ὑπὲρ δύο συλλαβὰς βαρύνεσθαι θέλει· εἰ μὴ ἦν περιεκτικὰ, Ἀσκάλων· Ἀπόλλων· τὸ ἀμπελὼν καὶ μυλὼν περιεκτικά· σεσημείωται τὸ Βαβυλὼν καὶ τὸ μιμαλλὼν θηλυκὰ, ὃ σημαίνει τὴν μαινάδα[d].

Αἴ: (Il. B. 371.) Ἐπίῤῥημα εὐχῆς σημαντικόν· τοῦτο ἐκ τοῦ ει τοῦ σημαίνοντος τὸ εἴθε· τροπῇ τοῦ ἰῶτα εἰς α, καὶ ἀπομερίζει τὸ ἰῶτα, καὶ γίνεται αἴ.

Ἀθηναίη: (Il. B. 371.) Τὸ ναι δίφθογγος· διατί; ὡς δίκη δικαία· ἔστι γὰρ Ἀθήνη Ἀθηναία· παρὰ τὸ θῶ, τὸ θηλάζω· θήνη καὶ ἀθήνη· ἀμήτωρ γὰρ ἡ θεὸς παραδίδοται· ἔστιν Ἀθηναία, καὶ ὥσπερ τὸ[e] Ναυσικάα κατὰ κρᾶσιν τῶν δύο αα εἰς α μακρὸν γίνεται Ναυσικᾶ, οὕτως καὶ ἀπὸ τοῦ Ἀθηναία ἀποβολῇ τοῦ ι γίνεται Ἀθηνάα, καὶ κατὰ κρᾶσιν τῶν δύο αα εἰς α μακρὸν γίνεται Ἀθηνᾶ, ἐξ οὗ περισπᾶται· πᾶσα γὰρ συναίρεσις, ἀνάβλησις[f] ἀναβολὴ καὶ ὑπέρθεσις· ἐκ τοῦ ἀναβάλλομαι, τὸ ὑπερτίθεμαι, καὶ βραδύνω· ἀναβάλλω, ὁ μέλλων ἀναβαλῶ, ἀνάβλησις· ἡ δὲ ἀνὰ πρόθεσις ἐν τῇ συνθέσει δύο σημαίνει, τὴν ἄνω σχέσιν ὡς ἀναδρομὴ, ἄνοδος, καὶ τὴν εἰς τοὐπίσω ἀνάκαμψιν, ὡς τὸ ἀναβάλλομαι, ἀνατρέχω, ἀνάβλησις.

Ἄρτιος: (Il. E. 326.) Τὰ διὰ τοῦ ιος ὀνόματα προπαροξύτονα, παρ᾽ ἐνεστῶτος ἢ μέλλοντος παρηγμένα, διὰ τοῦ ἰῶτα

[d] Corr. ergo Etym. M. p. 130. 31. ubi leg. μονῳδίαν. quo vitio consentit etiam Gud. p. 68, 24. [e] Cod. τά. [f] Sic Cod. sed vid. Ἀνάβλησις novæ glossæ initium esse.

γράφεται· οἷον ἄγω ἅγιος· ὅσιος· Ἁρμόδιος· καὶ ἀρκῶ ἄρκιος· ψιλοῦται.

Αἰεί: (Il. A. 52.) Τὰ εἰς ει λήγοντα ἐπιῤῥήματα, εἰ μὲν εἴη καθαρὰ, ἢ διπλῷ παραληγόμενα, διὰ τῆς ει διφθόγγου γράφεται· οἷον αὐτοθεεί· αὐτοβοεὶ, ἀντὶ τοῦ παραχρῆμα· ἀθεεί· αὐτοψεί· αὐτολεξεί· σεσημείωται ὀξύτονα· τὰ εἰς ει δισύλλαβα ἐπιῤῥήματα ὀξυνόμενα εἰσί· σεσημείωται τὸ ἄγρει βαρυνόμενον, καὶ τὸ ἐκεῖ περισπώμενον· καὶ τὸ ἐκεῖ[g] ὅπερ ἐστὶν ἐξ ἀποκοπῆς.

Αἰέν: (Il. A. 290.) Σημαίνει τὸ διηνεκῶς· ἔστιν ἐπίῤῥημα χρόνου δηλωτικὸν, ποιητικὸν δέ ἐστι· γίνεται ἀεὶ αἰέν· τριχῶς οἶδεν ὁ ποιητὴς τοῦτο· αἰέν· ἀεί· αἰεί.

Ἀθρόος: (Il. B. 439.) Ὄνομα· ἄθροος καὶ ἀθρόος διαφέρει· προπαροξύτονον σημαίνει τὸν αἰφνίδιον· παροξύτονον δὲ σημαίνει τὸν συνηθροισμένον, καὶ Ὅμηρος

ἡμεῖς ἀθρόοι ὧδε. (Il. B. 439.)

διὰ τὸ ἀθροιστικὸν α δασύνεται.

Ἄφαρ: (Il. A. 349.) Ἐπίῤῥημα μεσότητος, ἀντὶ τοῦ εὐθέως· παρὰ τὸ ἅπτω, τὸ εὐθέως ἅμα τῷ ἅψασθαι γενόμενον· ἐξ οὗ καὶ Ἴωνες καὶ οἱ Ἐφέσιοι ἀφαρεὶ λέγουσι, τὸ εὐθέως καὶ ἀσκόπως ποιεῖν τι, ἢ φθέγγεσθαι[h].

Ἀΐδηλον: (Il. B. 455.) Ἐκ τοῦ ἰδῶ τὸ βλέπω· καὶ ὥσπερ ἀπὸ τοῦ στίλβω στιλπνὸς, οὕτω παρὰ τὸ ἰδῶ γίνεται ἴδνος διὰ τοῦ ἰῶτα· πολλὰ γὰρ εἰσὶν ὀνόματα· καὶ μετὰ δῆλος, ὃ σημαίνει τὸν φανερὸν, γίνεται αϊδνόδηλος, καὶ ἐν συγκοπῇ αἴδηλος.

Ἀσίῳ: (Il. B. 461.) Ὄνομα πτώσεως γενικῆς, ὡς ἐμμελίῳ· ἡ εὐθεῖα Ἀσίας, καὶ ψιλοῖ· τὸ α ἐπαγομένου τοῦ σ, ἢ ἑνὸς, ἢ δισσοῦ, ψιλοῦται· λοιπὸν ἡ εὐθεῖα Ἀσίας, ἐκλίθη δὲ Ἀσίας ὁ λειμὼν ἀπὸ τοῦ Ἀσύου[i] τοῦ Κότυος, ὃς ἦν βασιλεὺς Λυδίας· κλίνεται Ἀσίας Ἀσίου, ὡς ὁ κοχλίας κοχλίου· καὶ τὸ Ἰωνικὸν Ἀσιέω· ὁ κανών· οἱ Ἴωνες τὰς εἰς ου γενικὰς τὰς ἀπὸ τῶν εἰς ης καὶ εἰς ας γινομένων, διὰ τοῦ εω προφέρουσιν· οἷον Ὀρέστης Ὀρέστου Ὀρέστεω· Ἀτρείδης Ἀτρείδου Ἀτρειδέω, οὕτως καὶ Ἀσίεω·

[g] Leg. κεῖ. vid. mox in v. κεῖνος. [h] Cf. Etym. M. p. 175, 12.
[i] Leg. Ἀσίου cum Etym. M. p. 153, 44.

ὁ τόνος· αἱ διὰ τοῦ εω Ἰωνικαὶ γενικαὶ, εἰ μὲν ἀπὸ βαρυτόνων τινῶν γενικῶν ὦσι, προπαροξύνονται, χωρὶς εἰ μὴ κατὰ πάθος ὦσιν· οἷον, Ὀρέστης Ὀρέστου Ὀρέστεω, καὶ τἄλλα· πρόσκειται εἰ μὴ κατὰ πάθος ὦσι, διὰ τοῦ Ἑρμείου Ἑρμείεω καὶ κατὰ συγκοπὴν

Ἑρμείωτε καὶ Ἡφαίστοιο ἄνακτος. (Il. O. 214.)

Βορέου Βορέεω, καὶ ἐν συγκοπῇ Βορέω· οὕτω οὖν καὶ Ἀσίας Ἀσίου Ἀσίεω καὶ ἐν συγκοπῇ Ἀσίῳ·

Ἀσίῳ ἐν λειμῶνι. (Il. B. 461.)

Αἰπόλιον: (Il. B. 474.) Ὄνομα οὐδέτερον σχήματος συνθέτου· τὸ λι ἰῶτα· διατί; τὰ διὰ τοῦ ιον οὐδέτερα μονογενῆ, ὑπὲρ τρεῖς συλλαβὰς προπαροξύτονα[k], μὴ ὄντα κτητικὰ, διὰ τοῦ ἰῶτα γράφεται· οἷον παρθένιον· κυδώνιον· γενέθλιον· οὕτως οὖν καὶ αἰπόλιον· πρόσκειται κτητικὰ, διὰ τὸ Ἀνακτόρειον· Ἡράκλειον· γίνεται παρὰ τὸ αἲξ αἰγὸς, καὶ τὸ πολῶ, τὸ ἀναστρέφομαι, αἰγοπόλιον καὶ αἰπόλιον, καὶ σημαίνει τὸ ποίμνιον· διαφέρει ποίμνιον καὶ[l] αἰπόλιον[m] ὅτι τὸ μὲν αἰπόλιον σημαίνει τὸ πλῆθος τῶν αἰγῶν· ποίμνιον δὲ τὸ πλῆθος τῶν προβάτων· αἰπόλιον ἐκ τοῦ αἲξ αἰγὸς, καὶ τὸ πολῶ, αἰγοπόλος, ὁ παρὰ τὰς αἶγας ἀναστρεφόμενος, καὶ συγκοπῇ αἰπόλος· καὶ διατὶ οὐκ ἀναβιβάζει τὸν τόνον; ἐπειδὴ τὰ παρὰ τὸ πολῶ συντιθέμενα, πρὸ μιᾶς ἔχει τὸν τόνον· ὀνειροπόλος· θυηπόλος· πρόσκειται μὴ μετὰ προθέσεως διὰ τὸ ἀμφίπολος· πρόπολος[n].

Ἄειδε: (Il. A. 1.) Προστακτικὸν, χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ· τὸ θέμα ἀείδω· γράφεται διὰ τῆς ει διφθόγγου, ἀντιπαράκειται γὰρ αὐτῶ τὸ ἀσιδή· τὰ γὰρ ἔχοντα τὸ ο ἐγκείμενον ἐν τοῖς ὀνόμασι, ἔχουσι τὸ ε ἀντιπαρακείμενον ἐν τοῖς ῥήμασι· γίνεται παρὰ τὸ εἴδω, τὸ ἐπίσταμαι, καὶ τὸ α ἐπιτατικὸν μόριον, τὸ πάνυ ἐπίσταμαι· ἐξ αὐτοῦ γέγονε τὸ ᾄδω κατὰ κρᾶσιν τοῦ αε εἰς α μακρὸν, καὶ μένει τὸ ι ἀνεκφώνητον· τὸ δὲ ᾠδὴ γέγονεν ἀπὸ τοῦ ἀοιδὴ κατὰ κρᾶσιν τοῦ αο εἰς ω μεγάλον· ᾠδὴ ψιλοῦται· τὸ α η ι ο πρὸ φωνήεντος ὄντα κατὰ διάστασιν,

[k] Cod. προπαροξύνεται (τν written above). [l] Cod. om. καὶ. [m] Cod. αἰοπόλιον.
[n] Cf. Etym. M. p. 37, 50.

ψιλοῦται· ἄαπτος· ἀΐω· ἀήσυλος· ἰάπτω· ἴαμβος· ἰατρός· Ἠετίων· ἠέλιος· ὀΐω· ὀϊστός· οὕτως οὖν καὶ ἀείδω· σεσημείωται τὸ ἵημι, καὶ ὅσα γέγονε παρ' αὐτό· ἱέραξ· ἱόμωροι· καὶ τὸ ἰῶ Ἀττικοὶ δασύνουσι· τὸ ἀείδω βαρύνεται· τὰ εἰς δω[o] ὑπὲρ δύο συλλαβὰς ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς φωνῆεν λήγουσαν, περισπᾶται, εἰ μὴ τύχοι ἡ ει δίφθογγος· ὀπηδῶ[p]. ἀοιδῶ· τραγῳδῶ· ἀφ' οὗ τὸ ὁμάδησαν ἐκ τοῦ ὅμαδος, τοῦτο παρὰ τὸ ὁμοῦ αὐδᾶν, καὶ κελαδῶ· τὸ γὰρ κελάδων κελάδοντος ἑτέρῳ λόγῳ βαρύνεται· ἐξέφυγεν ἄρα τὸ ἀείδω καὶ ἐρείδω[q].

Ἀρητῆρα: (Il. A. 11.) Ἰωνικὸν, τροπῇ τοῦ α εἰς η, ἀρατῆρα, παρὰ τὸ ἀρῶ, ἀρᾶς, ἀράσω, ἀρατὴρ καὶ ἀρητήρ· τὸ δὲ ἀρῶ παρὰ τὸ ἀρὰ, τοῦτο παρὰ τὸ αἴρω, τὸ κουφίζω, τὸ εἰς ὕψος αἴρειν τὰς χεῖρας· λέγεται δὲ καὶ ἀρὰ ἡ εὐχὴ, καὶ ἡ κατάρα, ἴσως ἀπὸ τοῦ ἀέρος βλαπτικοῦ ὄντος.

Ἄποινα: (Il. A. 20.) Οἱ μὲν ἐκ τοῦ φόνου ἄφονος, καὶ εἴρηται· λέγεται ῥηματικοῦ καὶ ἀποινῶ, συζυγιάς δευτέρας, τουτέστιν τὸ χρήματα εἰσπράττεσθαι· τὸ δὲ φένω παρὰ τὸ φάνος· τὸ δὲ φένω παρὰ τὸ ἔνω, τὸ φονεύω, ἐξ οὗ καὶ Ἐνυάλιος[r] καὶ Ἐνυὼ ἡ πολεμικὴ θεός· τὸ δὲ Ἐνυὼ παρὰ τὸ ἔω, τὸ τελειῶ· πλεονάζει δὲ τὸ υ πολλάκις ἐν ταῖς στερήσεσιν· οἷον, ἀνάξιος· ἀναίσχυντος· ἀΐδης ἀναιδής· τετραχῶς συντίθεται τὰ εἰς η λήγοντα θηλυκὰ, ἢ γὰρ τρέπουσι τὸ η εἰς ο, ὡς τὸ νύμφη νυμφοστόλος· τιμὴ Τιμόθεος· ἢ φυλάττουσιν αὐτό· ὡς γῆ γηπόνος· βοὴ βοηθός· θαλάμη θαλαμηπόλος· βουλὴ βουληφόρος.

Αἰδεῖσθαι: (Il. A. 23.) Συζυγίας α' τῶν περισπωμένων ἀπαρέμφατον ἀντὶ προστακτικοῦ· εἰώθασι γὰρ οἱ ποιηταὶ ἀπαρεμφάτοις χρῆσθαι ἀντὶ προστακτικῶν· τὸ θέμα αἰδῶ αἰδήσω, ἐξ οὗ καὶ αἰδήμων[s]· τοῦτο παρὰ τὸ αἰδώς· τοῦτο παρὰ τὸ εἴδω, τὸ βλέπω· καὶ μετὰ τοῦ στερητικοῦ α ἀΐδως, καὶ αἰδώς· οἱ γὰρ ἐντρεπόμενοι συστέλλουσι τὰ ὄμματα[t].

Ἀφίει: (Il. A. 25.) Ἔστι ῥῆμα ἰῶ περισπώμενον, καὶ

[o] Cod. δύο. [p] Cod. ὀπιδῶ. [q] Hinc pluries corr. Etym. Gud p. 10. ead. v. [r] Cod. ἐνάλιος. [s] Cod. αἰδίμων. male Etym. Gud. ἀδημοι. p. 14. [t] Cod. male ὀνόματα.

δασύνεται· τούτου ὁ παρατατικὸς ἴουν, τὸ δεύτερον ἴεις, καὶ τὸ τρίτον ἴει, καὶ συνθέσει ἀφίει, ἐξ οὗ καὶ τὸ προίει· ἰστέον δὲ ὅτι τοῦ δίδωμι, καὶ τίθημι, καὶ ἵημι οἱ παρῳχημένοι, μᾶλλον ἀπὸ τῶν εἰς ω εἰσὶν ἐν χρήσει ἤπερ ἀπὸ τῶν εἰς μι

ὣς εἰπὼν ἐν χερσὶ τίθει. (Il. A. 446.)

Ἀργεΐ: (Il. A. 30.) Ἀπό τινος Ἄργους ἐν Πελοποννήσῳ κατοικήσαντος· ἰστέον δὲ ὅτι αὗται αἱ δοτικαὶ, ἐὰν μὴ ἔχωσι ἐπιφερόμενον σύμφωνον, διαιροῦνται·

Ἔνθ' αὖ Τυδείδῃ Διομήδεϊ Παλλὰς Ἀθήνη. (Il. E. 1.)

εἰ δὲ φωνῆεν, οὐ διαιροῦνται·

σῷ θάρσει ὅτ' ἐμὸν δολιχόσκιον ἔγχος. (Il. Z. 126.)

χωρὶς εἰ μὴ κωλύοι μέτρον, ὡς τὸ,

χαριζομένη πόσεϊ ᾧ· (Il. E. 71.)

τινὰ δὲ καὶ χωρὶς μέτρων παρήλλακται· οἷον,

μετέπειτά δὲ ἡδέϊ οἴνῳ. (Od. K. 519.)

Ἀντιόωσαν: (Il. A. 31.) Παρὰ τὴν ἀντὶ πρόθεσιν γίνεται ἀντίος, καὶ ἐκ τούτου ἀντιῶ, ἀντιᾶς, τὸ ὑποτακτικὸν ἀντιῶ οὖν, καὶ ἡ θηλυκὴ μετοχὴ ἀντιῶσα, ὡς βοῶσα, καὶ πλεονασμῷ τοῦ ο ἀντιόωσα, ὡς γελόωσα καὶ κυδιόωσα, ἡ γαυριῶσα· ἔστι δὲ δευτέρας συζυγίας τῶν περισπωμένων· ἔστι δὲ ὁμώνυμος ἡ λέξις· ὅτε γὰρ δηλοῖ τὸ ἀντιλαμβανομένη, αἰτιατικῇ συντάσσεται, ὅτε δὲ τὸ ἀπαντῶσα, γενικῇ·

ἀντιόων ταύρων τε καὶ αἰγῶν[u]. (Od. A. 25.)

οἱ γὰρ ποιηταὶ πλεονάζουσι τὸ ο·

βοόωντά τε. (Il. B. 198.)

Ἀπερείσια: (Il. A. 13.) Ἐκ τοῦ πέρας ἄπειρος[x] ἀπειρέσιος, καὶ ἐν ὑπερβιβασμῷ τοῦ ἰῶτα ἀπερείσιος.

Ἀμύμων: (Il. A. 92.) Ὁ ἄψογος· τοῦτο παρὰ τὸ μῶμος, ἀμώμων καὶ ἀμύμων κατὰ τροπὴν τοῦ ω εἰς υ.

Ἀκέων: (Il. A. 34.) Ἡσυχάζων, παρὰ τὸ ἀκὴν, τὴν ἡσυχίαν· ἢ λυπούμενος, παρὰ τὸ ἄχος, ἀχέω, καὶ ἀκέω, καὶ ἡ μετοχὴ ἀκέων· οἱ δὲ, τὸ πάνυ σιγᾶν καὶ λυπεῖσθαι, λέγουσι,

[u] Edd. καὶ ἀρνειῶν ἑκατόμβης.   [x] Cod. ἄπερος.

παρὰ τὸ κείω, τὸ κοιμῶμαι, μετὰ τοῦ ἐπιτατικοῦ α, ἀκείων καὶ ἀκέων. τὸ δὲ ἀκέων εἰ καὶ θηλυκὸν παρασχηματισμὸν ἔχει,

ἡ δ' ἀκέουσ' ἀπεβήσατο. (Il. E. 352.)

ἀλλὰ καὶ ὡς ἐπίῤῥημα πληθυντικὸν εἴρηται,

ἀλλ' ἀκέων δαίνυσθε. (Od. Φ. 89.)

ἢ γίνεται παρὰ τὸ ἄγω, τὸ ἐκπλήττομαι, ἀγὴν καὶ ἀκήν· ἔστιν οὖν ἐπίῤῥημα μεσότητος· ἀλλὰ κανὼν ἐστὶν ὁ λέγων αὐτὸ μετοχήν· ἐπὶ τῶν εἰς ων ληγόντων, οἷς παράκειται θηλυκὸν εἰς α τῇ παραληγούσῃ τοῦ σ, τούτοις τὸ εἶναι παρέπεται μετοχαῖς[y]· οἷον, λέγων λέγουσα· φέρων φέρουσα· φρονέων φρονέουσα· διὰ τούτου τοῦ λόγου δείκνυται καὶ τὸ κρείων μετοχὴ ἐκ τοῦ

κρείουσα γυναικῶν. (Il. X. 48.)

Ἀπάνευθεν: (Il. A. 35.) Ἐπίῤῥημα τοπικὸν, ἐκ τῆς ἀνὰ προθέσεως· ἀνὰ, ἄνευ, ἄνευθεν καὶ ἀπάνευθεν· ὡς ἀπὸ τοῦ ἄτερ, ἄτερθεν, καὶ ἀπάτερθεν· σημαίνει δὲ τὸ χωρίς.

Ἀπριάτην: (Il. A. 99.) Ἢ ἐπιῤῥηματικῶς δεῖ ἀκούειν, τουτέστιν ἄνευ πράσεως, ἢ θηλυκῶς, ἀπὸ τοῦ ὁ ἀπρίατος καὶ ἡ ἀπριάτη· πρίαμαι ἐστὶ τὸ πωλῶ· τοῦτο παρὰ τὸ πριῶ, ἐξ οὗ καὶ "πριῶ μοι," φησὶν ὁ κωμῳδὸς, "σελάχιον[z]" ἐκ τοῦ πριῶ, πριάσω, πεπρίακα, πεπρίαμαι, πεπρίαται, πρίατος καὶ ἀπρίατος, ὁμοφώνως τῷ ἀρσενικῷ· τὰ γὰρ εἰς ος σύνθετα κοινὰ εἰσὶ τῷ γένει.

Αἰχμητάων: (Il. A. 152.) Αἰχμητὴς, αἰχμητοῦ, παρὰ τὸ αἰχμὴ, αἰχμῶ αἰχμᾷς, αἰχμάσω, αἰχμὴ, ἥτις παρὰ τὸ ἀΐσσω γέγονεν ἀϊχὴ, καὶ κράσει αἰχὴ, καὶ πλεονασμῷ τοῦ μ αἰχμή. Δωρικὴ δὲ ἡ διάλεκτος· τὰ δὲ ἀπὸ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων γινόμενα ὀνόματα εἰς της, ὑπὲρ δύο συλλαβὰς, ὀξύνεται· ἐραστής· γελαστής· θεατής· δαπανητής· λωβητής· τὸ δὲ πεδήτης καὶ κομήτης καὶ ἀλήτης, οὐ παρὰ τὸ ῥῆμα, ἀλλὰ παρὰ τὸ πέδη, καὶ κόμη, καὶ ἄλη· τὰ δὲ τοιαῦτα βαρύτονα δισύλλαβα ὀνόματα δηλονότι ἀπὸ μονοσυλλάβων περὶ[a] τῆς

y Cf. Etym. M. p. 47. et Gud. p. 25. z Ead. hab. Etym. M. p. 132, 51. male Gud. p. 70, 29. πρίωμαι. a Leg. περισπωμένων. Cf. Etym. Gud. p. 23, 46. Etym. M. p. 40, 48.

δευτέρας συζυγίας ἐγένοντο, καὶ βαρύνονται· οἷον, κτῶ, κτήτης καὶ Φιλοκτήτης· βῶ, βήτης καὶ διαβήτης· πρῶ, πράτης· θλῶ, θλάτης· αἰχμητάων ὁ κανών· τὰς εἰς ων γενικὰς, τὰς ἀπὸ τῶν εἰς ων εὐθειῶν γινομένας, οἱ Αἰολεῖς διὰ τοῦ αων προφέρουσι· οἷον, μέλισσαι μελισσάων· μέλαιναι μελαινάων· οἱ δὲ Δωριεῖς διὰ τοῦ εων· πυλέων,

Ὣς εἰπὼν πυλέων ἐξέσσυτο φαίδιμος Ἕκτωρ. (Il. H. 1.)

Ἀταρτηροῖς: (Il. A. 223.) Παρὰ τὸ τείρω, τὸ καταπονῶ, καὶ ἐν συγκοπῇ, τρῶ, τρήσω, τρητὸς[b], καὶ μετὰ τοῦ στερητικοῦ α ἀτρηρὸς, καὶ πλεονασμῷ τοῦ α καὶ τοῦ τ ἀταρτηρός· ἢ παρὰ τὴν ἄτην, ὃ σημαίνει τὴν βλάβην, ἀτηρὸς καὶ ἀταρτηρὸς, προθέσεως μὴ συγκοπείσης.

Ἀποαίρεο: (Il. A. 275.) Ἐνεστῶτος καὶ παρατατικοῦ, ἀπὸ τοῦ αἴρω τὸ καταλαμβάνω, τὸ προστακτικὸν αἰροῦ, καὶ κατὰ διάλυσιν αἴρεο, καὶ μετὰ τῆς ἀπὸ ἀποαιρέο. [Ῥίπαι ὄρη Σκυθίας[c].]

Ἀναθηλήσει: (Il. A. 236.) Πρώτης συζυγίας τῶν περισπωμένων μέλλοντος α. παρὰ τὸ ἀναθηλῶ, τοῦτο παρὰ τὸ θηλῶ, ἢ παρὰ τὸ θάλλω καὶ θαλῶ, θαλήσω, τροπῇ θηλήσω· τοῦτο παρὰ τὸ θηλή· τοῦτο παρὰ τὸ θῶ, τὸ τρέφω.

Ἀμύξεις: (Il. A. 243.) Παρὰ τὸ ἀμύσσω, ἀμύξω· ὃ παρὰ τὸ αἷμα, αἱμάσσω· καὶ ἀμύσσειν, τὸ τοῖς ὄνυξι ξέειν.

Ἀθερίζον: (Il. A. 261.) Μεταφορικὴ ἡ λέξις ἀπὸ μεταφορᾶς τῶν ἀθήρων, ἤγουν τῶν ἀσταχύων τῶν ἐν τῇ ἅλω ἀπορριπτουμένων· οἱονεὶ ἡ μὴ θεριζομένη, καὶ πρὸς χρείαν συναγομένη, ἀλλ' ἀποβαλλομένη· γίνεται οὖν ἐκ τοῦ θέρος θερίζω, καὶ τοῦ στερητικοῦ α ἀθερίζω· τὸ δὲ θέρος παρὰ τὸ θέρω, τὸ θερμαίνω· ὁ μέλλων θερῶ, θέρσω[d] καὶ ἐξ αὐτοῦ Θερσίτης.

Ἀέκοντα: (Il. H. 197.) Μετοχὴ, παρὰ τὸ εἴκω, τὸ θέλω· ἡ μετοχὴ ἔκων παραλόγως, καὶ σεσημείωται, ἐν δὲ τῇ συνθέσει

[b] Leg. τρηρός. [c] Nescio unde hæc verba in cod. male irrepserint, et quo errore vox Ῥίπαι quasi initium glossæ habita sit, cum ἀναθηλήσει debuerat sic notari. [d] Cod. θέρσω (η superscr.) Cf. Etym. Gud. p. 12.

ἀναβιβάζει τὸν τόνον, καὶ μετὰ τοῦ στερητικοῦ α ἀέκων, καὶ κράσει τοῦ αε ἄκων.

Ἂν δὲ νάκην : (Od. Ξ. 530.) Ἐνταῦθα ἡ ἂν ἀντὶ τοῦ ἀνά.

Αἶξ : (Il. Λ. 245.) Ὄνομα γέγονε παρὰ τὸ ἀΐσσω, τὸ ὁρμῶ· αἴξ· πέπονθε δὲ τὸ ὄνομα, καὶ γέγονεν αἴξ· οὕτω καὶ τὸ Θρὰξ οὐδὲ εἰς ξ περισπᾶται· τὸ τοίνυν αἶξ ὀξύνεται, τὸ δὲ Θρᾶξ περισπᾶται· πάντων δὲ τῶν εἰς ξ ληγόντων ὀνομάτων τοῦτο μόνον διὰ τοῦ γ κλίνεται.

Ἄξυλος : (Il. Ζ. 12.) Ὄνομα κύριον παρὰ τὸ ἔξω μέλλων· τὰ διὰ τοῦ υλος τρισύλλαβα ποικίλα παρὰ τὴν τάσιν εὑρίσκονται· δάκτυλος· κάμπυλος· Δέρκυλος· Κρώβυλος.

Αμύνω : (Il. Δ. 11.) Τὰ εἰς νω παραληγόμενα τῷ υ, βαρύνεσθαι θέλει, καὶ ἐπιτεταμένον ἔχει τὸ υ· εἰ δέ τι περιεσπάσθη, προκάταρχον ἔχει ὄνομα, οὗ τὸ τέλος εἰς ω τραπὲν ῥῆμα ποιεῖ· ὀδύνη ὀδυνῶ.

Ἀοιδός : (Od. Α. 338.) Ὄνομα ἐπίθετον, παρὰ τὸ ἀείδω, ἀοιδός· τὸ ἀείδω κατὰ συναλιφὴν γέγονεν ᾄδω· ὄνομα καὶ τὸ ἀοιδὸς ᾠδὸς, καὶ τὸ ἀοιδὴ ᾠδή· ἀπὸ τοῦ ἀοιδὸς ἀοιδῶ ῥῆμα παρηκτικὸν, εἶτα ὡς τὸ κνήθω κνηθιῶ· μείδω μειδιῶ· οὕτως καὶ τὸ ἀοιδῶ ἀοιδιῶ· κατὰ παραγωγὴν ἀοίδιμος.

Ἀνῆκεν : (Il. Β. 71.) Ἡ φωνὴ ἀόριστος, ἢ παρακείμενος· οὐδέποτε δὲ παρακείμενος ἐνεργητικὸς ἀορίστῳ εἰς α λήγοντι συνέπεσεν, εἰ μὴ οὗτος μόνος ἐν πλεονασμῷ ἧκεν ἕηκεν, καὶ Ἀττικὸς ἧκα καὶ ἕωκα· γίνεται δὲ κατὰ μετροποιΐαν, ὡς τὸ παρῴχηκε παρῴχωκε· τὸ θέμα αὐτοῦ ἵημι.

Ἀειδέμεναι : (Od. Θ. 73.) Παράγωγον ποιητικὸν, ὡς Δωρικὴ διάλεκτος· τὸ α τοῦτο συνεσταλμένον ἐστὶ παρὰ τῷ ποιητῇ, ἅπαξ δὲ ἐκτεταμένον ἐν τῷ ἀείδω· τὰ εἰς δω ὑπὲρ δύο συλλαβὰς περισπώμενα, ὄνομα ἔχει προκάταρχον· ὅμαδος ὁμαδῶ· κέλαδος κελαδῶ· τὸ ἀείδω καὶ ἐρείδω οὐκ ἔχει.

Ἀσπάσιος· (Il. Κ. 35.) Ὄνομα ἀρσενικὸν, τὸ θηλυκὸν ἀσπασίη· λέγεται δὲ ἐπιρρηματικῶς ἀντὶ τοῦ ἀσπασίως, καὶ ῥῆμα ἀσπάζω, καὶ ῥηματικὸν ὄνομα ἀσπαστὸς, καὶ οὐδέτερον ἀσπαστὸν, ἐκ τοῦ ἀσπάζω· ὁ μέλλων ἀσπάσω, ἀφ' οὗ ἀσπά-

σιος· ἔστι δὲ παρασύνθετον, τὸ γὰρ ἀσπαζόμενος σύνθετον ἐστὶν ἀπὸ τοῦ σπῶ ῥήματος, ἀφ' οὗ τὸ σπῶμαι, καὶ παράγωγον σπάζω· ὡς φρῶ φράζω· βῶ βάζω· καὶ προῆλθεν ἡ α ἐπίτασις εἰς τὸ σπάζω, καὶ ἐποίησε τὸ ἀσπάζω, καὶ ἀσπάζομαι, τὸ γὰρ ἐπισπᾶσθαι ἐστὶ τὸ ἀσπαζέσθαι[e].

Ἀγρώσσω: (Od. E. 53.) Παράγωγος ὁ χαρακτήρ· ἀγρὸς ἀγρώσσω· τὰ διὰ τῶν δύο σσ ἐκφερόμενα ῥήματα, τὰ ἐξ φωνήεντος, λαμβάνει τὸ α· ὡς τὸ ἄλλος ἀλλάσσω· τὸ ε, ὡς τὸ πῦρ πυρέσσω· τὸ η, ὡς τὸ πήσσω· τὸ ι, ὡς τὸ δείδω δειδίσσω· τὸ υ, ὡς τὸ ἀφύσσω, τὸ ἀπαντλῶ· τὸ ω, ὡς τὸ ἰκταρώσσω· ὀνειρώσσω· ἀγρώσσω· τὸ δὲ ο, οὐκ ἔχει· τὸ γὰρ ὄσσω ὄπτω ἐστὶ μετειλημμένον, οὐκ ἐν παραγωγῇ δὲ ἐστί[f].

Ἅλμη: (Od. E. 53.) Ὄνομα προσηγορικὸν παρώνυμον, οἱ μὲν παρὰ τὸ ἁλὸς ἅλη, ὡς κύδιμος· τὸ θηλυκὸν ἡ ἁλίμη· ὡς κυδίμη, καὶ ἐνδείᾳ τοῦ ἰῶτα, ἅλμη· ἢ παρὰ τὸ ἁλὸς ἅλη, ὡς εὔφρονος εὐφρόνη· ἀμύμονος ἀμυμόνη, ἐπενθέσει τοῦ μ ἅλμη· ἐπεισόδῳ γὰρ τοῦ μ καὶ τὸ ἀχυρμιαί· χερμάδιον· καὶ τύμπανον· ὁ γὰρ πλεονασμὸς τοῦ μ πολύς[g].

Ἀνόστιμος: (Od. Δ. 182.) Παρὰ τὸ νόστος νόστιμος, καὶ ἐν συνθέσει ἀνόστιμος· παρὰ τὸ νόστος νοστῶ, ἐξοῦ καὶ τὸ νοστεῖς.

Ἀργαλέος: (Il. A. 589.) Παράγονται τὰ τοιαῦτα ὀνόματα ἀπὸ τριῶν μέρων τοῦ λόγου· ἀπὸ ὀνόματος· ἀπὸ ῥήματος· ἀπὸ ἐπιῤῥήματος· ῥίμφα ῥιμφαλέος· τὸ ἀργαλέος παρὰ τὸ ἄλγος, μεταθέσει τοῦ λ εἰς ρ, ὁμοίως τῷ ὑδρηλοὶ, ὑδρηροὶ γὰρ ἦν τὸ ἀνάλογον· ὑψηρὸς ὑψηλὸς, ὁ εἰς ὕψος ἠρμένος[h].

Ἆσθμα: (Il. O. 10.) Ὄνομα ῥηματικὸν παρὰ τὸ ἄω, τὸ σημαῖνον τὸ πνέω, καὶ ὤφειλεν εἶναι ἆσμα τὸ πνεῦμα, ὡς ξύω ξύσμα, πλεονασμῷ τοῦ θ, ἢ παρὰ τὸ ἄημα πέπονθε, τὸ γὰρ ἀνάλογον ἦν ἆσμα, ὡς παρὰ τὸ χθὼν χῶ, τὸ χωρῶ, χὼν καὶ κατ' ἐπένθεσιν τοῦ θ, χθών· τὸ χθαμαλὴ παρὰ τὸ χαμαὶ χαμαλὴ, καὶ τὸ φθέγγεσθαι ὁμοίως παρὰ τὸ φῶ, τὸ εἰς φῶς ἄγεσθαι τὰ

e Cf. Etym. M. p. 156. f Cf. Etym. M. p. 14, 5. g Hæc Oro dat Etym. M. p. 69, 10. h Cf. Etym. M. p. 135, 21.

τοῦ νόου· οὕτω δὲ ἔχειν φαμὲν καὶ τὸν πόρθμον, παρὰ γὰρ τὸν πόρον.

Αἷμα: (Il. E. 113.) Δύο πάθη ἀνεδέξατο, ἔνδειαν καὶ μετάθεσιν πνεύματος· ἔνδειαν μὲν, καθόλου γὰρ ἡ τρίτη συζυγία ἐν τοῖς ῥηματικοῖς ὀνόμασι τὸ σ γεννᾷ· πείθω πεῖσμα· κλώθω κλῶσμα· ᾄδω ᾆσμα· οὕτως ἔδει καὶ παρὰ τὸ αἴθω ἆσμα, μεταθέσει δὲ πνεύματος, ἡ γὰρ αι δίφθογγος πρὸ μὲν ἄλλου συμφώνου ψιλοῦται, πρὸ δὲ τοῦ μ δασύνεται.

Ἀγκών[i]: (Il. E. 582.) Παρὰ τὸ ἔχω ὁ ἐξέχων, ἢ ἀπὸ τοῦ ἐγκεῖσθαι ἑτέρῳ ὀστέῳ[k] τὸ ἕτερον.

Ἀλαστήσας: (Il. M. 163.) Χρόνος ἀόριστος α΄. τὸ ῥῆμα ἀλαστῶ, ἐξ οὗ ἄλαστος[l], ὡς ἄπιστος ἀπιστῶ· ἀλῶ, τὸ πλανῶ, παράγωγον ἀλάζω, ὡς ἀνιῶ ἀνιάζω· σκεδῶ σκεδάζω· διότι οἱ πλανήμενοι χαλεπαίνουσιν, ἢ παρὰ τὸ λάζω, τὸ λαμβάνω,

καὶ ἡνία λάζετο χερσίν. (Il. E. 365.)

Ἀριπρεπέα: (Il. Z. 477.) Νῦν ἑνικὸν, ἐστὶ δὲ καὶ οὐδέτερον πληθυντικὸν, καὶ ἀρσενικόν.

Ἀνείμονα: (Od. Γ. 348.) Παρὰ τὸ εἶμα τὸ ἱμάτιον, ἐν συνθέσει ἀνείμων· τὰ γὰρ ἀπὸ τῶν εἰς α ληγόντων οὐδέτερα τέσσαρας συνθέσεις ἀναδέχονται· καὶ γὰρ φυλάττουσιν τὸ αὐτὸ τέλος, ὁπότε καὶ τὸ αὐτὸ γένος· οἷον δῆμα διάδημα· γράμμα σύγγραμμα· τάγμα σύνταγμα· ἢ καὶ ἀπὸ γενικῆς γίνεται ἡ σύνθεσις, φυλαττομένης τῆς εἰς ος καταλήξεως· οἷον γράμματος ἀγράμματος, συγγράμματος· ἅρματος ἐρυσάρματος, καὶ μεταπλασμῷ ἐρυσάρματες[m].

Ἀνέωγε: (Il. Π. 221.) Ῥῆμα ὁριστικὸν ἐνεργητικὸν, μέσου παρακειμένου, συζυγίας δευτέρας τῶν βαρυτόνων· ἀνοίγω ἄνωγον, ἐπεισόδῳ τοῦ ε ἠνέωγον, συστολῇ τοῦ η εἰς α ἀνέωγον· τὸ τρίτον ἀνέωγεν· ἰστέον δὲ ὅτι τὸ ῥῆμα τοῦτο ὅτε μὲν ἐνεργητικὸν ἐστὶ αἰτιατικῇ συντάσσεται, ὅτε δὲ παθητικὸν εὐθείᾳ.

τὴν δ' οὐ θεὸς ἄλλος ἀνῷγεν. (Il. Ξ. 168.)

"ἠνέωκται ἡ θύρα."

[i] Cod. male Ἄμκων corr. ex Etym. M. p. 10, 22. [k] Cod. ὀστρέῳ corr. iterum ex Etym. M. loc. cit. [l] Cod. ἄλατος. [m] Cf. Etym. M. p. 105, 39.

Ἅμα: Ἐπίῤῥημα συλλήψεως, ἢ ἀθροίσεως· διαφέρει τὸ ἅμα τοῦ ὁμοῦ· ὅτι τὸ μὲν ἅμα ἐπὶ χρόνου τάσσεται, τὸ δὲ ὁμοῦ ἐπὶ τόπου·

ἅμα δ' ἠελίῳ καταδύντι (Il. Α. 592.)

ὁμοῦ, ὡς

οὐ τράφημεν περ ἐν ὑμετέροισι δόμοισι[n]

τὸ δὲ

εἰ δὴ ὁμοῦ πόλεμός τε δαμᾷ (Il. Α. 61.)

καὶ ἐνταῦθα τοπικόν· τὸ ἅμα δασύνεται· ὥσπερ παρὰ τὸ χάζω, τὸ ὑποχωρῶ, γίνεται κατ' ἀποβολὴν τοῦ χ ἅζω, ἔμεινε δὲ ἀναλογοῦσα· καὶ εἴρηται· βαρύνεται· τὰ εἰς α λήγοντα δισύλλαβα ἐπιῤῥήματα ἅπαντα βαρύνεται· οἷον ὦκα· τάχα· σάφα· ἅμα· λίγα· λίπα· χωρὶς τοῦ θαμά· ἅμα δὲ σημαίνει ὧν ἡ γένεσις ἐν αὐτῷ χρόνῳ·

ἅμα τράφεν ἠδ' ἐγένοντο. (Il. Α. 251.)

Ἀθέσφατος: (Od. Λ. 61.) Ἐκ τοῦ θεὸς καὶ τοῦ φατὸς, ἐκ τοῦ φημὶ, τὸ λέγω, θεόφατός τις ὢν, καὶ κατὰ συγκοπὴν καὶ πλεονασμὸν τοῦ σ, θέσφατος· ἀθέσφατος ὁ πολύς.

Ἀντιβίην: (Il. Α. 278.) Ἐπίῤῥημα τοπικόν· σημαίνει δὲ ᾧ ἡ ἀντὶ πρόθεσις τὴν ἐξ ἐναντίας σχέσιν.

Ἀρηΐφιλος: (Il. Γ. 21.) Ὄνομα· σχῆμα σύνθετον ἐκ δύο τελείων, ὡς τὸ δουρίκτητος καὶ δουρίκλειτος· οὕτως καὶ Ἄρηϊ κατὰ τοὺς ἀρχαίους Ἴωνας Αἰολικῶς καὶ Δωρικῶς, καὶ τὸ φίλος, γίνεται ἀρηΐφιλος.

Αἰζηὸς: (Il. Ψ. 432.) Τὸ ζη ἦτα· διατί; ἐκ τῆς ἐτυμολογίας· παρὰ τὸ αἰεὶ γίνεται καὶ τὸ ζέω, ὁ ἀεὶ ζέων, καὶ ἀκμάζων παρὰ τὴν ἡλικίαν· γίνεται αἰζέος, καὶ κατ' ἐπαύξησιν τοῦ ε εἰς η γίνεται αἰζήος.

Ἀλείτης: (Il. Γ. 28.) Ὄνομα· τὸ λει δίφθογγος· διατί; τὰ διὰ τοῦ ιτης παρώνυμα διὰ τοῦ ἰῶτα γράφεται· πλὴν τοῦ ἀλείτης καὶ τὰ ὅμοια· τοῦτο δὲ ἐπειδὴ ἀντιπαρακεῖται αὐτῷ ἀλλοίτης, σημαίνει καὶ αὐτὸ τὸν ἁμαρτωλόν· καθόλου δὲ τὰ ἔχοντα τὸ η ἀντιπαρακείμενον, ἔχουσι τὸ ε ἐγκείμενον· ἢ ὅτι

[n] Il. Ψ. 84. ubi leg. ὁμοῦ ὡς ἐτράφημεν.

κατὰ διάλεκτον Αἰολικήν· οἱ γὰρ Αἰολεῖς τὴν ει δίφθογγον εἰς σι τρέπουσι· τὸ γὰρ ὄνειρος[o] λέγουσι, καὶ τὸ ἐπείγω ἐποίγω· γίνεται παρὰ τὸ ἀλιτῶ τὸ ἁμαρτάνω· γίνεται ἀλιτήριος ὁ ἁμαρτωλὸς, ὅθεν καὶ ὁ Ἀλεξίων τὸ ἀλείτης ἠξίου διὰ τοῦ ἰῶτα γράφεσθαι· ἡ δὲ παράδοσις διὰ τῆς ει διφθόγγου[p].

Ἆλτο: (Il. Α. 532.) Ῥῆμα χρόνου ἀορίστου μέσου, τοῦ τρίτου προσώπου τῶν ἑνικῶν· ἅλλομαι τὸ πηδῶ, καὶ ὁ μέσος ἀόριστος ἡλλόμην, ἥλλω, ἥλλατο, καὶ ἐν συγκοπῇ ἧλτο καὶ ἆλτο.

Ἄψορρον: (Il. Δ. 152.) Ἐπίῤῥημα μεσότητος, ἀντὶ τοῦ ὀπισθορμήτως· γίνεται ἐκ τοῦ ἂψ, ὃ σημαίνει τὸ ὀπίσω, καὶ τὸ ὄῤῥω, τὸ διεγείρω, πλεονασμῷ τοῦ ρ ποιητικῷ.

Ἄψ: (Il. Α. 60.) Ἐκ τοῦ α τοῦ σημαίνοντος τὸ ὀπίσω· τὸ γὰρ α ὁ[q] μόνον τὸ ὁμοῦ σημαίνει ἀλλὰ καὶ τὸ εἰς τοὐπίσω τὴν κέλευθον ἔχον, καὶ πλεονασμῷ τοῦ ψ γίνεται ἄψ· καὶ ἐρύω, καὶ ἀερύω, τὸ εἰς τοὐπίσω, καὶ πλεονασμῷ τοῦ υ·

αὖ ἔρυσαν[r] μὲν πρῶτον. (Il. Α. 459.)

οἱ δὲ παρὰ τὸ ἕπω τὸ ἀκολουθῶ· ὁ μέλλων ἕψω ἓψ, καὶ ἄψ.

Ἀλεείνω: (Od. Ζ. 273.) Τὰ διὰ τοῦ εινω ῥήματα ὑπὲρ δύο συλλαβὰς, διὰ τῆς ει διφθόγγῳ γραφόμενα, ἄχρι τοῦ παρατατικοῦ κλίνονται· πρόσκειται διὰ τῆς ει διφθόγγου, διὰ τὸ ὀρίνω καὶ ὠδίνω· ταῦτα γὰρ ἔχουσι μέλλοντα· τὸ δὲ ἀλεείνω γίνεται παρὰ τὸ ἀλέα, ὃ σημαίνει τὴν θερμασίαν, οἱονεὶ ἐκ τοῦ ψύχους εἰς τὴν θερμασίαν ἀποφεύγω[s].

Ἀγερώχων: Ἡ μὲν συνηθεία τὴν λέξιν ἐπὶ ψόγου τάσσει, τοὺς γὰρ αὐθάδεις καὶ ἀπαιδεύτους ἀγερώχους λέγουσι· ὁ δὲ Ὅμηρος τοὺς ἄγαν ἐντίμους, παρὰ τὸ ἄγαν ἐπὶ τοῦ γερῶς ὀχεῖσθαι,

ὡς δ' αὖτις καθ' ὅμιλον ἔδυ Τρωῶν ἀγερώχων (Il. Γ. 36.)

καὶ ὅταν λέγει ἐν τῇ Βοιωτίᾳ

ἐννέα νῆας ἄγε Ῥοδίων ἀγερώχων (Il. Β. 654.)

ἔνιοι δὲ τῶν γλωσσογράφων ἰδίως τούτους ἔδοξαν ἀγερώχους

[o] Suppl. ὄνοιρος. [p] Cf. Etym. Gud. p. 33, 20. [q] Leg. οὐ.
[r] Cod. αὖ ἔρησαν. [s] Cf. Etym. M. p. 58, 28. et Gud. p. 33, 4.

λέγεσθαι, ἐπειδὴ νησιῶται ἐπεισακτῷ τροφῇ χρῶνται· φασὶ γὰρ εἴρησθαι ἀπὸ τοῦ ἀγείρειν ὀχὴν ἤτοι τροφήν· Ὁμήρου μὲν οὐδέποτε τὴν τροφὴν ὀχὴν εἰρηκότος· ἔπειτα δὲ τοὺς Τρῶας ὄντας νησιώτας οὐδαμῶς ἀγερώχους λέγεσθαι[t].

Ἄγονος: (Il. Γ. 40.) Παρὰ τὸ γόνος· λέγεται δὲ γόνος βαρυτόνως ὁ γεννηθεὶς, ὀξυτόνως δὲ ὁ γεννητὴς, ἐξ οὗ πλεονασμῷ τοῦ υ γουνὸς

γουνῷ ἀλωῆς (Il. I. 530)

ἀντὶ τοῦ ἐν τῷ γεννητικῷ καὶ καρπίμῳ τόπῳ· τὸ δὲ

ἄγαμός τ' ἀπολέσθαι (Il. Γ. 40.)

ὅ τε σύνδεσμος ἀντὶ τοῦ η διαζευκτικὸς παραλαμβάνεται, ἤτοι καὶ γεννηθεὶς πρὸ γάμου ἀπολέσθαι.

Ἀλλοδαπός: (Il. Π. 550.) Γίνεται ἐκ τῆς γενικῆς τῶν πληθυντικῶν, ἤγουν τῶν ἄλλων, καὶ κατὰ παράγωγον[u] ἀλλοδαπός· δι' ἣν δ' αἰτίαν ἐκ μόνων τῶν πληθυντικῶν ἐγένετο ἡ παραγωγὴ τῶν ἀντωνυμιῶν[x] * * * * * ἐπειδὴ ἀνέφικτον ἐστὶν ἐξ ἑνικοῦ ἢ δυϊκοῦ ἀριθμοῦ ἐθνικὴν παραγωγὴν γένεσθαι· οὐ γάρ ἐστιν ἐπινοῆσαι ἔθνος ἐν ἑνὶ ἀνθρώπῳ ἢ δυσὶν, ἀλλ' ἐν ἀπείροις· διὰ ταύτην τὴν παράγωγον[y], ἔδοξαν καὶ τὸ ἄλλος, ἐν τῷ ἀλλοδαπὸς γενόμενος, ἀντωνυμίαν εἶναι· οὐκ ἔστι δὲ, ἐπειδὴ μάχεται τῇ ἐννοίᾳ τῶν ἀντωνυμιῶν· ἃ γὰρ ὁρίζει ἡ ἀντωνυμία, ταῦτα ὑπὸ τῶν ἄλλων ἀναιρούμενα ἀοριστοῦται· οἷον "ἄλλος, οὐκ ἐγώ· ἄλλος, οὐ σύ[z]."

Ἀπία: (Il. Α. 270.) Ἀπὸ Ἄπαιδος[a] τοῦ Φορωνέως[b] παιδὸς, ἢ παρὰ τὸ ἄπις, ὃ σημαίνει τὴν ἄπιδα, ἡ ἐν καταξήροις τόποις ὑπάρχουσα· ἐκ τοῦ πίω γὰρ γίνεται, ὃ σημαίνει τὸ πίνω, κατὰ ἀποβολὴν τοῦ νυ· ἐκ τούτου γίνεται ἄπιος, καὶ τὸ θηλυκὸν ἀπία, ἡ ἐν πολλοῖς ἔτεσι διψήσασα· Ὅμηρος

πολυδίψιον Ἄργος ἱκοίμην. (Il. Δ. 171.)

ἡ[c] γὰρ πόλις ἐστὶν Ἑλλὰς, ἡ δὲ χώρα Ἀπία, ἥτις ὕστερον ἀπὸ τοῦ Πέλοπος καὶ τοῦ νῆσος ἐκλήθη Πελοπόννησος· οἱ δὲ

[t] Cf. Etym. M. p. 7, 47. [u] Sic Cod. [x] Indic. lacunam in Cod. [y] Sic. [z] Cf. Etym. M. p. 68, 2. [a] Leg. Ἄπιδος cum Etym. M. p. 122, 13. [b] Cod. φόρω νέως. [c] Cod.

Ἀπίας τῆς Πελοποννήσου ἀπὸ τοῦ ἀπίαν πρῶτον ἐκεῖ πεφευτεῦθαι.

Αἰχμητής: (Od. B. 19.) Ἐκ τοῦ αἰχμάζω[d] αἰχμάσω, αἰχματὴς, καὶ τροπῇ τοῦ α εἰς η, εἰ γὰρ ἦν παρώνυμον ἀπὸ τοῦ αἰχμὴ, ὤφειλεν βαρύνεσθαι, ὥσπερ τὸ ὑπήνη ὑπηνήτης καὶ κορύνη κορυνήτης.

Ἀσπίς: (Il. K. 76.) Σημαίνει δύο, τὸ ζῶον, καὶ τὸ ὅπλον· λέγεται δὲ τὸ ἑρπετὸν ἀπὸ μεταφορᾶς τῆς ἀσπίδος, τοῦ ὅπλου· οὕτω γὰρ συστρέψαν ἑαυτὸ πολεμεῖ καὶ μάχεται· γίνεται τὸ ὅπλον παρὰ τὸ σπίζω, ὃ σημαίνει τὸ ἐκτείνω καὶ μηκύνω· ὁ μέλλων σπίσω σπίς· ἀσπίδος ὁ κανών· τὰ εἰς ις θηλυκὰ, διὰ τοῦ π ἐκφερόμενα, εἴτε ἁπλᾶ, εἴτε σύνθετα, διὰ τοῦ δος κλίνεται· ἁπλᾶ μὲν, οἷον, κρηπὶς κρηπῖδος· σύνθετα δὲ, οἷον, βοώπις βοώπιδος, ἑλικώπιδος· ὀξύνεται· τὰ εἰς πις θηλυκὰ δισύλλαβα, εἰ μὲν ἀπὸ συμφώνου ἄρχεται, βαρύνεται· οἷον, τράμπις τράμπιδος, ἔστι δὲ καὶ βαρβακικὸν ὅπλον· κάλπις κάλπιδος· εἰ δὲ ἀπὸ φωνήεντος, ὀξύνεται ·οἷον, ἀσπίς· ἐλπίς· ἐμπίς· σημαίνει δὲ τὸν κώνωπα.

Ἄστυ: (Il. B. 801.) Παρὰ τὸ ἄνω ἵστασθαι· οἱ γὰρ ἀρχαῖοι ἐφ᾽ ὑψηλῶν[e] τόπων τὰς πόλεις ᾠκοδόμουν· διαφέρει ἄστυ καὶ πόλις· πόλις λέγεται ὁ τόπος, καὶ οἱ κατοικοῦντες, καὶ τὸ συναμφότερον· ἄστυ δὲ ὁ τόπος μόνος· Ὅμηρος

φράζε νῦν ὅπως πόλιν καὶ ἄστυ σαώσεις. (Il. P. 144.)

ἐξ αὐτοῦ γίνεται καὶ ἀστεῖος, ὄνομα κύριον, ὁ ἐν ἄστει διατρίβων· λέγεται δὲ καὶ ὁ δι᾽ ἦθος χρηστὸν ἐπαινετὸς,

ὡς ἦν τὸ παιδίον ἀστεῖον τῷ θεῷ·

λέγεται καὶ ὁ γελωτοποιός[f].

Ἀργεννῆσιν: (Il. Γ. 141.) Ὡς τὸ ἦσι· τὸ θηλυκὸν ἀργεννὴ, τὸ ἀρσενικὸν ἀργεννος· γίνεται δὲ ἐκ τοῦ ἀργὸς, ὃ σημαίνει τὸ καθαρόν· ἀργεινὸς, ὡς ἔλεος ἐλεεινός· τὸ γει δίφθογγος· διατί; τὰ μέντοι εἰς νος ὀξύτονα παρώνυμα διὰ τῆς ει διφθόγγου γράφεται· καὶ ἔθος τῇ τῶν Ῥηγινῶν[g] διαλεκτῷ τὸ ι τρέπειν εἰς ν. τὸ γὰρ σπείδω σπένδω, καὶ τὸ ἔνδοι ἔνδον, καὶ

[d] Cod. ἀκμάζω. [e] Cod. ὑψιλῶν. [f] Hæc plen. quam in Etym. Gud. p. 87, 15. [g] Cod. ῥηνῶν. recte habet Etym. M. p. 135, 44.

τὸ ἐρεβεινὸς, ὅπερ ἀπὸ τοῦ ἔρεβος, ἐρεβενός· οὕτω καὶ τὸ ἀργεινὸς ἀργενός· οἱ δὲ Σικελοὶ τοὐναντίον, τὸ γὰρ σπένδω σπείδω λέγουσι, καὶ τὸ μέντοι οὐμέντοι.

Ἀμφίπολος: (Il. Z. 399.) Ἐκ τῆς ἀμφὶ προθέσεως καὶ τοῦ πολῶ, πολὸς καὶ ἀμφίπολος, οἱονεὶ ἡ περὶ τὴν δέσποιναν πολοῦσα, ἤτοι ἀναστρεφομένη· προπαροξύνεται· τὰ παρὰ τὸ πολῶ καὶ χέω, μὴ μετὰ προθέσεως συντιθέμενα, πρὸ μιᾶς ἔχουσι τὸν τόνον· οἷον οἰωνοπόλος· ὀνειροπόλος· οἰοπόλος· οἰνοχόος· τὰ δὲ μετὰ προθέσεως συντιθέμενα, προπαροξύνονται· ἀμφίπολος· πρόσπολος· πρόπολος· πρόχοος[h].

Αἴτιος: (Il. N. 111.) Τὸ τι ἰῶτα· διατί; ὥσπερ τὸ ἄρκιος· γίνεται ἐκ τοῦ αἰτῶ αἴτιος· ποίου εἴδους τῶν ὑποπεπτωκότων; πρός τι· καὶ πρὸς τίνα ἔχει τὴν σχέσιν; πρὸς τὸ αἰτιατόν· τὸ γὰρ αἴτιον τοῦ αἰτιατοῦ ἐστὶν αἴτιον· ὥσπερ ὁ χαλκὸς τοῦ ἀνδριάντος ἐστὶν αἴτιος, καὶ τὰ ὀκτὼ μέρη τοῦ λόγου εἰσὶν αἴτια, καὶ ὁ πατὴρ τοῦ υἱοῦ[i].

Ἀγατός: (Il. Γ. 268.) Παρὰ τὸ ἄγω, τὸ θαυμάζω· γίνεται δὲ ῥῆμα εἰς μι ἄγημι, τὸ παθητικὸν ἄγαμαι, καὶ ἐξ αὐτοῦ ἀγαυὸς πλεονασμῷ τοῦ υ Αἰολικῷ.

Αἰδοῖος: (Il. Γ. 172.) Ὄνομα, εἴδους τῶν παραγώγων κτητικῶν· πόσοι τύποι τῶν κτητικῶν; δύο· ὅτε εἰς κος καὶ εἰς ον καθαρός· πόσας καταλήξεις ἐπιδέχεται τὰ εἰς ος κτητικὰ, καὶ πόσας παραλήξεις; καταλήξεις μὲν δύο· οἷον· οἶκος ἄοικος· κοῦρος ἐπίκουρος· οὕτως καὶ πῶλος αἰολοπώλος[k]· γίνεται ἐκ τοῦ αἰόλλω[l], ὃ σημαίνει τὸ ποικίλλω καὶ κινῶ, καὶ τὸ πῶλος· τὸ πω μέγα, διατί; παρὰ τὸ ἐν τῇ πόᾳ ἅλλεσθαι, πόαλος καὶ πῶλος· ἐκ τοῦ αἰόλλω αἴλουρος, παρὰ τὸ αἰόλλειν καὶ κινεῖν τὴν οὐρὰν, δολερὸν γὰρ τὸ ζῶον.

Ἀσκός: (Od. E. 265.) Ἐκ τοῦ σχίζω, καὶ μετὰ τοῦ στερητικοῦ α ἀσκὸς, ὁ ὑγιὴς καὶ μὴ ἐσχισμένος.

Ἀμαζόνες: (Il. Γ. 189.) Ἡ εὐθεῖα Ἀμαζών· ἐκλήθη ἐκ τοῦ μαζὸς, καὶ τοῦ στερητικοῦ α Ἀμαζὼν, πρὸς γὰρ τὸ μὴ ἐμ-

h Cf. Etym. Gud. p. 49, 15. i Cf. Etym. M. p. 40, 20.
k Cod. αἰολόπολος. l Cod. αἰόλω.

ποδίζεσθαι αὐτάς· ἐν τῷ τοξεύειν, τὸν ἕνα αὐτῶν μασθὸν ἀπέκοπτον, ἢ ὅτι λαμβάνουσαι ζώνας, καὶ πανοπλίᾳ ἐξερχόμεναι, ἥμων καὶ ἐθερίζον[m] *ὥστε αὐτὰς κληθῆναι παρὰ τὸ ἐν ταῖς ζώναις ἀμᾶν*[n], *ἢ ὅτι μαζοῦ καὶ τροφῆς οὐ μετέσχον, ἀλλ' ὄφεσι καὶ ἄλλοις τισὶ θηρίοις ἐτρέφοντο.*

Ἀρνειός: (Od. I. 444.) *Τὸ νει δίφθογγος, διατὶ ἐγράφη; τὸ δὲ ἀρνὸς παρὰ τὸ ῥὴν ῥηνός· τὸ ῥὴν η διατί; πρὸς ἀντιδιαστολὴν τοῦ μέρους τοῦ σώματος· τοῦτο γὰρ δικατάληκτον ἐστὶ, καὶ διὰ τοῦ ἰῶτα γράφεται, καὶ συστολῇ τοῦ η ῥηνός· καὶ ἐν ὑπερβιβασμῷ ἀρνὸς, καὶ μετάγεται ἐκ γενικῆς εἰς εὐθεῖαν, καὶ γίνεται ἀρνὸς ἀρνοῦ*[o]. * * * *καὶ κατὰ μεταπλασμὸν ἄρνα· ἡ εὐθεῖα τῶν δυϊκῶν ἄρνε· διαφέρει ἀρνειὸς καὶ ἀρνὸς, ὅτι τὸ μὲν ἀρνειὸς σημαίνει τὸν τέλειον, τὸ δὲ ἀρνὸς τὸν νέον· καὶ γὰρ ὁ ποιητὴς τὴν διαστολὴν φυλάττει, καὶ ἐπὶ μὲν τοῦ τελείου λέγει,*

> *ἀρνειούς τε τράγους τε*[p] (Od. I. 239.)

ἐπὶ δὲ τοῦ νεωστὶ γεγενημένου

> *ἀρνῶν*[q] *πρωτογόνων*[r] *ῥέξειν.* (Il. Δ. 102.)

Ἀκήν: (Il. Γ. 95.) *Ἐπίρρημα μεσότητος ἀντὶ τοῦ ἡσύχως· γίνεται δὲ παρὰ τὸ ἄγη, ὃ σημαίνει τὴν ἔκπληξιν, κατὰ μετάμειψιν τοῦ γ εἰς κ· ὡς ἐστὶ καὶ τὸ λυγαῖον, ὃ σημαίνει τὸ σκοτεινὸν, λυγόφως καὶ λυκόφως· οὕτως καὶ ἄγη ἄκη, καὶ μεταβολῇ τοῦ τόνου ἀκή. ἀκὴν ἀντὶ τοῦ ἡσύχως· οἶδε γὰρ ἡ ἔκπληξις καὶ ἀφώνιαν ἐμποιεῖν· ἢ παρὰ τὸ μὴ χαίνειν· τὸ κην η διατί; τὰ ἀπὸ διαφόρων πτώσεων εἰς ἐπιρρηματικὴν σύνταξιν μεταγόμενα, τὴν αὐτὴν ταῖς πτώσεσι φυλάττει γραφήν· οἷον, τὴν ἀπριάτην*

> *ἀπριάτην ἀνάποινον* (Il. A. 99.)

οὕτως καὶ τὴν ἀκὴν, ἀκὴν τὸ ἐπίρρημα[s].

Ἄροτρα: (Il. Δ. 174.) *Κυρίως ἠροτριασμένη γῆ· παρὰ τὸ ἀρῶ ἀρόσω, ἄρορα καὶ ἄρουρα· τὸ δὲ ἀρῶ παρὰ τὸ Ἄρης, ὃ*

[m] Cod. *ἐθερίζων.* [n] Cod. *ὑμᾶν* Etym. M. recte *ἀμᾶν*, p. 75, 52. [o] Indicavi lacun. [p] Cod. male *τετράπους τε.* [q] Cod. *ἄρνας.* [r] Cod. *πρωτογόνους.* [s] Cf. Etym. M. p. 47, 8.

σημαίνει τὸν σίδηρον· σιδήρῳ γὰρ τέμνεται διὰ τὴν ὕννιν· διαφέρει γῆ καὶ ἄρουρα· γῆ λέγεται ἁπλῶς πᾶσα ἡ ξηρὰ, ἄρουρα δὲ ἡ πρὸς καρπῶν σπορὰν ἐπιτήδεια[t].

Αἴγειος: (Il. Λ. 638).) Ἐκ τοῦ αἲξ αἰγὸς αἰγί· τοῦτο παρὰ τὸ αἴσσω, ὃ σημαίνει τὸ ὁρμῶ· ὁ μέλλων αἴξω, αἲξ καὶ αἴξ· τὸ γει δίφθογγος διατί; τὰ διὰ τοῦ ειος ὀνόματα σημαίνοντα μέρος σωματικὸν διὰ τῆς ει διφθόγγου γράφεται· Δωρικὸν αἴγαιος· οἱ γὰρ Δωριεῖς τὸ ει αι λέγουσι, τὸ γὰρ κύπειρον κύπαιρον λέγουσι, καὶ τὸ Αἴγειον Αἴγαιον πέλαγος.

Ἁμαρτοεπής: (Il. Ν. 824.) Ζήτει εἰς τὸ δαΐφρων· τὰ παρὰ τὸ ἁμαρτῶ συντιθέμενα, διὰ τοῦ ο μικροῦ γράφεται, καὶ διὰ τοῦ ἰῶτα· καὶ διὰ μὲν τοῦ ο, ὡς ἁμαρτοεπὴς, διὰ δὲ τοῦ ἰῶτα, ὡς ἁμαρτίνοος.

Ἄϊδος: (Il. Ε. 845.) Ἐκ τῆς ἄϊς εὐθείας, ἢ ἐκ τῆς ᾅδου γενικῆς, καὶ κατὰ μεταπλασμὸν καὶ διαίρεσιν.

Ἄναξ: (Il. Α. 7.) Παρὰ τὸ ἀνωτάτην τάξιν ἔχειν, ἢ παρὰ τὸ ἀναΐσσω, ἀναΐξω, κατὰ τὴν τοῦ κρατεῖν δύναμιν· διατὶ βαρύνεται; τὰ εἰς αξ λήγοντα ὀνόματα ὑπὲρ μίαν συλλαβὴν βαρύνεται· χωρὶς εἰ μὴ παρὰ ῥήματος εἴη συντιθέμενα· οἷον, Φαίαξ καὶ θώραξ· κόραξ· ἄναξ· τὸ δὲ διασφὰξ καὶ ἀποσφὰξ ἐπιῤῥήματα[u].

Ἄωρτο: (Il. Γ. 272.) Ὁ μὲν Ἡρωδιανὸς λέγει· "ὃ σημαίνει τὸ ἥρμοστο· καὶ γίνεται ἐκ τοῦ ἀρῶ τὸ ἁρμόζω· ὁ μὲν Αἰολικὸς ἄρσω, ὁ παρακείμενος ἧρκα· ὁ παθητικὸς ἧρμαι· ὁ ὑπερσυντελικὸς ἥρμην, ἧρσο, ἧρτο, Ἰωνικῶς ἦτο[x] καὶ πλεονασμῷ τοῦ ω, ὥσπερ εἴθα, εἴωθα, γίνεται ἄωρτο[y]" τινὲς δὲ λέγουσιν τὸ ἐκρέματο· καὶ γίνεται ἐκ τοῦ αἴρω, τὸ κουφίζω καὶ κρεμῶ· ὁ μέλλων ἀρῶ, καὶ Αἰολικῶς ἄρσω, ὁ παρακείμενος ἧρκα· ὁ παθητικὸς ἧρμαι, ὁ ὑπερσυντελικὸς ἥρμην, ἧρσο, ἧρτο, καὶ τροπῇ τοῦ μακροῦ εἰς μακρὸν ὧρτο, καὶ πλεονασμῷ τοῦ α[z] ποιητικῷ ἄωρτο[a].

[t] Cf. Etym. Gud. p. 79, 53. [u] Hinc corr. Etym. Gud. p. 52, 22. [x] Sic. [y] Cod. ἄωτο. [z] Cod. ω. [a] Cf. Etym. Gud. p. 102, 20.

Ἀρνύμενος: (Il. Ζ. 446.) Ἐκ τοῦ ἀρνὸς, προτερον γὰρ δι' ἀρνῶν ἐποιοῦντο τὰς θυσίας. καὶ κλίνεται ἀρνὸς ἀρνοῦ· καὶ ἡ εὐθεῖα τῶν πληθυντικῶν ἀρνοὶ, καὶ κατὰ μεταπλασμὸν, ἄρνες· ἡ εὐθεῖα τῶν δυϊκῶν ἄρνε· ἡ εὐθεῖα τῶν ἑνικῶν ῥὴν, ὃ σημαίνει τὸ πρόβατον· ἐκ τοῦ ἀρὰ, ὃ σημαίνει τὴν εὐχὴν, τὸ ὑπὲρ εὐχῆς διδόμενον πρόβατον· καὶ ὁ ποιητὴς

ἐν δ' ἄνδρες ναίουσιν πολύῤῥηνες (Il. Ι. 154.)

ἐκ τοῦ ἀρῶ τὸ εὔχομαι, καὶ ἀφαιρέσει τοῦ α ῥὴν, ἡ γενικὴ ῥηνὸς, καὶ συστολῇ τοῦ η εἰς α, ῥανὸς, καὶ ἐν ὑπερβιβασμῷ ἀρνός· καὶ μετάγεται ἀπὸ γενικῆς εἰς εὐθεῖαν.

Ἀνασχών: (Il. Α. 450.) Μετοχὴ β'[b] ἀορίστου· τὸ ῥῆμα ἀνάσχω, ὁ μέλλων ἀνασχήσω, ὁ ἀόριστος ἀνέσχησα, ὁ β' ἀόριστος ἀνέσχον, ἡ μετοχὴ ὁ ἀνασχών· ἔστι δὲ συζυγίας α' τῶν περισπωμένων.

Ἀφυσσόμενος: (Il. Ψ. 220.) Μετοχὴ χρόνου ἐνεστῶτος· τὸ ῥῆμα ἀφύσσω, ὁ μέλλων ἀφύξω· γίνεται ἐκ τοῦ φύω, τὸ κρατῶ,

ἔν τ' ἄρα οἱ φῦ χειρί. (Il. Ζ. 253.)

μετὰ τοῦ ἐπιῤῥηματικοῦ α ἀφύω, ὁ μέλλων ἀφύσω, καὶ πλεονασμῷ τοῦ σ ἀφύσσω, μεταγομένου τοῦ χρόνου εἰς ἐνεστῶτα ἀφύσσω· ἀνατρέπεται δὲ, ἐπειδὴ τὰ ἀπὸ μελλόντων εἰς ἐνεστῶτα παραγόμενα ἄχρὶ τοῦ παρατατικοῦ κλίνεται· γίνεται οὖν ἐκ τοῦ ἀρύω, τὸ ἀπαντλῶ, κατὰ τροπὴν τοῦ ἀμεταβόλου εἰς τὸ φ· ψιλόν· τὸ α πρὸ δασέος ψιλοῦται[c].

Αἰειγενέτῃσιν: (Il. Γ. 296.) Ἡ εὐθεῖα ἀειγενέτης. τὸ νε ψιλόν· διατί; τὰ διὰ τοῦ ετης ἀρσενικὰ βαρύτονα, εἴτε ἁπλᾶ, εἴτε σύνθετα, διὰ τοῦ ε ψιλοῦ γράφεται· μητιέτης· λογοθέτης· εὐνέτης ·πλὴν τοῦ προσαίτης, σημαίνει δὲ τὸν πένητα, καὶ εὐχαίτης, ὁ καλλίθριξ ἵππος· ὁ κανών· τὰ εἰς ης ἀρσενικὰ, μὴ ὄντα σύνθετα παρὰ τὸ κρατῶ, ἢ κράτος, μὴ δὲ ἔχοντα οὐδέτερον.

Ἀερσίποδες: (Il. Γ. 237.) Σημαίνει τοὺς εἰς ὕψος αἴροντας τοὺς πόδας, τουτέστιν ταχεῖς· καὶ γίνεται ἐκ τοῦ ἀείρω

[b] Cod. α ἀορίστου. [c] Cf. Etym. Gud. p. 98, 24.

τὸ κουφίζω, ὁ μέλλων ἀερῶ, Αἰολικῶς ἀέρσω, καὶ ἐξ αὐτοῦ ἀερσίπους.

Ἀραρυῖαν: (Il. E. 744.) Ἡ εὐθεῖα ἡ ἀραρυῖα· τὸ υ δίφθογγος διατί; ἐν τῷ πεποιηκυῖα· μεμνηκυῖα καὶ τὰ ἑξῆς· καὶ διατὶ οὐκ ἐστὶ διάστασις τοῦ υ[d] καὶ τοῦ ι; τὰ γὰρ εἰς α θηλυκὰ παρεσχηματισμένα ἀρσενικοῖς, ἰσοσυλλαβεῖ τῇ γενικῇ τοῦ ἀρσενικοῦ· τὸ ῥῆμα ἐστὶν ἀρῶ τὸ ἁρμόζω· ὁ μέλλων ἀρῶ· ὁ μέσος παρακείμενος ἦρα, ὁ Ἀττικὸς ἄρηρα, ἡ μετοχὴ ἀρηρὼς, καὶ τροπῇ Δωρικῇ τοῦ η εἰς α, ἀραρὼς ἀραρότος· τὸ ρο μικρὸν, διατί; αἱ εἰς ος ὀξύτονοι μετοχαὶ, εἰ μὴ κατὰ πάθος ὦσι, διὰ τοῦ ο μικροῦ κλίνεται· καὶ τὸ θηλυκὸν ἀραρυῖα· ἀρῶ οὖν ὁ μέλλων, καὶ Αἰολικῶς, ἄρσω, ἦρσα, ἡ μετοχὴ ἄρσας,

ἄρσαντες κατὰ θυμόν. (Il. A. 136.)

Ἄγχω: (Il. Γ. 371.) Παρὰ τὸ ἄγω· οὐδὲν γάρ ἐστιν ἄλλο τὸ ἄγχω, ἀλλ' ἢ τὸ ἄγω, καὶ συνάγω τὸν φάρυγγα.

Ἁπαλήν: (Il. Γ. 371.) Ἐκ τοῦ ἁπαλός· τοῦτο ἐκ τοῦ ἁφή.

Ἁρμόζω: (Il. Γ. 333.) Ἐκ τοῦ ἁρμῶ, τοῦτο παρὰ τὸ ἀρηρέναι καὶ συνήρμοσθαι· δασύνεται· τὸ εα λῆγον εἰς ρ, ἐπιφερομένου τοῦ μ ἢ τοῦ π, δασύνεται· τὸ ρο μικρὸν, διατί; τὰ διὰ τοῦ οζω ῥήματα διὰ τοῦ ο μικροῦ γράφεται, πλὴν τοῦ κρώζω[e]· σώζω.

Ἀρήϊος: (Il. B. 698.) Ὄνομα ἀρσενικόν· εἴδους τῶν παραγώγων κτητικῶν· ἄρειος· τὸ ει δίφθογγος διατί; τὰ ἀπὸ τῶν εἰς ης, εἴτε περιττοσυλλάβως κλίνεται, εἴτε ἰσοσυλλάβως, διὰ τοῦ εἰς ος γινόμενα κτητικὰ, διὰ τῆς ει διφθόγγου γράφεται, εἰ μὴ τρέπει τὸ τ εἰς σ· οἷον, Ἀριστοφάνειος· Αἰσχίνειος· Ἰορδάνειος· Δημοσθένειος· Ἀριστοτέλειος· πρόσκειται χωρὶς εἰ μὴ τρέπει τὸ τ εἰς σ, διὰ τὸ ἱκέτης ἱκέσιος· δεσπότης δεσπόσιος· Ἄρης οὖν ἄρειος, καὶ Ἰωνικῇ διαλέκτῳ, ἀρέϊος, καὶ τροπῇ τοῦ ε εἰς η, ἀρήϊος, ὡς Ὀδύσσειος Ὀδυσσήϊος.

Ἀμπεπαλών: (Il. Γ. 355.) Μετοχὴ β' ἀορίστου· οἱ γὰρ Ἴωνες ἐν τοῖς ῥήμασι καὶ ἐν ταῖς μετοχαῖς εἰώθασιν ἀναδι-

[d] Cod. om. υ. [e] Cod. κρόζω.

πλασιάζειν· λάχωσι λελάχωσι· λάθοι λελάθοι· τὸ ῥῆμα ἀναπάλλω.

Ἀντικρύ: (Il. Γ. 359.) Ἐκ τοῦ κάρα καὶ τῆς ἀντὶ προθέσεως, ἀντυκραΐ, καὶ συγκοπῇ, ὡς ἂν εἴποι τὶς ἀντικέφαλον· τὸ κρυ μακρὸν φύσει· τὰ εἰς υ λήγοντα ἐπιῤῥήματα συστέλλει τὸ υ, μεταξύ· μεσσηγύ· χωρὶς τοῦ ἀντικρύ[f].

Ἀλεύω: (Il. Γ. 360.) Ποίου σχήματος; σύνθετον ἐκ τοῦ ἀλῶ, τὸ πλανῶ, καὶ ἐκκλίνω· τοῦτο ἐκ τοῦ λω, τὸ θέλω, καὶ μετὰ τοῦ στερητικοῦ α, ἀλῶ· οἱ γὰρ πλανώμενοι[g] οὐ θέλοντες πλανῶνται, καὶ ὧν βούλονται οὐ τυγχάνουσιν.

Ἄσπετος: (Il. Θ. 554.) Ἐπὶ μὲν τοῦ "ἄσπετος αἰθὴρ" παρὰ τὸ ἕπω τὸ ἀκολουθῶ, σπῶ, ὡς παρὰ τὸ ἔχω σχῶ, καὶ ἐξ αὐτοῦ σπετὸς, καὶ μετὰ τοῦ στερητικοῦ α ἄσπετος, οἱονεὶ ὁ μὴ δυνάμενος ἀφίκεσθαι διὰ τὸ μέγεθος· ἐπὶ δὲ τοῦ ἄλλου σημαινομένου παρὰ τὸ ἔπω τὸ λέγω, σπῶ σπετὸς, καὶ μετὰ τοῦ στερητικοῦ α, ἄσπετος, οἱονεὶ ὁ πολὺς καὶ μέγας, καὶ δυνάμενος ἄῤῥητος γένεσθαι.

Ἀπόειπε: (Il. Γ. 406.) Πᾶν προστακτικὸν δισύλλαβον βραχυκατάληκτον ἑνικὸν, ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον· οἷον· ἐλθὲ πρόελθε· βαῖνε πρόβαινε.

Ἀετός: Παρὰ τὸ ἀΐσσω τὸ ὁρμῶ· ἀϊτὸς καὶ αἰετός· ἢ παρὰ τὸ ἀεὶ ἕτερος εἶναι· λέγουσι γὰρ ὅτι ὁ ἀετὸς ἐπὶ ἀληθὴ σημαίνει παρὰ τὸ Διὸς πέμπεται[h].

Ἄμμε: (Il. Α. 59.) Αἰολικὸν ἐκ τοῦ ἡμεῖς, ἢ Δωρικόν.

Ἄρσαντες: (Il. Α. 136.) Ἁρμόσαντες ἢ ἀερθέντες.

Ἀφροδίτη: (Il. Γ. 380.) Εὐριπίδης παρὰ τὸ ἀφροσύνη

τὰ μωρὰ γὰρ πάντ' ἐστὶν Ἀφροδίτη βροτοῖς[i].

καὶ Ἐπαφρόδιτος παρὰ τὸ ἀφραδὲς, τουτέστι μὴ νομιζομένην φρόνησιν, διὰ τὸ ἀφραδὲς καὶ ἄγνωστον τῆς μίξεως· ἢ παρὰ τὸ ἀφρὸν τῆς συνουσίας· ἢ διὰ τὸ ἐν θαλασσῇ αὐτῆς τὴν γέννησιν εἶναι· ὁ δὲ Δίδυμος παρὰ τὸ ἁβρὸν τῆς διαίτης· τὸ

f Vid. Etym. M. p. 114, 28.

g Male Etym. Gud. p. 34, 20. οἱ γὰρ παλαιοί.

h Cf. Etym. M. p. 20, 54. et Gud. p. 11.

i Troad. 989.

γὰρ β τῷ φ συγγενές ἐστι· δῆλον δὲ ἀπὸ τοῦ Μακεδόνας τὸν Φίλιππον Βίλιππον καλεῖν, καὶ τὸν φαλακρὸν βαλακρὸν, καὶ τοὺς Φρύγας Βρύγας, καὶ τοὺς ἀνέμους, διὰ τὸ φυσᾶν φυσητὰς, βύκτας, Ὅμηρος

βυκτάων ἀνέμων (Od. K. 20.)

διχὴ δὲ ἀβροδίαιτος, ὅτι δεῖ αὐτῇ διὰ τὸ κάλλος χλιδῆς, ὅτι οἱ κατεχόμενοι τῇδε τῇ θεῷ ἀβροὶ καὶ πολυτελεῖς· οὕτω Δίδυμος[k].

ἈΤΙΜΆΖΩ: (Od. Z. 283.) Ἐξ οὗ τὸ ἠτίμησε· τοῦτο παρὰ τὸ ἀτιμῶ· ὡς βῶ βάζω· τοῦτο παρὰ τὸ ἄτιμος· τοῦτο παρὰ τὸ τιμῶ· τοῦτο παρὰ τὸ τίω· ἔστι δὲ καὶ ἀτιμῶ καὶ δευτέρας καὶ τρίτης συζυγίας· τὸ τίω σημαίνει τρία· τὸ τιμῶ

θεὸς δ' ὡς τιέτο δήμῳ (Il. E. 78.)

τὸ τιμωρῶ, καὶ τὸ ἀποδίδωμι· καὶ τὸ ἀτιμῶ σημαίνει τρία· τὸ ἀτιμάζω, τὸ ὑβρίζω, καὶ τὸ καταδικάζω· τὶ διαφέρει τὸ ἀτιμῶ ἡ τρίτη συζύγια τοῦ ἀτιμάζω; ἀτιμῶ μὲν λέγεται τὸ κατὰ τὸν νόμον ὁλοσχερῶς κατακρίνω, ἐξ οὗ τὸ ἐπὶ τοῦ ξύλου ἠτιμωμένος ἤτοι κατακεκριμένος "λαβετε γὰρ αὐτὸν ὑμεῖς καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε." ἀτιμάζω δὲ τὸ ὑβρίζω· πάλιν διαφέρει τὸ ἀτιμῶ ἡ τρίτη συζυγία τῶν περισπωμένων, τῆς δευτέρας· ἡ μὲν γὰρ δευτέρα συζυγία παρασύνθετος ἐστὶν ἐκ τοῦ ἄτιμος· ἡ δὲ δευτέρα σύνθετος ἐκ τοῦ τιμὴ, ἐξ οὗ τὸ ἠτίμησεν[l].

ἈΡΓΥΡΌΤΟΞΕ: (Il. A. 37.) Ἐκ τοῦ ἀργόν· σημαίνει δὲ τὸ καθαρόν· τουτέστιν ὁ λαμπρὸν τόξον ἔχων, τὸ γὰρ ἀργὸν σημαίνει τὸν λευκόν· τοῦτο παρὰ τὸ ἀγλαός· τοῦτο παρὰ τὸ αἴγλη, ἀγλαὸν[m] ἀποβολῇ τοῦ ι καὶ μεταθέσει ἀλιὸν, καὶ τροπῇ τοῦ λ εἰς ρ ἀργόν· ὅτε δὲ σημαίνει τὸν ταχὺν, ἀπὸ τοῦ ἀρκῶ ἀρκὸς, καὶ τροπῇ τοῦ κ εἰς γ ἀργὸς, ὁ γὰρ ταχὺς ἐπαρκεῖ ἐν τῷ νικᾶν.

ἈΡΓΟΎΣ: (Il. A. 50.) Λευκούς· δύο σημαίνει ἀργὸς, τὸν

[k] Cf. Etym. Gud. p. 97. 30. Etym. M. p. 179, 3. [l] Cf. Etym. M. p. 164, 2. et Gud. p. 90, 16. [m] Leg. αἰγλαὸν cum Etym. Gud. p. 74, 35.

νωθρὸν καὶ δυσκίνητον, μᾶλλον δὲ ἐνέργητον[n] παρὰ τὸ ἀργὸς τίς εἶναι καὶ βοηθείας δεόμενος, παρὰ τὸ ἀρήγω, τὸ βοηθῶ· σημαίνει δὲ καὶ καθαρὸν καὶ λευκόν· ὡς ἐνταῦθα· γίνεται παρὰ τὸ ἀὴρ ἀέρος ἀργὸς, διειδὴς γὰρ ὁ ἀὴρ καὶ διαφανὴς, καὶ διόσμος· ἅτε λεπτομερέστερος ὤν.

Ἀμῦναι: (Il. M. 334.) Ἀποστρέψαι, καὶ ἀλεξῆσαι, καὶ βοηθῆσαι· σημαίνει δὲ τὸ τιμωρήσασθαι· τὸ δὲ ἀμύνω ἀπὸ τοῦ ἄμυνα, ἡ ἐκδίκησις· τοῦτο παρὰ τὸ μύνη, ἡ πρόφασις, καὶ μετὰ τοῦ ἐπιτατικοῦ α, ἄμυνα.

Ἀρήξειν: (Il. A. 77.) Βοηθήσειν· καὶ ἐστὶ κυρίως, τὸ μετ' εὐχῆς βοηθεῖν· ἀπὸ τοῦ ἀρῶ ἀράσω καὶ ἀρήσω, ἀρήγω, καὶ ἀρήξω, καὶ ἀρηγὼν, ὁ βοηθός.

Ἀρχός: (Il. A. 144.) Ὡς ἀπὸ τοῦ ἄγω ἀγὸς, ὁ ἡγεμών· ὁ θεολόγος εἰς τὰ ἔπη· "καὶ γὰρ αὐτοῦ[o] πίπτοντος ὅλος στρατὸς εἰς χθόνα πίπτει" οὕτως ἐκ τοῦ ἄρχη ἀρχός.

Ἀλεγίζειν: (Il. A. 160.) Παρὰ τὸ λέγω τὸ φροντίζω· ἐξ οὗ καὶ λόγος ἡ φροντίς· λέγω οὖν μετὰ τοῦ ἐπιτατικοῦ α ἀλέγω, καὶ ἐξ αὐτοῦ ἀλεγίζω παράγωγον.

Ἄφενος: (Il. A. 171.) Ὁ ποιητὴς οὐδετέρως χρᾶται τῇ λέξει· τινὲς δὲ ἀρσενικῶς· γίνεται ἐκ τοῦ ἐνὸς, ὃ σημαίνει τὸν ἐνιαυτόν· ἄφενος προπαροξυτόνως· ἀφενὸς δὲ ἄνθρωπος ὁ πλήρης τοῦ ἀφένου· ἐνὸς δὲ ὁ ἐνιαυτὸς, παρὰ τὸ ἔω, τὸ πληρῶ, ὁ ἐξ ἐνὸς ἐνιαυτοῦ συναγόμενος πλοῦτος· πλοῦτος δὲ ἐκ διαφόρων[p].

Ἄχος: (Il. A. 188.) Παρὰ τὸ χω τὸ χέω, μετὰ τοῦ στερητικοῦ α ἄχος, τὸ μὴ διαχεόμενον.

Αἶψα: (Il. A. 393.) Παρὰ τὸ ἅπτω ἆψ καὶ αἶψα.

Ἀφύξειν: (Il. A. 171.) Παρὰ τὸ ἀφύσσω τὸ ἀπαντλῶ· Δωρικὴ δὲ ἡ λέξις, ὅπερ ἐν πλεονασμῷ τοῦ λ, λαφύσσω γίνεται· ἀφύξειν τὸ ἀπαρέμφατον, καὶ ἀφύσσω ἀπὸ τοῦ φύσσω, καὶ μετὰ τοῦ ἐπιτατικοῦ α ἀφύσσω, ἀπὸ μεταφορᾶς τῶν φυσωμένων ἀσκῶν.

Ἄντην: (Il. A. 187.) Παρὰ τὸ ἀντῶ ἄντην· ὡς κρύβω

[n] Leg. ἀνενέργητον cum Etym. Gud. p. 73, 55. [o] Leg. cum Etym. Gud. p. 82, 30. ἀγοῦ. [p] Cf. Etym. Gud. p. 95, 53.

κρύβδην, καὶ μίγω μίγδην· τὰ δὲ εἰς ην ἐπιῤῥήματα βαρύνονται· χύδην· μίγδην.

Ἄλιος: (Il. A. 538.) Νῦν *ἐπίθετον καὶ κύριον· τὸ λι ἰῶτα· διατί; τὰ ἀπὸ μονοσυλλάβων ὀξυτόνων διὰ τοῦ ιος γινόμενα ὀνόματα, μὴ σημαίνοντα μέρος σωματικὸν, μὴ δὲ μετουσίαν, μὴ δὲ κτητικὴν ὑπέρθεσιν, διὰ τοῦ ἰῶτα γράφεται·* Φρὺξ Φρυγὸς Φρύγιος· *χθὼν χθονὸς χθόνιος·* Στὺξ Στυγὸς Στύγιος· *ἃλς ἁλὸς ἅλιος. μέρος σωματικὸν, βόειος· αἴγειος· χήνειος· φλόγειος μετουσιαστικόν.*

ˈἈγαθός: (Il. A. 131.) ˈἘπίθετον *ἁπλοῦν καὶ σύνθετον· οἱ μὲν ὥσπερ ἀπὸ σκεδῶ ποιοῦσι σκεδάζω, οὕτως ἀπὸ τοῦ ἀγῶ ἀγάζω, ἀγαστὸς καὶ ἀγαθός· τροπῇ τοῦ τ εἰς θ. οἱ γὰρ* ˈἈττικοὶ *τρέπουσι τὸ τ*[q] *εἰς θ· τὸ γὰρ κρεμάστρα*[r] *κρεμάθρα λέγουσιν.*

Ἄνευ: (Il. N. 556.) ˈἈποχωρισμοῦ *σημαντικὸν συντάσσεται αἰεὶ γενικῇ·*

αἴκεν ἄνευ ἐμέθεν. (Il. O. 213.)

ἐπεκτείνεται εἰς τε καὶ εἰς θεν· οὐδὲν ἔχομεν ὅμοιον αὐτῷ ἐπίῤῥημα εἰς θεν λῆγον· αἱ εἰς ευ λήγουσαι λέξεις βαρυνόμεναι ἄπτωτοί εἰσι· περισπώμεναι δὲ πτωτικαί· ˈἈχιλλεῦ· Πηλεῦ.

Ἄϊδι: (Il. A. 3.) Οἱ *μὲν φασὶ παρὰ τὸ ἴδω τὸ βλέπω, ὁ μέλλων εἴσω· ὄνομα ῥηματικὸν ἶς διὰ τοῦ ἰῶτα· πολλὰ γὰρ εἰσὶν ὀνόματα· καὶ μετὰ τοῦ στερητικοῦ α ἄϊς, ἐν ᾧ οὐδὲν ἐστὶν ὁρᾶν. καὶ ἡ γενικὴ ἄϊδος*

δῦναι δομὸν Ἄϊδος (Il. Γ. 322.)

ἡ δοτικὴ ἄϊδι· οἱ δὲ φασὶν ὅτι κατὰ μεταπλασμὸν ἀπὸ τοῦ αΐδης, αΐδου, αΐδῃ, ἄϊδι.

ˈἈγαμέμνων: (Il. A. 94.) ˈὉ *κανών· τὰ σύνθετα ὁμοίως τοῖς ἁπλοῖς κλίνεται· οἷον μέμνων μέμνονος· τὰ δὲ εἰς ων βαρύτονα ἔχοντα δύο σύμφωνα ἐν συλλήψει, μὴ ὄντα παρωνυμικὰ, τρέπουσι τὸ ω εἰς ο ἐπὶ γενικῆς· οἷον, φράδμων φράδμονος*[s]*· ἴδμων ἴδμονος· ἄκμων ἄκμονος· τὸ δὲ* Ἄβρων Ἄβρωνος *παρωνυμικὸν ἀπὸ ἁβρός.*

[q] Cod. θ male. [r] Cod. κρεμάθρα. [s] Cod. φράδμωνος.

Ἀνία: Σημαίνει τὴν χαλεπωτάτην καὶ δυσίατον λύπην, καὶ γίνεται παρὰ τὸ ἰῶ τὸ θεραπεύω, ἴα· καὶ μετὰ τοῦ στερητικοῦ α αἴα, καὶ πολλάκις πέφυκε πλεονάζειν ἐν τῷ ν[t] ἐν ταῖς στερήσεσιν· οἷον ἀαιδὴς ἀναιδής· ἀαίμων ἀναίμων· γράφεται διὰ τοῦ ἰῶτα· τὰ διὰ τοῦ νια θηλυκὰ ἔχοντα μακρὸν τὸ ω, μὴ ὄντα ἀπὸ τῶν διὰ τοῦ ευω ῥημάτων, διὰ τοῦ ἰῶτα γράφεται· οἷον πενία· γωνία[u]· ξενία· πρόσκειται μὴ ὄντα ἀπὸ τῶν διὰ τοῦ ευω ῥημάτων, διὰ τὸ ἑρμηνεύω ἑρμηνεία, καὶ δυσγένεια· μακρὸν τὸ ἰῶτα· τὰ γὰρ διὰ τοῦ νια θηλυκὰ τῷ ι παραληγόμενα συστέλλει αὐτό· οἷον, γωνία· ξενία· πενία· σεσημείωται τὸ ἀνία· τὸ δὲ κονία διφορεῖται· σεσημείωται δὲ τὸ ἀνία, ἐπειδὴ ἀπὸ τοῦ ἴω γέγονε, τὸ θεραπεύω, μακρὸν ἔχοντος τὸ ἰῶτα.

Ἆρα Ἀγειράθω γίνεται ἢ Ἀγειρέθω: (Il. B. 304.) Καὶ λέγομεν ὅτι ἀγειρέθω· ἐπειδὴ τὰ εἰς ω λήγοντα ῥήματα βαρύτονα, εἰ μὲν μακρᾷ παραλήγεται, διὰ τοῦ αθω ποιοῦσι τὴν παραλήγουσαν· οἷον, κίω κιάθω· εἴκω εἰκάθω· ἀμύνω ἀμυνάθω· εἴργω εἰργάθω· Ὅμηρος

ὅσον συνέργαθον ἄκραι (Il. Ξ. 36.)

εἰ δὲ βραχείᾳ παραλήγεται, διὰ τοῦ εθω ποιοῦσι τὴν παραλήγουσαν· οἷον, φλέγω φλεγέθω· νέμω νεμέθω

δοιαὶ δὲ πελειάδες ἀμφὶς ἕκαστον
Χρύσειαι νεμέθοντο. (Il. Λ. 633.)

ὅθεν τὸ ἀγειρέθω, καὶ ἀείρω ἀειρέθω, γινόμενον κατὰ παραγωγὴν ἀγειρείθω καὶ ἀειρείθω ἀπέβαλε τὸ ἰῶτα· ἵνα μὴ εὑρέθη διὰ τοῦ αθω γινόμενον μακρᾶς οὔσης τῆς παραληγούσης[x].

Ἀμφί: (Il. A. 481.) Περὶ, προθέσεις· διαφέρει ἡ περὶ τῆς ἀμφὶ κατὰ τρόπους τρεῖς· ἡ μὲν γὰρ ἀμφὶ ἀποβάλλει τὸ ἰῶτα· οἷον

ἀμφ' ἀγαθὸν θεράποντα. (Il. Π. 165.)

ἡ δὲ περὶ οὐδέποτε· καὶ πάλιν ἡ μὲν περὶ ἀναστρέφεται· καὶ ὅτι ἡ μὲν περὶ μετάγεται εἰς μέρος λόγου, τουτέστιν ἐπίῤῥημα μεσότητος, ὡς ἐν τῷ

[t] Cod. ἐν τὸ υ. [u] Cf. Etym. Gud. p. 58, 15. [x] Cf. Etym. M. p. 8, 16.

Ἰδομενεῦ περὶ μέν σε τίω (Il. Δ. 257.)

ἀντὶ τοῦ περισσῶς· ἡ δὲ ἀμφὶ οὐδέποτε μετάγεται εἰς μέρος λόγου.

Ἄνεως: (Il. B. 323.) Τοῦτο σχηματίζεται διττῶς· ἢ γὰρ ἐκ τοῦ ἴα ἐστὶ, καὶ σημαίνει τὴν φωνήν· τοῦτο δὲ παρὰ τὸ ἰέναι τὸ πορεύεσθαι· ἡ πανταχοῦ πεμπομένη φωνὴ, μετὰ τοῦ στερητικοῦ α· ἄνιος κατὰ πλεονασμὸν τοῦ ν, ὡς αἷμα ἀναίμων· προπαροξύνεται· ἐπειδὴ τὰ εἰς α θηλυκὰ εἰς ος μεταπίπτοντα, καὶ κατὰ σύνθεσιν, προπαροξύνεται· οἷον σκιὰ ἄσκιος· ὥρα ἄωρος· πεῖρα ἄπειρος· οὕτως οὖν καὶ ἴα ἄνιος, καὶ τὸ Ἀττικὸν ἄνεως· ἢ παρὰ τὸ αὔω τὸ φωνῶ[y], γίνεται ἄναυος ὁ ἄφωνος, καὶ ἀποβολῇ τοῦ υ, ἄναος· προπαροξύνεται· κανὼν γὰρ ἐστὶν ὁ λέγων, ὅτε παρεπόμενον ἐστὶ τῇ εἰς η συνεστώσῃ διφθόγγῳ, μετὰ τὴν ἀπόστασιν τοῦ ὑποτακτικοῦ φωνήεντος, ἐκτείνει τὸ α, οὐχ ἑτέρου λόγου ἐπικρατοῦντος· οἷον κλαίω κλάω· οὐραῖον οὐράδιον· οὕτως οὖν καὶ ἄναυος καὶ ἄναος· Ἀττικὸν ἄνεως προπαροξύνεται· κανὼν γὰρ ἐστὶν ὁ λέγων· ὅτε ἀπὸ ῥημάτων ἀποτελεῖται ὀνόματα σύνθετα εἰς ος λήγοντα, τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν· οἷον μυκῶ, δίμυκος· συλῶ ἄσυλος· φυτῶ νεόφυτος· οὕτως οὖν αὔω ἄναυος καὶ ἄναος[z].

Ἀπεβήσετο: (Il. B. 35.) Ἐκ τοῦ βίβημι βήσω, καὶ μετάγεται ὁ μέλλων εἰς ἐνεστῶτα, καὶ γίνεται βήσω, ὁ μέλλων οὐκ ἔχει· τὰ γὰρ ἀπὸ μελλόντων εἰς ἐνεστῶτα μεταγόμενα ῥήματα ἄχρι τοῦ παρατατικοῦ κλίνεται, ὡς τὸ ἄγω ἄξω

ἄξετε δὲ Πριάμοιο βίην. (Il. Γ. 105.)

ὁ παρατατικὸς ἔβησον ἐβησόμην ἐβήσου ἐβήσεο καὶ ἀπεβήσετο[a].

Ἆσσον: (Il. A. 335.) Ἐπίῤῥημα τοπικόν· γίνεται δὲ παρὰ τὸ ἅπτω τὸ προσεγγίζω· καὶ οἱ Αἰολεῖς τὸ πτ εἰς δύο σσ τρέπουσιν· ὄπτω ὄσσω, καὶ νίπτω νίσσω· οὕτως καὶ ἅπτω ἄσσω· ἐξ αὐτοῦ ἆσσον· ἢ παρὰ τὸ ἐγγὺς ἐγγύτερος, ὁ πρῶτος τύπος τῶν συγκριτικῶν· ὁ δεύτερος, ἐγγίων, ὁ τρίτος ἔσσων· καὶ

[y] Cod. φονῶ. [z] Cf. Etym. M. p. 105. 17. et Gud. p. 56, 22.
[a] Cod. ἀπεβήσατο.

τροπῇ τοῦ ε εἰς α· ἆσσον· καὶ τίθεται ὀξεῖα· ἐπειδὴ οὐδέποτε πρὸ τῶν δύο συμφώνων τῶν αὐτῶν εὑρίσκεται φύσει μακρὰ, πλὴν μᾶλλον· θᾶσσον.

Αἴτιος: (Il. Α. 153.) Τὸ τι ἰῶτα· διατί; τὰ ἀπὸ ἀπτώτων διὰ τοῦ ιος γινόμενα ὀνόματα ὑπὲρ δύο συλλαβὰς, διὰ τοῦ ι γράφεται· οἷον, πλήσσω πλήγη, καὶ τροπῇ τοῦ η εἰς ἰῶτα πλάγιον· ἀρκῶ ἄρκιον

οὐ οἱ ἄρκιον. (Il. Β. 393.)

Ἀκμῆτες: (Il. Λ. 801.) Ἀκοπίατοι, μὴ κάμνοντες· ἀπὸ τοῦ κάμνω, οὗ ὁ β΄ ἀόριστος ἔκαμον, ἐξ αὐτοῦ καμὴς, μετὰ τοῦ στερητικοῦ α ἀκαμὴς, καὶ ἐν συγκοπῇ ἀκμής· σημαίνει δὲ καὶ τοὺς ἀκμάζοντας καὶ τοὺς ἀσίτους. γίνεται δὲ τὸ ἀκμὴς, τὸ σημαῖνον τὸ ἄσιτον, παρὰ τὸ ἀκτὴν, ὃ σημαίνει τὸν σῖτον· Ὅμηρος

Δημητέρος ἀκτὴν (Il. Ν. 322.)

τουτέστιν ψωμὸν ἢ σῖτον[b].

Αἱμύλος: Ἔμπειρος, σύνετος, κολακευτικός· παρὰ τὸ δάω, τὸ μανθάνω, δαίμων, ἀποβολῇ τοῦ δ αἵμων

αἵμονα θήρης (Il. Ε. 49.)

τουτέστιν εἰδήμονα· ὑποκοριστικὸν τοῦ αἵμων αἱμύλος· οὗ κτητικὸν αἱμύλιος· Ἡσίοδος

αἱμυλίοισι λόγοισιν (Theog. 890.)

ὅ ἐστι κολακευτικοῖς[c].

Αἱμασία: (Od. Σ. 358.) Τὸ ἐκ χαληκῶν ᾠκοδομημένον τείχιον· λέγεται δὲ αἱμασία κυρίως φραγμὸς ἠκανθωμένος· γίνεται παρὰ τὸ αἱμάττεσθαι τοὺς δι᾽ αὐτοῦ διερχομένους· τὸ δὲ αἱμάσσω συντάσσεται πτώσει αἰτιατικῇ.

Ἄκρον ἄωτον: Οὕτω δὴ οὖν ἅπαντες "ἄκρον ἄωτον" τὸ καθ᾽ ἡμᾶς φιλοσοφήσαντες, ἀπαρχὴν, κατὰ μετάληψιν· σημαίνει γὰρ τὴν ἀπὸ τοῦ ἄνθους ἀρχήν· ἄωτον γὰρ τὸ ἄνθος· καὶ ἡ ἡλικία καὶ ἡ ἀκμή· ἀπὸ δὲ τοῦ ἄκρου, τὸ σπουδαῖον· σημαίνει δὲ τὸ ἄκρον, καὶ ἀκρωτήριον, καὶ ὕψος· δηλοῖ δὲ τὸ

b Cf. Etym. Gud. p. 26, 38. c Cf. Etym. Gud. p. 18, 23.

ἄωτον, ἄνθος, ἔριον, δέρμα, ὕπνον ἡδὺν καὶ μαλακόν· κυρίως δὲ τὸ δέρμα καὶ τὸν ὕπνον σημαίνει ἡ λέξις· Ὅμηρος,

τί πάννυχον ὕπνον ἀωτεῖς; (Il. K. 159.)

ἀντὶ τοῦ ἀπανθίζεις, ἀπολαύεις[d].

Αἰπύτερος: Χαλεπώτερος, ὑψηλότερος, μέγας, ἢ σκληρότερος καὶ τραχύτερος καὶ "αἰπὰ[e] ῥέεθρα·" (Il. Θ. 369.) τὰ δύσβατα, ἀπὸ μεταφορᾶς τῶν ἀκρωτηρίων· αἶπος γὰρ τὸ ἀκρωτήριον· ἀπὸ τοῦ αἴσσω, τὸ ὁρμῶ· ἀπὸ δὲ τοῦ αἶπος οὐδετέρου αἰπὺς ἀρσενικὸν, καὶ τὸ συγκριτικὸν αἰπύτερος.

Ἀγέρωχον: (Od. Λ. 285.) Ἔντιμον, ἐπὶ γερῶς ὀχούμενον· εἴρηται δὲ καὶ ἄλλα περὶ τούτου ὄπισθεν· οἱ δὲ ὑπερήφανον, ἢ μεγάλαυχον, ἢ σεμνόν· οἱ δὲ αὐθάδη καὶ ὑβριστὴν, τὸν ἄγαν αὐχοῦντα, ἢ τὸν ἄγαν γερωχοῦντα·

Ἀμαιμάκετον: (Od. Ξ. 311.) Ἄμαχον, ἀνυπόστατον, μακρὰν καὶ φοβερὰν, ἢ ἀπροσμάχητον καὶ μεγάλην, ἀπὸ τοῦ μαιμῶ, ὃ σημαίνει τὸ προθυμοῦμαι, καὶ μετὰ τοῦ στερητικοῦ α ἀμεμάκετος, πρὸς ἣν οὐδεὶς προθυμεῖται μάχεσθαι· ἢ ἀπὸ τοῦ μαχῶ, πρὸς ἣν οὐδεὶς ἀντιμάχεται· ἢ παρὰ τὸ αἷμα, ἡ αἵματος ἐπιθυμοῦσα[f]· ἀπὸ τῶν ἐμψυχῶν ἡ μεταφορὰ, διότι καὶ παρὰ τὸ μῶ διπλασιασμῷ μαιμῶ[g]· μῶ δὲ τὸ ζητῶ ἀπὸ τοῦ μαιμῶ· Ὅμηρος

μαίμησε δέ οἱ φίλον ἦτορ. (Il. E. 670,)

παρὰ τὸ μῶ καὶ τὸ μαίω

μαιομένη κευθμῶνας. (Od. N. 367.)

Ἀλέοντο: (Il. Σ. 586.) Ὡς παρὰ τὸ νοῶ νοέοντο, καὶ παρὰ τὸ φοβῶ φοβέοντο, οὕτως παρὰ τὸ ἀλῶ, τὸ ἐκκλίνω, ἀλέοντο

Ἱστάμενοι μάλ' ἐγγὺς ὑλάκτεον, ἐκ τ' ἀλέοντο. (Il. Σ. 586.)

παρὰ τὸ ἀλῶ παράγωγον, ἀλεύω

ἀλεύετο γὰρ βέλος·

ὡς παρὰ τὸ ἀθλῶ ἀθλεύω·

ἀθλεύω καὶ πρὸ ἄνακτος.

d Cod. ἀπολαβ. (superscr. αυεις) Cf. Etym. M. p. 53, 53. et Gud. p. 29, 53. e Cod. ἐπὰ. f Cod. ἐπεθυμοῦσα. g Cod. μεμῶ (superscr. αι).

Αἶ: (Il. Α. 459.) Σύνδεσμος παραπληρωματικὸς περισπᾶται· αἱ εἰς υ λήγουσαι μετοχαὶ δίφθογγον περισπῶνται· σεσημείωται τὸ ἰοὺ ἐπίφθεγμα, καὶ ἡ οὐ ἀπόφασις, καὶ ἰδού· καὶ τὸ μὲν ἰδοὺ, ὡς δεικτικὸν, καὶ αὐτῆς τῆς δείξεως σημαντικὸν, ἡ δὲ ἀπόφασις πρὸς ἀντιδιαστολὴν τοῦ ου στοιχείου· τὸ δὲ ἰοὺ ἐπίφθεγμα ἐστὶ σχετλιαστικόν· τὰ δὲ σχετλιαστικὰ οὐδ' ὑπάγεται ἀναλογίᾳ, οὐ γὰρ ἀπὸ ἐῤῥωμένης διανοίας πέμπεται.

Ἄλλος: (Il. Α. 186.) Ὄνομα ἁπλοῦν προσηγορικὸν ἔδοξεν εἶναι ἀντωνυμία διὰ τὸ ἔχειν συζυγίαν, ὡς ἡμεδαπός ·ἀλλοδαπός· ἀλλ' οὐ πάντα τὰ συζυγίαν ἔχοντα ἀντωνυμίαι εἰσὶν, ἐπεὶ καὶ τὸ παντοδαπὸς συζυγίαν ἔχει, ἀλλ' οὐκ ἐστὶν ἀντωνυμία· ἀλλὰ καὶ διότι ἐφύλαξε τὸ ο ἐν τῷ ἄλλο οὐδέτερον, ὡς τὸ αὐτὸ, ἐκεῖνο· καὶ αὐτὸ παράγεται· ἀλλότερος, ὡς ἡμέτερος· ἀλλ' ἐπὶ τούτου οὐκ ἔστι παραγωγὴ, ἀλλ' ὑπέρθεσις Αἰολίδος διαλέκτου· ἡ τὸν Πρίαμον Πέραμον λέγει, καὶ τὴν κοπρίαν κόπερραν· ἀλλότερος οὖν ἦν· καθ' ὑπέρθεσιν γέγονεν ἀλλότερος· καὶ ὅτι οἱ Δωριεῖς μόνας τὰς ἀπὸ τῶν εἰς ε ληγουσῶν εὐθείων γενικὰς περισπῶσιν· μῆνι μηνῶν· οὐκ ἔστιν δὲ καὶ τῆς ἀπὸ τῶν εἰς οι· οὐ γὰρ λέγουσι Πριαμῶν ἀλλὰ Πριάμων· τῶν μέντοι ἀντωνυμιῶν τῶν εἰς οι ληγουσῶν τὰς γενικὰς περισπῶσι· τουτῶν, καὶ τινῶν· εἰ τοίνυν τῶν ἀλλῶν περισπῶσιν, οὐκ ἔστιν ὄνομα, ἀλλ' ἀντωνυμία· καὶ ὅτι κλητικῆς ἐστέρηται, ὡς ἀντωνυμία πρωτότυπος· πρὸς δὲ τοῦτο λέγομεν ὅτι τὸ σημαινόμενον κωλύει, καὶ διὰ τοῦτο ἐστέρηται· ἡ γὰρ κλητικὴ πρὸς παρὸν πρόσωπον· τὸ δὲ ἄλλος ἀναιρετικὸς τοῦ παρόντος προσώπου· ἐπεὶ κατὰ τοῦτο καὶ τὰ πυσματικὰ ἀντωνυμίαι· οἱ δὲ ὀνόματα λέγουσιν εἶναι, ὅτι μάχεται φασὶ τὸ σημαινόμενον, ἡ γὰρ ἀντωνυμία προσώπων ὡρισμένων ἐστὶ παραστατικὴ, τὸ δὲ ἄλλο ἀναιρετικὸν ἐστὶ προσώπου· καὶ ὅτι πᾶσα ἀντωνυμία ἢ πρωτότυπος ἐστὶν, ἢ κτητική· καὶ εἰ μὲν πρωτότυπος δῆλον, ὅτι τῶν μονοπροσώπων ἐστὶν, αἱ δὲ μονοπρόσωποι ἀναφορὰν ἢ δεῖξιν σημαίνουσι· τὸ δὲ ἄλλο οὐδὲν τούτων· βαρύνεται· τὰ εἰς λος ἑτέρῳ λ παραληγόμενα τριγενῆ ὀξύνεται· κυλλός· μυλλός· ψελλός· τὸ δὲ ἄλλος ἠλόγηται ἐπεὶ πάντα τὰ ἐπιμεριζόμενα βαρύνεται.

Ἀνδρῶν: (Il. A. 7.) Ὄνομα ἐπιθετικὸν ῥῆμα[h] ἀπὸ τοῦ ἄνω, ὅ ἐστι τελίσκω· γίνεται ἐν ῥήματι τροπὴ τοῦ ω εἰς ηρ, ὡς αἴθω αἰθήρ· ἄνω ἀνήρ· ἡ γενικὴ ἀνέρος, καὶ ἐν συγκοπῇ καὶ πλεονασμῷ ἀναγκαίῳ ἀνδρός· ἀναγκαῖος μέντοι ὁ πλεονασμὸς, οὐ γὰρ δυνατὸν συστῆναι ν καὶ ρ εἰ μὴ ἐν διαστάσει, ὡς ἐν τῷ

ἄλλοι μὲν ῥά. (Il. B. 1).

ἐπεισόδῳ τοῦ δ· ὕδωρ· ἐχθοδοπῆσαι· οὐδὲν δὲ εἰς νηρ λῆγον ἀρσενικόν ἐστιν ἢ τὸ ἀνήρ.

Ἄρα·

ὃν ἄρα νύμφη τέκε Νηῒς ἀμύμων. (Il. Ξ. 444.)

σύνδεσμος παραπληρωματικὸς, καὶ συλλογιστικὸς, καὶ ἐπιφορικὸς, καὶ ἐρωτικός· ὃν οἱ Ἀττικοὶ ἄρα λέγουσιν, οἱ δὲ πολλοὶ ἦρα· τοῦτον δὲ τὸν παραπληρωματικὸν οἱ ποιηταὶ λέγουσιν ἦρα·

ἦρά νύ τοι μεγάλων δώρων. (Il. K. 401.)
ἦρά νύ μοι ξεῖνος. (Il. Z. 216.)

οὐ γὰρ ἀποροῦσιν ἐνθάδε νῦν.

Ἀμύμων: (Il. A. 92.) Ὄνομα ἐπιθετικὸν σύνθετον· ὁ μὲν Φιλόξενος παρὰ τὸ μύω μύσω μύμων, κατὰ στέρησιν ἀμύμων· ὁ μὴ ἀνακεκλιμένος· οἱ δὲ παρὰ τὸ μῶμος κατὰ στέρησιν ἄμωμος· ἀμύμων, παρασύνθετον· τὸ δὲ ω εἰς υ, ὡς τὸ χελώνη χελύνη· τὰ εἰς μων ὑπὲρ δύο συλλαβὰς φυσεὶ μακρᾷ παραληγόμενα διὰ τοῦ ο κλίνεται[i].

Ἄκριτον:

Πενθήμεναι ἄκριτον αἰεί· (Od. Σ. 173.)

Ὄνομα οὐδέτερον ἐπιρρηματικῶς κείμενον· ὡς τὸ νέον καὶ καλόν· κριτὸς, ἐξ οὗ καὶ τὸ ἀκριτόμυθος, ὅπερ δύναται καὶ κριτόμυθος ἐπιφέρειν·

λιγύς περ ἐὼν ἀγορητής. (Il. A. 248.)

ἐκ τοῦ κριτὸς τὸ θηλυκὸν, κριτὴ, καὶ κριτὸν, ὡς πλυτὸς, πλυτὴ καὶ πλυτόν· πλύτης γὰρ ἐπ᾽ ἐνεργείας· ὡς θύτης· πλυτὸς δὲ καὶ κριτὸς ἐπὶ πάθους. Ἡσίοδος δὲ τὸ "πρόκριν," παρὰ τὸ κρίσις, πρόκρισις, πρόκρισιν καὶ ἐν συγκοπῇ "πρόκριν."

Ἄητον: Ἀῶ ἄημι, ἄης ἄησι, καὶ παρ᾽ Ἡσιόδῳ (Theog.

[h] Leg. ῥηματικόν. [i] Cf. Etym. M. p. 87, 30.

875.) Τὸ πλῆθος "ἄεισι" ὡς τιθεῖσι, καὶ τὸ δυικὸν ἄετον, καὶ τροπῇ τοῦ ε εἰς η ἄητον,

τῶ τ' ἐκ Θρήκηθεν ἄητον· (Il. I. 5.)

ὁ παρατατικὸς ἄην, ἄης, ἄη, καὶ ἡ μετοχὴ ἀείς, καὶ

ἀνεμῶν μένος ὑγρὸν ἀέντων. (Od. E. 478.)

καὶ

διασκιδνᾶσιν ἀέντες· (Il. E. 526.)

παρὰ τὸ ἀῶ ῥῆμα, ὄνομα ῥηματικὸν ἄης, καὶ ἡ γενικὴ ἄεος, ὡς βέλεος, καὶ ὡς φράζω φραδὴς, οὕτως ἀῶ ἄης, καὶ δυσαὴς, καὶ ζαὴς, ἀπὸ τοῦ[k] ἀήτης καὶ ἄελλα, καὶ τὸ αὐλός· τινὲς παρὰ τὸ ἀῶ αὐὸς καὶ αὐλὸς, ὃ καὶ ἄμεινον· διὰ γὰρ τοῦ πνεύματος γίνεται τὸ αὐλεῖν, οὐκ ἀπὸ τοῦ αὔω, τὸ φρονῶ[l]· ἐκ τοῦ αῶ, τὸ φωνῶ, καὶ ἐκ τοῦ ἄημι ἀέμενος.

Ἁρπάξαν: (Od. E. 416.) Ἐκ τοῦ ἁρπάζω· τὸ πρῶτον ἁρπῶ, ἐξ οὗ τὸ ἁρπαλέος καὶ ἡ ἅρπη, ἐπὶ τοῦ ζώου, καὶ ἐπὶ τοῦ δρεπάνου. τοῦ ἁρπῶ ὁ μέσος παρεκείμενος, ἧρπα, ἡ μετοχὴ ἡρπὼς, ἡρπυῖα, καὶ κατὰ συστολὴν, καὶ βαρεῖαν τάσιν, ἅρπυια, ὡς ἦγα, ἠγὼς, ἠγυῖα, καὶ ἄγυια· εἶδα, εἰδὼς, εἰδυῖα, καὶ εἴδυια· παράγωγον οὖν τὸ ἁρπάζω· τὰ διὰ τοῦ αζω ῥήματα συστέλλει τὸ α· ὅταν ᾖ μόνον εἶπε διὰ τὸ σφαδάζω· μετάζω· τεράζω. Ἀττικὰ προσθετέον καὶ κοινά· ἐπεὶ Αἰολεῖς τὸ πτήσσω πτάζω[m] λέγουσι, καὶ τὸ πλήσσω πλάζω· ζητητέον ἐπὶ τοῦ

κύματι πηγῷ[n] πλάζετο. (Od. E. 389.)

οἱ μὲν γὰρ ἐκτείνουσιν, ἵν' ᾖ Αἰολικὸν σημαντικὸν τοῦ πλήσσετο· ἐπιφέρει γὰρ οὕτω πάλιν

νῦν κακὰ πολλὰ[o] παθὼν ἀλόω κατὰ πόντον. (Od. E. 377.)

τὸ κράζω παράλογον ἐγένετο, κρώζω ἀνάλογον.

Ἀπό: (Il. A. 249.) Αἰολεῖς τὴν ὑπὸ ὑπὰ λέγουσι, καὶ τὴν ἀπὸ ἀπὺ, ἴσως ἵνα καὶ τὸ υ ληκτικὸν γένηται τῶν προθέσεων, ὡς τὸ α καὶ ι.

Ἄκρις[p]: Βαρύνεται πρὸς ἀντιδιαστολὴν τοῦ ζώου.

Ἀτάρ: (Il. A. 166.) Σύνδεσμος συμπλεκτικὸς, μετα-

[k] Leg. τούτου. [l] Leg. φωνῶ. [m] Cod. πλάζω. [n] Cod. πηλ(γ)ω.
[o] Cod. πολλὰ κακά. [p] Leg. ἄχρις.

βατικὸς, ἰσοδυναμῶν τῷ ἀλλὰ καὶ τῷ δὲ· τοῦ μὲν διαφέρων τάξει, τοῦ δὲ ἀλλὰ, χρήσει· διαφέρουσι δὲ ἀμφότεροι τάξει· ὁ μὲν γὰρ δὲ ὑποτάσσεται, ὁ δὲ ἀλλὰ καὶ αὐτὰρ, προτάσσονται· ὁ ἀτὰρ πρότερος· ὁ δὲ αὐτὰρ ποιητικῷ πλεονασμῷ·

Ἄχνη: (Il. Δ. 426.) Ὄνομα ῥηματικὸν ἐκ τοῦ ἔχω καὶ ἀέχη τὸ ἐχεπτομέριον[q] ὄν· οὗ οὐκ ἐστὶν ἔχεσθαι· δύναται δὲ παρὰ τὸ αζω τὸ ξηραίνω· καὶ μάλιστα ἐπ' ἐκείνου

ὡς δ' ἄνεμος ἄχνας φορέει ἱερὰς κατ' ἀλωάς. (Il. E. 499.)

τὸ γὰρ ξηρὸν καὶ οὐ λεπτόν ἐστιν· ἄχνη· ὡς πήσσω πάχνη· λάζω λάχνη· ἡ γὰρ τρίχωσις εὔληπτος· τὸ δὲ εἰς ν μετ' ἐπιπλοκῆς συμφώνου βαρύνεται· οἷον· ὄρφνη[r]· λίμνη· τὸ ἀκμὴ ἐπὶ τοῦ ἄκμονος· ἀντιπίπτει τὸ στρωμνὴ καὶ ἰσχνὴ, καὶ Ἰσχνὰ πόλις ἐν Μακεδονίᾳ, ὥσπερ εἰ λέγοιτο πληθυντικῶς Ἰσχναί· ἔχει δὲ ἀφορμὴν ὅτι τὰ ὀφειλόμενα βαρύνεσθαι ἑνικῶς, πληθυντικῶς ὁρᾶται ὀξύτονα· Πλάταια Πλαταιάς· ὄνειρα ὀνείρας[s]· Κλέωνα Κλεωναί.

Ἀνέμοιο: (Il. Z. 346.) Ὄνομα προσηγορικὸν ἀπὸ ῥήματος· Ἀπολλόδωρος παρὰ τὸ ἀνύειν· ὁ δὲ ποιητὴς παρὰ τὸ ἀεῖν·

ἀνέμων μένος ὑγρὸν[t] ἀέντων. (Od. E. 478.

καὶ

ἦλθε δ' ἐπὶ Νότος ὠκὺς ἀήμεναι.

ἀῶ οὖν ἄεμος, καὶ ἐπενθέσει τοῦ ν ἄνεμος, ὡς ἀμείων ἀμείνων[u].

Ἀλλήλοισι: (Il. Δ. 449.) Σύνθετον ὄνομα ἐστὶν ἐκ τοῦ ἄλλαι ἄλλαις ἀλλήλαις, καὶ γὰρ ἀπὸ πληθυντικοῦ ἀριθμοῦ συντίθεται κατὰ τὴν τριγένειαν, καὶ διαβιβαστικὴν σχέσιν ἐμφαίνει, καὶ ἄρθρον οὐκ ἐπιδέχεται, καθότι διάφοροι νοοῦνται πτώσεις εὐθεῖα καὶ πλάγιος· ὁππότερον οὖν ἄρθρον ἐπιδέξεται, μάχεται τῷ τῆς ἑτέρας ἰδιώματι κατὰ τὸν νοητόν· καὶ πῶς ἐν τῷ λεοντομάχος καὶ φιλοπλάτων, σύνθετα ὄντα, καὶ ἀναλυόμενα εἰς διαφόρους πτώσεις, ὅμως σύναρθρα εἰσίν; ὅτι οὐχ ὅμοια ἡ ἀνάλυσις ἐπὶ τοῦ ἀλλήλους καὶ λεοντομάχος, ἡ μὲν γὰρ ἐπὶ τοῦ ἀλλήλους διαβιβαστικὴν ποιεῖται τὴν ἀνάλυσιν· οἷον, ἄλλοι

q De scriptura Cod. corrupta sane dubito. r Cod. ὄνφνη.
s Leg. Ὄρνεα Ὀρνεαί. t Cod. ὑργῶν. u Cod. male ἄμεινεν.

ἄλλους τι ποιοῦντες· ἐπὶ δὲ τοῦ λεοντομάχος οὐ γίνεται διαβιβαστικὴ ἡ ἀνάλυσις, ὁ γὰρ λεοντομάχος οὐ διαβαίνει εἰς ἄλλο τί· ὅθεν καὶ τῷ τέλει προσέχοντες συναρθροῦμεν· οἷον, τοῦ λεοντομάχου, ὡς ἐκ μιᾶς ἐκπλήρους διανοίας· ἐπὶ δὲ τοῦ ἀλλήλους ἀναλύοντες εἰς τὸ ἄλλοι ἄλλους, ἐπειδὴ κρέμαται ἡ διάνοια, ἄπορον τὸ συναρθρῶσαι, οὐ γὰρ ἔχει τελευταῖαν εἰς ἑαυτὸ, ἀλλὰ διαβιβαστικὴν ἔννοιαν ἔξωθεν προλαμβανομένην μετοχὴ ἢ ῥῆμα· ὁ γὰρ φιλοπλάτων εὐθεῖαν ἔχων ἐπὶ τέλους εἰς αἰτιατικὴν ἀναλύεται· οἷον, φιλῶν Πλάτωνα, διὰ τὴν τοῦ φιλῶ ῥήματος φύσιν· τὸ δὲ ἀλλήλων γενικὴν ἔχον, οὐ δύναται εἰς ἄλλην ἀναλυθῆναι ἢ εἰς γενικὴν, τὸ δὲ ῥῆμα ἔξωθεν προλαμβάνει· διὰ τοῦτο ἄρα ἀσύναρθρον ἐστὶ τὸ ἀλλήλους· τίνι γὰρ προελθὸν τὸ ἄρθρον τῇ κατ' ἀρχὰς εὐθείᾳ ἐν τῷ ἀλλήλων, ἢ τῇ ἐπὶ τέλους γενικῇ; ἄλλοι ἄλλων γάρ ἐστί· καὶ ἄλλοι ἄλλους· ἔτι εὐθεῖαν οὐκ ἔχει τὸ ἀλλήλους ἄλληλοι καθότι διαβιβαστικὴν ἔχει τὴν ἔννοιαν· διαβιβαστικὴ δὲ σχέσις ἐπ' εὐθείας μόνης οὐχ ὁρᾶται, ἀλλ' ἐν πλαγίαις· οἷον, Πλάτων ἀναγινώσκει τὸν Τίμαιον· Σωκράτης διδάσκει τὸν Ἀλκιβιάδην· ἀκατάλληλον γὰρ τὸ ἐν δυσὶν εὐθύ· οἷον Ἀπολλώνιος τύπτει Διονύσιος· δύο γὰρ ὁμοῦ εὐθεῖαι παραλαμβανόμεναι λόγον οὐκ ἀπαρτίζουσιν. οὐκ ἄρα δύναται εἶναι ἄλληλοι τύπτουσιν· εἰ μέντοι πρόθεσις προσέλθοι, τότε συνίσταται καὶ ἕνεκα κινήματος καὶ πληθυντικὴ καὶ εὐθεῖα· ἅτε τῆς ἑτέρας πλαγίας γινομένης διὰ τὴν σχέσιν τῆς προθέσεως· οἷον, διάλληλοι· κατάλληλοι· παράλληλοι· καὶ κατ' ἄλλους ἄλλοι, καὶ παρ' ἄλλους ἄλλοι, τὸ δὲ ἀλλήλους ἐτράπη ἐκ τοῦ α εἰς η, ὡς τὸ ποδήνεμος· στρατηγός· τὸ δὲ ἱππήλατος ἐκ τοῦ ελυ σύνθεσις· καὶ ἔδει ἀλλήλων διὰ δύο λλ· ἀλλὰ τὸ ἓν λ ἐξέπεσεν· οὐδέποτε γὰρ ἐν μιᾷ λέξει τοῦ αὐτοῦ συμφώνου δύο διπλασιασμοὶ εὑρίσκονται· τὸ γὰρ ἀγγέλων δύο μὲν διπλᾶ, ἀλλ' οὐ τοῦ αὐτοῦ, καὶ τὸ καταλάσσω, καὶ ὅμοιον.

Ἀβάκησαν: (Od. Δ. 249.) Ῥῆμα ὁριστικὸν ἐνεργητικὸν, τρίτου προσώπου τῶν πληθυντικῶν, ἀορίστου α' συζυγίας τῶν περισπωμένων, τῷ σχήματι παρασύνθετον, παράγωγον ἐξ ὀνό-

ματος· ἔστι βάζω, τὸ λέγω, ἀπὸ τοῦ βῶ, ἢ ἀπὸ τοῦ φῶ, τὸ βάζω, ὁ παρακείμενος βεβάκται

ἔπος δ' εἴπέρ τι βεβάκται. (Od. Θ. 408.)

δύναται καὶ τὸ βάζω, καὶ ἐκ τοῦ βοῶ βοάζω, καὶ βάζω ἐν συγκοπῇ, ὡς τὸ θοῶ, τὸ ὀξύνω, τρίτης συζυγίας

ἐγὼ δ' ἐθόωσα παραστάς. (Od. I. 327.)

ἐκ τοῦ θοῶ θοήσω, καὶ θήγω ἐν συγκοπῇ· πολλὰ δὲ παραγωγὰ διὰ τοῦ αζω ἐπὶ δευτέρας συζυγίας τῶν περισπωμένων· οἷον, σκεδάζω· ἀνιάζω· σιγάζω· περάζω· κεράζω· τὸ γὰρ εὐνηθέντες ἐκ περισπωμένου ἐστίν. ἔσθ' ὅτε διὰ τοῦ ιζω παράγεται· οἷον στάζω στίζω· κράζω κρίζω· τοῦ βάζω ὁ μέλλων, βάξω[v]· ὅθεν καὶ βάξις ἡ ῥῆσις· ὁ μέντοι μέλλων παθητικὸς, βάξεται, καὶ διπλασιασμῷ, βαβάξεται, ὅθεν καὶ βάβαξ ὁ ῥήτωρ· ἐκ τοῦ βεβάκται, βάκτης, καὶ Βαβάκτης δαίμων τις θορυβώδης. Βάκχος τὲ ἀπὸ τοῦ βάζω, ὡς Ἴακχος ἀπὸ τοῦ ἰάχω, καὶ Βρόμιος ἀπὸ τοῦ βρέμειν· δύο δὲ σημαίνει τὸ βρέμω, τό τε ἠχῶ, καὶ τὸ φωνῶ·

σταθμῷ ἐνι βρεμέωσι. (Il. Π. 642.)

καὶ ὡς διαυλοδρόμης, ἐκ τοῦ διαυλοδρόμος, ἀδίκης τε ἐκ τοῦ ἄδικος· τοιοῦτον δὲ καὶ τὸ ἀστόργης· μονομάχης· οὕτως καὶ βάκχης ὡς ἐκ τοῦ βάκχος· καὶ διπλασιασμῷ βακχεβάκχης· ὥσπερ καὶ ἐκ τοῦ πεφύλακται φυλακτὸς, καὶ ἐκ τοῦ τέτακται, τακτὸς, καὶ ἄτακτος· οὕτως ἐκ τοῦ βέβακται, βακτὸς, παρ' ὃ τὸ ἀβακτῶ, ὡς τὸ ἀτακτῶ· καὶ ὑφέσει τοῦ τ ἀβακῶ· ἔνθεν τὸ ἀβάκησαν· σημαίνει δὲ τὸ ἠγνόησαν· οἱ γὰρ ἀγνοοῦντες οὐκ ἔχουσιν ὅτι λέγουσιν· ἔστι δὲ καὶ τὸ τοιοῦτον· ἄφθογγοι δι' ἄγνοιαν ἐγένοντο· δύναται δὲ ἀπὸ τοῦ βάζω ἀβακὴς, ἐξ οὗ ἀβακῶ, ὡς εὐσεβῶς ἐκ τοῦ εὐσεβής[x].

Ἀρίστη: (Il. B. 5.) Ἄρης ὁ πόλεμος, ἐξ οὗ κτητικὸν ἄρειος, ὡς Εὐριπίδης[y], ἐξ οὗ συγκριτικὸν ἀρείων, καὶ τὸ ὑπερθετικὸν ἄριστος, ἐν πολέμῳ μέγιστος· τὸ γὰρ

ἄριστον μὲν ὕδωρ

τροπικόν· τὸ θηλυκὸν ἀρίστη· τὸ ἀριστεὺς οὐκ ἔτι κοινωνεῖ, ἀλλ'

v Cod. βάζω. x Hæc multo plen. sunt quam in Etym. M. p. 2, 30. y Bacch. 1172. Herc. F. 413.

ἰδιάζει· οὐδέποτε γὰρ ἀπὸ τῶν τοιούτων ὑπερθετικῶν ἡ παραγωγὴ γίνεται.

Ἀνά: (Il. A. 10.) Ἡ ἀνὰ πρόθεσις αἰτιατικῇ συντάσσεται· ἀναστρεφεῖσα δὲ σημαντικὴ ῥήματος προστακτικοῦ· καὶ ἰστέον ὅτι τῶν ἄλλων εἰς ὁριστικὸν μεταλαμβανομένων,

ἐπεὶ οὔ τοι ἔπι δέος. (Il. A. 515.)
ἔνθ' ἔνι μὲν φιλότης. (Il. Ξ. 216.)
πάρα δ' ἀνὴρ ὃς καταθήσει. (Od. Π. 45.)

μόνη ἡ ἀνὰ πρόθεσις εἰς ῥῆμα προστακτικὸν μετελήφθη.

Αἰγός:

εὐτρεφέος μεγάλοιο. (Od. Ξ. 530.)

Ὄνομα νῦν ἀρσενικὸν διὰ τὸ "μεγαλοιο" οὐ δὲ γὰρ "εὐτρεφέος" κοινὸν γάρ ἐστιν ἐκεῖνο· ἡ εὐθεῖα Αἰολική· καὶ κλίνεται αἰγός· ὁ κανών· τὰ εἰς ξ μετὰ διφθόγγου, ἐπὶ γενικῆς διὰ τοῦ κ κλίνεται· προὶξ προικός· γλαὺξ γλαυκός· γραὶξ γραικός· σεσημείωται τὸ αἶξ διὰ τοῦ γ κλιθέν.

Ἄξυλος: (Il. Z. 12.) Ὄνομα κύριον προπαροξύτονον· τὰ διὰ τοῦ υλος τρισύλλαβα ποικίλα εὑρίσκομεν παρὰ τὴν τάσιν· δάκτυλος. σφόνδυλος· καμπύλος· κρωβύλος· ἔστιν οὖν διακρίνειν οὕτως. τὰ διὰ τοῦ υλος τρισύλλαβα ἀρχόμενα ἀπὸ φύσει μακρᾶς παροξύνεται· Ῥωμύλος· Ἡδύλος· Σιμύλος· Κρωβύλος· καὶ παρὰ τὸ δράναι δραμύλος· τοῖς ἀπὸ θέσει μακρᾶς ἀρχομένοις κυρίοις ἐναντίον· οὕτως τὸ Ὄξυλος καὶ Ἄξυλος· κανὼν β'. τὰ τὸ ι ἔχοντα ἐν πρωτῇ συλλαβῇ ἐπ' αὐτὸν τὴν ὀξεῖαν ἔχει· Σίπυλος. πίτυλος· Ἴτυλος· κανὼν γ'. τὰ τριγενῆ παροξύνεται[z]· οἷον, ἀγκύλος· καμπύλος·

στρογγύλος ἔστι λίθος

Καλλίμαχος· σεσημείωται τὸ αἴσυλος· οὗ οὐδέτερον τὸ αἴσυλον·

ὃδ' οὐκ ὄθετ' αἴσυλα ῥέζων. (Il. E. 403.)

κανὼν δ'. τὰ διὰ τοῦ υλος τρισύλλαβα μὴ κύρια προπαροξύνεται· κόνδυλος· σφόνδυλος· δάκτυλος· ἐπὶ τοῦ Ἄξυλος καὶ Ὄξυλος ἐν ἀμφοτέροις τὸ ξ ὃν οὐκ ἀντιπίπτει·

Ἀνέωγεν:

ἐπιθήματα καλ' ἀνέῳγεν. (Il. Ω. 228.)

[z] Cod. προπαροξ.

Τὸ θέμα οἴγω καὶ ἀνοίγω· ὁ παρατατικὸς ὤγον καὶ ἤνωγον, ἐπεισόδῳ τοῦ ε ἠνέωγον, τὸ τρίτον ἠνέωγε, συστολῇ ἀνέωγεν· ἔστι δὲ δευτέρας συζυγίας τῶν βαρυτόνων· τοῦτο δὲ τὸ ῥῆμα, ὅτε μὲν ἐνεργητικόν ἐστιν αἰτιατικῇ συντάσσεται

τὴν δ' οὐ θεὸς ἄλλος ἀνῷγε· (Il. Ξ. 168.)

τὸν ἐνδεκάτῳ ἐνιαυτῷ
ὦξε ταμίη. (Od. Γ. 391.)

οἴξασα[a] κληῗδι θύραν; (Il. Z. 89.

ὅτε δὲ παθητικὸν εὐθείᾳ, ἀνεῴκτο ἡ θύρα· ἀνέῳκτο ὁ θάλαμος· Δείναρχος δὲ ὁ ῥήτωρ, ἐν τῷ περὶ Εὐθυγένους λόγῳ, μόνος τῶν παλαιῶν, τὸ ἐνεργητικὸν εὐθείᾳ συνέταξεν, οὐ κατὰ νόμον τῶν παλαιῶν, ἀλλὰ κατὰ λογὸν τῆς ἀλόγου συνηθείας εἶπε,

ἀνέωγεν πᾶς ὁ τόπος,

ἐχρῆν γὰρ εἰπεῖν, ὁ τόπος πᾶς ἤνοικτο· ἡ δὲ συνήθεια καὶ τὸ ἐνεργητικὸν εὐθείᾳ συντάσσεται· "ἀνέωγεν ἡ θύρα" τῶν παλαιῶν λεγόντων "ἀνέωγε τὴν θύραν" ἔστιν οὖν εἰπεῖν, ὅτι ἀπὸ τοῦ ἀνοίγω γίνεται ὁ παρακείμενος ἤνωχα· ἐπεισόδῳ τοῦ ε ἠνέωχα· ὁ μέσος ἠνέωγα· τὸ τριτον ἠνέωγε, συστολῇ ἀνέωγε. συνεμπέπτωκε τὸ μέσον τῷ παθητικῷ· μέσον δὲ διὰ τοῦτο καλεῖται, ὅτι ἐνεργητικόν ἐστι καὶ παθητικόν· οἱ μὲν οὖν παλαιοὶ ὅτι ἀπὸ παρατατικοῦ τὴν συντάξιν ποιησάμενοι, ὡς ἀπὸ ἐνεργητικοῦ ἐπὶ πλάγια ἵεντες, "ἀνέωγε[b] τὴν θύραν·" ὡς ἂν εἰ καὶ ἐπὶ ἀορίστου εἴποι τις ἄν, "ἀνέωγε τὴν θύραν·" ἡ γὰρ συνήθεια πλανηθεῖσα τῷ ἀμφιβόλῳ τῆς διαθέσεως, καὶ ἀπὸ μέσου παρακειμένου τὴν σύνταξιν ποιησαμένη, ὡς ἐγκειμένης παθητικῷ, εὐθείᾳ συντάσσει τὸ ῥῆμα "ἀνέωγεν ἡ θύρα" ὡς "ἀνέῳκτο ἡ θύρα."

Αὐτή: (Il. A. 420.) Ἀντωνυμία πρωτότυπος, μονοπρόσωπος ἐπιταγματικὴ μόνως ἀναφορική· τῶν γὰρ ἀντωνυμίων, αἱ μὲν μόνως δεικτικαὶ ὡς ἐγώ, σύ· αἱ δὲ μόνως ἀναφορικαὶ·

ἐπεὶ ἕο κήδετο λίην. (Od. Ξ. 461.)

καὶ

[a] Cod. ὦξα σου. [b] Cod. ἀνέγε.

οἱ ἐπευχόμενος (Il. Π. 829.)

καὶ

ἑ κακὴ βούβρωστις. (Il. Ω. 532.)

αἱ δὲ δεικτικαὶ καὶ ἀναφορικαὶ, ὡς ἐκεῖνος, οὗτος· ἡ αὐτὸς μόνη ἀναφορικὴ, εἰ μὴ αὐτῇ συντάσσοιτο ἡ δεικτικὴ

αὐτὸς ἐγὼ εἶδον θεὸν ἄμβροτον (Od. Ω. 444.)

ἔχει δὲ διαφορὰς ἑπτὰ, μόνον τῶν μονοπροσώπων· ἔστι μόνον ἀναφορικὸν, τῶν ἄλλων καὶ δεικτικῶν οὐσῶν καὶ ἀναφορικῶν· οὗτος ἐκεῖνος· καὶ δεῖξις καὶ ἀναφορά· καὶ πίστις τούτου, ὅτι οὐκ ἀνεδέξατο τὴν διὰ τοῦ ἰῶτα ἐπέκτασιν· μόνη τῶν μονοπροσώπων ὀξύνεται· μόνη δὲ τῶν ἀντωνυμίων ἀπὸ μακρᾶς ἀρχομένη ψιλοῦται· μόνη ἐξ ἀντωνυμίων δεδιπλασίασται· αὐτός αὐτός· μόνη δὲ κωμῳδίᾳ ἐπιτέτακται αὐτότερος, αὐτότατος. μόνη ποικίλως συντέθειται· κατὰ μὲν ἀρχὴν, αὐτοδίδακτος· αὐτοκάβδαλος[c]· αὐτόματος· καὶ τὸ τέλος δὲ, φίλαυτος· καὶ μετὰ ἀντωνυμίων· καὶ οὕτως ποικίλως· πρωτότυπον μὲν· ἐμαυτοῦ ἀκούω· κτητικὴ δὲ, ἐμαυτοῦ δοῦλον τύπτω· μόνη ἐξ ἀντωνυμίων καὶ ἴδια σημαινόμενα ἔσχεν. σημαίνει γὰρ ὑπεροχὴν, "αὐτὸς παρεγένετο ὁ δεσπότης, ἢ ὁ βασιλεύς·" καὶ τὸ μόνος·

Τυδείδης δ' αὐτός περ ἐών. (Il. Θ. 99.)

καὶ τὸ σῶμα·

αὐτοὺς δ' ἑλώρια τεῦχε. (Il. Α. 4.)

καὶ τὸν τόπον·

στῆ τ' αὐτοῦ

μόνη ἐπιταγματική ἐστιν "μόνης αὐτῆς" τὸ οὐδέτερον ἐκ πρωτοτύπου παράθεσιν ἄρθρου λαβὸν εἰς ν λήγει "ταυτόν·" ἄρθρου δὲ παράθεσιν λαμβάνει· "ὁ αὐτὸς ἄνθρωπος παρεγένετο· ὁ αὐτὸς γραμματικὸς διηλέχθη." καὶ τὸ αἴτιον, ὅτι πάντα τὰ ἄρθρα ἀναφορὰν ὑπισχνεῖται· αὕτη μόνως ἀναφορικὴ οὖσα ἀπήλλακτο δείξεως· ἐωκυῖα δὲ ἄρθροις ταύτην προσεδέξατο ἄρθρον[d].

[c] Cod. αὐτοκαύδαλος. [d] Etym. Gud. in v. αὐτὸς p. 95. videtur ad nostrum respicere cum dicat "ζήτει ἐν Ἐπιμερισμοῖς."

Ἀσπὶς: (Il. B. 382.) Ὄνομα προσηγορικόν· γίνεται δὲ, ὁ Τρύφων φησὶ, παρὰ τὸ ἀσπαστὴν εἶναι τοῖς φρονοῦσιν, εἴγε ὁ ἀποβαλὼν ῥίψασπις· ἢ παρὰ τὸ σπῶ, τὸ ἐκτείνω, ὡς καὶ προείρηται, παράγωγον σπίζω, ἀπὸ τούτου σπιδὴς ὄνομα, ὡς φράζω, φραδής·

φραδέος νόοιο ἔργα τέτυκται· (Il. Ω. 354.)

οὗ οὐδέτερον σπιδὲς, ὡς σαφές· γενικὴ σπιδέος·

δισπιδέος πεδίοιο (Il. Λ. 753.)

τοῦτο κατὰ στέρησιν ἀσπὶς, ὅπλον εἰς ἔκτασιν μεμηκύμενον, καὶ εἰς περιφερείαν κεκυκλώμενον· αὐτὸς οὖν ἐπεξηγεῖται πάντοσε ἴσην, καὶ ἐπὶ τοῦ[e] Τρύφων μὲν, διὰ τὸ ἄσπετον τοῦ ζώου, ἑαυτὸν γὰρ συστρέψαν τὸ ζῶον μάχεται· ἡμεῖς δὲ ἐκ τοῦ κυκλοτερής.

Ἅλιος γέρων:

ἅλιος νημερτής. (Od. Δ. 349.)

Κτητικὸν ἐνταῦθα· ἔστι δὲ καὶ ἐπιθετικὸν καὶ κύριον·

Ἀλκίνοος δὲ Ἅλιον καὶ Λαοδάμαντα· (Od. Θ. 370.)

τὰ κτητικὰ δὲ ἢ τὸ ἰῶτα ἔχει, ἢ τὴν οι δίφθογγον, ἢ τὴν αι δίφθογγον· διὸ μόνον σημειῶδες τὸ Ἀργεῖος· ἔστιν δὲ καὶ κανόνα ἀποδοῦναι· πᾶν μονοσύλλαβον ὄνομα, ἔχον δισύλλαβον γενικὴν, εἰ ἔχει κτητικὸν προπαροξυνόμενον, διὰ τοῦ ἰῶτα ἐστίν. οἷον χθὼν χθονὸς, χθόνιος· μὴν, μηνὸς μήνιος, καὶ καταμήνιος· ἃλς ἁλὸς, ἅλιος· θὴρ θηρὸς, θήριος· πρόσκειται προπαροξυνόμενον, διὰ τὸ παντοῖος, καὶ παιδεῖος ἡμαρτημένον· διὰ τοῦτο καὶ διὰ τοῦ ι γράφεται τὸ Διός· ὅτι Ζεὺς Διὸς, ἀπὸ μονοσυλλάβου εὐθείας· κἂν γὰρ ἐκ τοῦ Δίϊος συνείληπτο[f], ἀλλ' οὐδὲ τὸ Δίϊος διὰ τῆς ει διφθόγγου γράφεται· ἐπειδὴ ἡ εὐθεῖα μονοσύλλαβος· ἡνίκα δὲ μετουσίαν ἢ μέρος δηλοῖ σώματος, διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, ἐπὶ μέρους μὲν, βόειος· αἴγειος· χήνειος· ἐπὶ δὲ τῆς μετουσίας· φλόγειος φλόγεος·

ἐς δ' ὄχεα φλόγεα[g]. (Il. E. 745.)

Ἀγαθόν: Ὄνομα οὐδέτερον ἐπιθετικὸν, ἑνικοῦν ἁπλοῦν, ἢ σύνθετον πρὸς διάφορα ἐτυμολογίας·

[e] Sic Cod. [f] Cod. συνείλιπτο. [g] Cod. φλόγα.

ὅτι τοὶ ἐν μεγάροισι κακόν ἀγαθόν τε τέτυκται, (Od. Δ. 392.)

πτώσεως νῦν αἰτιατικῆς, ἐνταῦθα δὲ ἐπιρρηματικὸν, ἐπεὶ πρὸς τὸ "τέτυκται" ῥῆμα μεταφέρεται· ἔστι δὲ καὶ ἀρσενικὸν αἰτιατικὸν "τὸν ἀγαθὸν" εἰ μὲν οὖν παρὰ τὸ ἄγαν καὶ θέειν ἐστὶν, ἐφ' ᾧ ἄγαν θέομεν, σύνθετον· ἁπλοῦν δὲ, εἰ παρὰ τὸ ἀγάζω ἐστὶ, τὸ θαυμάζω, ὅπερ παρὰ ἀγῶ[h]· ἔστιν δὲ παρ' Ἀλκμᾶνι,

αὐτὸν ἀγᾶ

ἀφ' οὗ καὶ ἄγημι, καὶ ἄγαμαι·

ὥς σέ γύναι ἄγαμαι· (Od. Ζ. 168.)

καὶ ὡς σκεδάω σκεδάζω· οὕτως καὶ ἀγῶ ἀγάζω, ἀφ' οὗ καὶ ἀγαστὸς, κατὰ τροπὴν τοῦ σ εἰς θ, ἀγαθὸς, ὡς καὶ παρ' Ἀττικοῖς τὸ κρεμάστρα κρεμάθρα· ὀξύνεται· τὰ διὰ τοῦ αθος ὑπὲρ δύο συλλαβὰς μὴ ὄντα τριγενῆ βαρύνεται· οἷον, ψίαθος· λάπαθος· κάλαθος· ἄμαθος· τὸ ἀγαθὸν τριγενὲς ὂν ὀξύνεται· σεσημείωται τὸ ὁρμαθός· Τρύφων δὲ οὕτως· τὰ εἰς ος τριγενῆ παραλήγοντα τῷ α, καὶ ἔχοντα ἐν τῇ τρίτῃ ἀπὸ τέλους συλλαβῇ α, ὀξύνεται· μαδαρός· πλαδαρός· ἀγανός· οὕτως οὖν καὶ ἀγαθός· σεσημείωται τὸ κάρχαρος·

τρίτωνος ἢ μαλαψεκάρχαρος κύων·

καὶ τὸ θηλυκὸν παρ' Ἀλκμᾶνι

καρχάρεσσι φωναῖς.

καὶ ἐπίῤῥημα "καρχαρῶς·" βαρύνεται δὲ τοῦτο· τὰ γὰρ διὰ τοῦ αρος ὡσπερεὶ δεδιπλασιασμένα, βαρύνονται· μάρμαρος[i]· Γάργαρος· Τάρταρος· βάρβαρος· οὕτως οὖν καὶ κάρχαρος.

Ἀμύνει: (Il. Δ. 11.) Τὰ εἰς νω τῷ υ παραληγόμενα ῥήματα βαρύνεσθαι θέλει καὶ ἐκτείνειν τὸ υ· εὐθύνω· πλατύνω· βραδύνω·

ἀμορφύνειν ἐθέλωσιν

ὁ Ἀντίμαχος, ἀντὶ τοῦ ἀμορφοποιεῖν. ἀκαχύνω[k] ὁ αὐτὸς· ἔνθεν ἀπαρέμφατον "ἀκαχυνέμεν·" ἐπὶ δισυλλάβων δὲ, θύνω· δύνω· πλύνω[l]· σεσημείωται παρ' Ἡσιόδῳ, τὸ "εὐθύνεον," ὡς ἐνόεον,

[h] Cod. ασῶ. [i] Cod. μάργαρος. [k] Cod. ἀκαχήνω.
[l] Cod. πλατύνω.

ἢ πλεονασμῷ τοῦ ε, ἢ μεταβολῇ τοῦ νυ· εἰ δέ τι περισπᾶται, προκατάρχον ἔχει ὄνομα, οὗ τὸ τέλος εἰς ω τραπὲν ῥῆμα ποιεῖ· ὀδύνη ὀδυνῶ· τορύνη τορυνῶ· καὶ ἐπεὶ περισπᾶται, συστέλλει τὸ υ· τοῦτο δὲ Ἀττικοὶ καὶ βαρύνουσι καὶ ἐκτείνουσιν, ἐτόρυνε γάρ.

Ἀρνύμενος·

ἀρνύμενος ἥντε ψυχὴν καὶ νόστον ἑταίρων. (Od. A. 5.)

σημαίνει ἡ λέξις τὸ κομίζεσθαι, διὰ τὴν τοῦ ἄρχειν κτῆσιν ἐν βοσκήμασιν εἶναι· Ὅμηρος[m]

μαρναμένους μήλων ἕνεκ' Οἰδιπόδαο.

μεταφορικῶς οὖν ἀρνύμενος, ἀντικαταλάσσων τὴν ψυχὴν τῶν ἑταίρων νόστον· ἵν' ᾖ ὁ σύνδεσμος περιττὸς, καὶ τὸ νόστος ἀντὶ τοῦ νόστου· γίνεται δὲ παρὰ τὸ ἀρνὸς ἀρνῶ, καὶ ἀρνύω, ἄρνυμαι, καὶ

ἀρνύμενος ἥν τε ψυχὴν καὶ νόστον ἑταίρων. (Od. A. 5.)

ἀντὶ τοῦ ἐν ἴσῳ ἁρμόζων καὶ τιθέμενος τὴν ψυχὴν αὐτοῦ εἰς τὸν νόστον τῶν ἑταίρων· ὥστε οὔτε ὁ σύνδεσμος παρέλκεται, οὔτε πτῶσις ἀντὶ πτώσεως.

Ἀοιδός: (Od. Θ. 73.) Παρὰ τὸ ἀείδω· ἔθος δὲ ἔχουσιν οἱ ποιηταὶ παρατιθέναι τὰ ὀνόματα τοῖς ἀφ' ὧν γεγόνασι· "πεπόλισται πόλις· μάχην ἐμάχοντο· βοῦς βουκολέεσκε."

μοῦσ' ἄρ' ἀοιδὸν ἀνῆκεν ἀειδέμεναι κλέα ἀνδρῶν (Od. Θ. 73.)

ἀπὸ τοῦ ἀείδω, ἀοιδή· οὐ γὰρ ἀπὸ τοῦ ἀοιδός· τὸ μὲν γὰρ ἐπιθετικόν· τὸ δὲ ἀοιδὴ ἐπὶ πράγματος· ὥσπερ δὲ πέπονθεν συναλιφὴν τὸ ἀείδω γενόμενον ᾄδω, οὕτω καὶ τὸ ἀοιδὸς ᾠδὸς, καὶ ἀοιδὴ ᾠδή· ὀξύνεται· τὰ εἰς δος καθαρὰ ὑπὲρ δύο συλλαβὰς ἁπλᾶ ἐπιθετικὰ ὄντα ὀξύνεται· ὀπηδός· ἀοιδός· μὴ ὄντα δὲ ἐπιθετικα βαρύνεται· Ἄβυδος· κάταιδος· Ὄροιδος, ποταμὸς οὗ μέμνηται Θουκυδίδης[n].

Ἀνῆκε:

μοῦσ' ἄρ' ἀοιδὸν ἀνῆκε. (Od. Θ. 73.)

[m] Ἡσίοδος. Op. et D. I. 162. [n] Memoria lapsus est grammat. nam non de fluvio sed regulo quodam Paravæorum Epiroticæ gentis agit Thucydides II. c. 80.

τὸ θέμα ἵημι· ἔστι δὲ καὶ φωνὴ ἀόριστος καὶ παρακειμένη· οὐδέποτε δὲ παρακείμενος ἐνεργητικὸς ἀορίστῳ εἰς α λήγοντι συνέπεσεν· εἰ μὴ οὗτος μόνος· ἧκα γὰρ παρακείμενος, καὶ οὐ χρῆν ἡμᾶς λέγειν καὶ ἀόριστος, ἢ ὅτι ὁπόσοι προσθέσει τοῦ μην μέσα ποιοῦσιν, οὗτοι ἀόριστοι πρῶτοι εἰσίν· ἠλειψάμην· ἐτιλάμην· ἐπεὶ οὖν ἐγένετο τι προηκάμην, κατελαβόμεθα ὅτι ἀόριστος ἐστί· ποικίλη γὰρ ἡ φωνή· καὶ γὰρ ἐν πλεονασμῷ τοῦ ε εἥκε·

Ζεύς με πατὴρ προέηκε. (Il. Λ. 201.)

καὶ Ἀττικῶς εἶκα καὶ ἕακα καὶ ἕωκα· κατὰ μὲν οὖν Φιλόξενον, κατ' ἐκβολὴν τοῦ ι καὶ πρόσοδον τοῦ ω, εἶκα ἕωκα· κατὰ δὲ μετροποιΐαν ὡς τὸ "παρῴχηκε" (Il. K. 252.) τεταρτῶς ὡς ἐν τῷ ἄχερδος, παρὰ τὸ χεὶρ χερός· ἔστι δὲ φυτὸν τραχὺ, ὃ μὴ δύναται χερὶ δρεφθῆναι· καὶ ὡς ἐν τῷ ὕω ὕωρ καὶ ὕδωρ, καὶ "ἐχθροδοπῆσαι[o]" (Il. A. 518.) ἦν γὰρ ἐχθροοπῆσαι· οἱονεὶ ἐχρὸς ὃ πᾶς προενέγκατο· ὁ δὲ πλεονασμὸς οὕτω κατὰ μετασχηματισμὸν, καὶ κατὰ ποιητικὴν δὲ ἄδειαν πλεονάζει τὸ δ ὡς ἐν τῷ

εἰωθότες ἔδμεναι ἄδδην. (Il. E. 203.)

καὶ

ἔδδεισεν δ' ὁ γέρων. (Il. A. 33.)

καὶ κατ' ἀναγκαίαν σύνταξιν ὡς ἀνδρός· χονδρός.

Ἀσπάσιος·

ὡς δ' ὅταν ἀσπάσιος γῆ νηχομένοισι φανήῃ. (Od. Ψ. 233.)

τὸ θηλυκὸν ἀσπασίη· ὥστε ἀρσενικὸν ἐστὶν ἐνταῦθα τῷ χαρακτῆρι, ὡς

ἄγριος ἄτη· (Il. T. 88.)
ὀλοώτατος ὀδμή· (Od. Δ. 442.)
ἄμβατος ἐστὶ πόλις· (Il. Z. 434.)
ἁλὸς πολιοῖο. (Il. Υ. 229.)

ὃ ἀντὶ ἐπιῤῥήματος ὄνομα· ἀντὶ τοῦ ἀσπασίως· ὡς ἐπὶ τοῦ

οὐ μὲν[p] καλὸν ἀτέμβειν οὐδὲ δίκαιον. (Od. Υ. 294.)

[o] Cod. ἐχροδοπῆσαι leg. ἐχθοδοπῆσαι cum Hom. libr. [p] Hom. lib. οὐ γάρ.

καὶ

μῆλ' ἁδινὰ σφάζουσιν. (Od. A. 92.)

ἔστι τὶ ῥῆμα ἀσπάζομαι καὶ ἀσπάζω, καὶ ῥηματικὸν ἀσπαστὸς, τὸ οὐδέτερον ἀσπαστὸν

ὡς Ὀδυσῆ' ἀσπαστὸν ἐείσατο γαῖα καὶ ὕλη. (Od. E. 398.)

ὁ μέλλων ἀσπάσω· καὶ γίνεται ἡ διὰ τοῦ σιος παραγωγὴ παρὰ μέλλοντος· διὸ παρασύνθετον αὐτὸ λεκτέον· τὸ γὰρ ἀσπάζομαι σύνθετον· ἔστι γάρ τι σπῶ ῥῆμα, ἀφ' οὗ τὸ σπῶμαι· τούτου παράγωγον σπάζω, ὡς φρῶ φράζω· βῶ βάζω· μετὰ τοῦ ἐπιτατικοῦ α ἀσπάζω καὶ ἀσπάζομαι· σημαίνει δὲ τὸ ἄγαν ἐπισπᾶσθαι, καὶ κυρίως τοῦτο ἐστὶ τὸ δεξιοῦσθαι ἐπισπώμενον τὴν χεῖρα, τὸ ἀσπάζεσθαι· καὶ τοῦτο ἐστὶν ὁ λέγει ὁ ποιητὴς

ἦ ῥα καὶ ἐκ χειρὸς χεῖρα σπάσεν Ἀντινόοιο. (Od. B. 321.)

ἡ δὲ διὰ τοῦ ιο παραγωγὴ παρὰ μέλλοντος τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν· ὀρθώσω Ὀρθώσιος· αἰνήσω Αἰνήσιος· κτήσω κτήσιος· ἄξω ἄξιος· ἀρῶ ἁρμόζω ἄρσω· ἔνθεν καὶ τὸ προστακτικόν.

καὶ πώμασιν ἄρσον ἅπαντας. (Od. B. 353.)

καὶ παρὰ τὸ ἄρσω ἄρσιος, ὁ ἁρμοζόμενος· καὶ ἀνάρσιος ὁ μὴ ἁρμοζόμενος· καὶ ἀρκέσω Ἀρκέσιος, καὶ πλεονασμῷ τοῦ ι Ἀρκείσιος· τὸ δὲ Ἀρτεμίσιος διὰ τοῦ ἰῶτα, ὅτι παρὰ τὸ Ἄρτεμις· καὶ τὸ Σιμοείσιος διὰ τῆς ει διφθόγγου, ἐπεὶ τὸ Σιμόεις ἔχει τὴν ει δίφθογγον· ἄζω, τὸ σέβομαι, ἄσω ἄσιος, καὶ κατὰ ἀντίθεσιν ὅσιος· καὶ θαυμάσω θαυμάσιος· δύο μόνα ὀξύτονα δεξιὸς καὶ ἀνεψιός[q].

Ἀποθύμια: (Il. Ξ. 261.) Παρὰ τὸ θύω, ἀφ' οὗ καὶ θυμός· ὁ μέλλων θύσω, ἐξ οὗ καὶ θύσανος καὶ θύσθλα· συντίθεται τὸ θυμὸς, καὶ κατ' ἀρχὴν καὶ τέλος· κατ' ἀρχὴν μὲν, θυμοδακής· θυμοφθόρος· κατὰ τέλος δὲ, ἐχέθυμος· ὑπέρθυμος· εὔθυμος· καρτερόθυμος· ἀπὸ τοῦ θυμὸς δὲ τὸ ἀπόθυμος, ἀφ' οὗ τὸ ἀποθύμιος καὶ ἀποθύμια· τὸ μι ἰῶτα διατί; τὰ εἰς ος δισύλλαβα ὀξυνόμενα μακρᾶ παραληγόμενα, ὁπότε μὴ ἐπ' οὐσίας ποιοίη, ἢ εἰς ος λήγοντα κτητικὰ, ἀπὸ τέλους ἔχοντα τρίτην ὀξεῖαν, διὰ τοῦ ἰῶτα γράφεται· οἷον λοιγὸς λοίγιος· ῥυθμὸς ῥύθμιος· πρόσκειται

[q] Cf. Etym. M. p. 156, 7. et Gud. p. 84, 37.

μὴ ἐπουσιαστικὰ, διὰ τὸ χάλκειος· χρύσειος· πρόσκειται ὁπότε τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν, διὰ τὸ ἀστεῖος· ἀγρεῖος· ὁπότε γὰρ ἄγριος γίνεται, διὰ τοῦ ἰῶτα γράφεται· τινὲς δὲ οὐχ ὡς τὸ πρόθυμος καὶ εὔθυμος οὕτως ἀπόθυμος, ἀλλ' ὥσπερ πολλαχοῦ, οἱ παλαιοὶ παρὰ δύο λέξεις συνεζευγμένας μίαν παραγωγὴν πεποίηνται· οἷον Νεάπολις Νεαπολίτης· Ἄρειος πάγος Ἀρεοπαγίτης, πρὸ ἔργου προυργιαίτερον· Λεωκόριον· Διόσπολις. παρὰ ποταμὸν Παραποτάμιος· ἐπὶ Ταινάρῳ Ἐπιταινάριος· ἐπὶ γῆς ἐπίγειος· ἐπ' οὐρανοῦ ἐπουράνιος· οὕτως

ἀλλ' ἀπὸ θυμοῦ μᾶλλον ἐμοί. (Il. A. 562.)

μάρεται[r] ἀποθύμιος· οὕτως ἔχει καὶ τὸ σκορακίζειν· ἐς κόρακας, ἐσκορακίζειν, καὶ ἀποβολῇ τῆς ἀρχῆς, σκορακίζειν.

Ἀργαλέος: (Il. A. 589.) Καθόλου ὁ τύπος τῶν τοιούτων ὀνομάτων καὶ παράγωγός ἐστι, καὶ ἀεὶ παροξύνεται· ῥιμφαλέος· δειμαλέος· ὀπταλέος· λευγαλέος· οἰδαλέος· οὐκ ἀντίκειται τὸ δαιδάλεος καὶ

δαιδάλεον θώρηκα. (Il. Θ. 195.)

κτητικὸν γάρ ἐστι, ὑποστολὴν πεπονθὸς τοῦ ἰῶτα· παράγεται δὲ τὰ τοιαῦτα ἀπὸ τρίων μέρων τοῦ λόγου ὡς προείρηται.

Ἀτρεκές:

ἀτρεκὲς αἷμ' ἔσσευα βαλών. (Il. E. 208.)

ἔνιοι[s] ἐπιῤῥηματικῶς ἀντὶ τοῦ ἀληθῶς· οἱ δὲ ἀντὶ τοῦ μόνον

μνηστήρων δ' οὐ γὰρ δεκὰς ἀτρεκὲς, οὐδὲ δυ' οἷαι. (Od. Π. 245.)

ἢ καὶ ὀνοματικῶς ἐστὶ τοῦτο λέγειν σχηματιζόμενον οὕτως· ἔστι γὰρ ἀτρεπτὲς τὸ μὴ τροπὴν ποιῆσαν· ὁμολογουμένως γὰρ οὐδεὶς τῶν τρωθέντων ἐτράπη· εἶτα καὶ κατὰ μεταβολήν· ἀλλ' οὐχ ὑγιὴς ἐπὶ τούτου ὁ μετασχηματισμός· ἔνιοι δὲ πεπλεονακέναι φασὶ τὸ κ· ἵν' ᾖ ἀτρεὲς, τὸ μὴ ποιῆσαν τρέσαι· καὶ ἴσως ἁρμόσει μᾶλλον τοῦτο τῷ ἐπιφερομένῳ· αὐτῷ δὲ μᾶλλον τὸ ἀτρεκὲς, τὸ σημαῖνον τὸ ἀληθές· γίνεται παρὰ τὸ δέρκω, τὸ βλέπω· ῥηματικὸν ὄνομα κατ' ἐπίτασιν τοῦ τ ἀδρακὲς, τὸ λίαν ὑποβλεπόμενον τροπῇ τοῦ δ εἰς τ ἀτρεκές· εἰς πάθος γοῦν ανα-

[r] Sic Cod. an leg. μερίζεται? [s] Cod. mendose ἔιοι.

λύεται, ὥσπερ γὰρ ἐστὶν νεοσπαρὲς τὸ νεωστὶ ἐσπαρμένον, καὶ νεαρδὲς τὸ νεωστὶ ἠρδευμένον, οὕτω καὶ ἀτρεκὲς τὸ λίαν βλεπόμενον.

Ἀνήκεστος: (Il. E. 394.) Ὄνομα ῥηματικὸν παρὰ τὸ ἀλκῶ, τὸ θεραπεύω· τοῦτο παρὰ τὸ ἀκή· καὶ ὡς τελῶ τελεστὴς, οὕτω καὶ ἀκῶ ἀκεστὸς· ἔνθεν ἀκεστή· παρέθηκεν οὖν ὁ ποιητὴς τῷ ῥήματι ὄνομα εἰπών·

ἀλλ' ἀκεώμεθα θᾶσσον· ἀκεσταί τοι φρένες ἐσθλῶν· (Il. N. 115.)

παρὰ τὸ ἀκεστὸς ἀνήκεστος, κατὰ τροπὴν τοῦ α εἰς η, ὡς ἄνεμος ἀνήνεμος· ἀγὸς στρατηγὸς· οὐ δὲ γὰρ παρὰ τὸ ἡγεῖσθαι· ἐπεὶ στραγγὸν ἂν ἐλέγομεν· φορτηγὸς· ἡ δὲ στέρησις προϊοῦσα, πῆ μὲν τὸ ν λαμβάνει, αἰδὴς ἀναιδὴς· αἰσχυνόμενος ἀναίσχυντος· πῆ δὲ μόνως διὰ τοῦ α, οὐ διηνεκῶς γὰρ λαμβάνει τὸ ν. οὐτητὸς ἀνούτητος·

οὐδ' ἄρα οἵ τις ἀνουτητί γε παρέστη· (Il. X. 371.)

ὃ ἀλλαχοῦ χωρὶς τοῦ ν·

ἄλλον ζωὸν ἔχουσα νεούτατον, ἄλλον ἄουτον· (Il. Σ. 536.)

ἔργον ἀεργός·

πολλὰ δ' ἀεργὸς ἀνὴρ· (Il. I. 320.)

ὄκνος ἄοκνος· ὅσαι δὲ τοιαῦται γίνεται τροπαὶ παρὰ τὴν Δωρίδος διάλεκτον, τροπὴ γίνεται τοῦ η εἰς α μακρὸν· οἷον στρατηγὸς· ἀνάνεμον κῦμα· ἀνήκεστος ἀνάκεστος· νήποινος νάποινος· ἐὰν δὲ ὦσιν ἐκ τοῦ ε οὐκ ἔτι· ἔλατος ἱππήλατος· Ἀλκμάν·

λεπτὰ δ' ἀταρπὸς, ἀνηλὴς δ' ἀνάγκη·

ἐκ γὰρ τοῦ ἐλεεινή· ἠρχόμην οὖν ἐροῦσι δῶρα[t] ἐπεὶ ἀπὸ τοῦ ἔρχομαι· ἀπὸ δὲ τοῦ ἄρχομαι ἀρχόμαν.

Ἄελλα: (Il. B. 393.) Ὄνομα προσηγορικὸν τῷ εἴδει ῥηματικὸν, παρὰ τὸ ἄω τὸ πνέω· τὰ διὰ δύο λλ ὀνόματα παραλήξεις ἔχει τῶν φωνηέντων χωρὶς τοῦ η καὶ ω· ὤμαλλος[u]· παύταλλα ἡ σφαῖρα· τὸ ε δίκελλα· θύελλα· τὸ[v] ι Πράξιλλα· Τελέσιλλα· τὸ ο κόλλα· τὸ υ Σκύλλα· ψύλλα· Ἄνθυλλα· τὸ ω καὶ τὸ η παρῃτήσατο ἐπεὶ μακρὰ ἐστί· παρῃτήσατο δὲ ἡ

[t] Leg. vid. Δωριεῖς. [u] Leg. cred. τὸ α μαλλός. [v] Cod. τῷ.

διὰ δύο λλ συλλαβὴ τὰ φύσει μακρὰ, ὑπὲρ τοῦ μὴ μακρὰ ἐπὶ μακροῖς γενέσθαι.

Ἄσιος:

Ἄσιος Ὑρτακίδης. (Il. B. 837.)

παρὰ τὸ αἶσα· αἴσιος καὶ ἄσιος· ἐκβολῇ τοῦ ι, ὡς αἰετός· αἰεὶ ἀεί· κατὰ πάθος οὖν τοῦ ἰῶτα ἐξέστη· ταύτῃ οὖν καὶ οὕτως ἀναγνωστέον·

ἀλλά με ἶσον ἴσθα γενέσιν ἐτίμα. (Od. Ξ. 203.)

παρέφθαρται δὲ τὰ ἀντίγραφα τὰ ἔχοντα "ἰθαιγενέεσσιν" ὁμοίως τῷ κυρίῳ σὺν τῷ ἰῶτα Ἰθαιμένης·

Ἰθαιμένεος[x] φίλον υἱόν. (Il. Π. 586.)

ὡς γὰρ παρὰ τὸ μιαίνω μιαιφόνος, οὕτως παρὰ τὸ ἰθαίνω, ἔνθεν τὸ

ἴθαινε θυμὸν.

"ἰθαγενέεσσιν[y]." ἢ παρὰ τὸ αἴσω μέλλοντα αἴσιος, καὶ οὕτως ἐξέστη τὸ ἰῶτα· γίνεται γὰρ παρὰ τὰ μέλλοντα ὀνόματα. Ὀρθώσιος· Αἰνήσιος· κτήσιος[z]· ψιλοῦται· τὸ α πρὸ τοῦ σ ὑπὲρ μίαν συλλαβὴν ψιλοῦσθαι θέλει· Ἀσία· ἀσπάραγος· ἀσφαλής· ἄσμενος· ἀσπάσιος.

Ἀλαστήσας: (Il. M. 163.) Χρόνου ἀορίστου πρώτου· τὸ ῥῆμα ἀλαστῶ ἀλαστεῖς, ὡς ἀπιστῶ ἀπιστεῖς·

ἠλάστεον δὲ θεοὶ κατὰ μακρὸν Ὄλυμπον (Il. O. 21.)

τὸ ἀλαστῶ παρὰ ἀλαστὸς ὄνομα.

Ἕκτωρ μή μοι ἄλαστε (Il. X. 262.)
πένθος ἄλαστον ἔχουσα· (Il. Ω. 105.)
νῦν αὖ παιδὸς ἄλαστον ὀδύρομαι· (Od. Ξ. 174.)

τὸ ἄλαστος παρὰ τὸ ἀλῶ τὸ πλανῶ· κατὰ παραγωγὴν ἀλάζω, ὡς ἀνιῶ ἀνιάζω· σκεδῶ σκεδάζω· καὶ ὡς σκευάζω σκευαστός· χλευάζω χλευαστὸς· οὕτως ἀλάζω ἄλαστος· ἀλλὰ πῶς προπαροξύτονον ἀναγινώσκομεν

Ἕκτωρ μή μοι ἄλαστε; (Il. X. 262.)

καὶ μήπως ὡς ἄμητος καὶ ἀμητός· καὶ φασὶ τινὲς κατὰ συστολὴν

[x] Cod. ἰθαιμένιος. [y] ἰθεγενέεσσιν. [z] Cod. τήσιος.

πένθος ἄλαστον·

παρὰ τὸ λήθω ἄλητος, ἐπὶ τῶν κακῶν μεμνήμεθα ἀεί· διὰ τοῦτο γὰρ καὶ μέρμηρα εἴρηται· ἡ δὲ συστολὴ ὡς ἐν τῷ λελασμένος, καὶ κατὰ τοῦτο βαρεῖα ἡ τάσις· ὀξυτόνως δὲ ἀλαστὸν τὸ χαλεπὸν, ὃ οὐκ ἂν θέλει τις λάβειν· ἵν' ᾖ παρὰ τὸ λάζω, τὸ λαμβάνω

καὶ ἡνία λάζετο χερσὶν, (Il. E. 365.)

ἐκ τοῦ ἐναντίου οὖν ἀπὸ τοῦ ἐθέλειν λαβεῖν· τὸ ἀγαῖον[a]· ἐθελὸν καὶ ἐσθλόν· παρὰ τὸ ἄλαστος οὖν ἀλαστῶ, ὡς ἄπιστος ἀπιστῶ· παρὰ δὲ τὸ ἀλαστῶ ῥῆμα, ἀλάστωρ ὁ Ζεὺς, ἐπὶ τῶν χαλεπῶν τι πρασσόντων· παρηκτικὴ δὲ ἡ εὐθεῖα παρὰ τὴν ἀλάστορος γενικήν· Αἰσχύλος Ἰξίονι[b]·

πρευμενὴς ἀλάστορος·

καὶ Φερεκύδης·

ὁ Ζεὺς δὲ Ἱκέσιος καὶ Ἀλάστορος καλεῖται.

Ἁρμόττω: Τὸ ἁρμόττω καὶ σφάττω καὶ τὰ ὅμοια οὐκ ἀπὸ τῶν παρ' ἡμῖν διὰ τοῦ ζ λεγομένων εἰσὶν, ἀλλ' ἀπὸ τῶν δύο σσ λεγομένων παρὰ Ταραντίνοις· οἱ γὰρ Ταραντῖνοι τὰ εἰς ζω λήγοντα ῥήματα βαρύτονα διὰ τῶν δύο σσ λέγουσι· οἷον, σαλπίσσω· λακτίσσω· φράσσω· ἀφ' οὗ ἡ Κόριννα Βοιωτικῶς "φράττω" λέγει ἀντὶ τοῦ φράσσω· πάλιν δὲ τὰ παρ' ἡμῖν λεγόμενα διὰ δύο σσ· παρ' αὐτοῖς ἔμπαλιν διὰ τοῦ ζ ἐκφέρεται· οἷον· πλάσσω πλάζω· καὶ τὸ ἀνάσσω ἀνάζω· καὶ παρ' Ὁμήρῳ ἡ διάλεκτος κεῖται· τὸ οὖν νίπτω παρ' Αἰολεῦσι νίσσω λεγόμενον, μεταπεσόντος τοῦ πτ εἰς δύο σσ, ὡς πίπτω πίσσω· πέπτω πέσσω· μεταθέσει τῶν δύο σσ εἰς ζ, παρὰ Ταραντίνοις λέγεται νίζω,

νίζ' ὕδατι λιαρῷ. (Il. Λ. 829.)

Ἄνευ: (Il. N. 556.) Χωρισμοῦ σημαντικόν· συντάσσεται δὲ γενικῇ

αἴκεν ἄνευ ἐμέθεν· (Il. O. 213.)

[a] Leg. ἀγαθόν. [b] Anecd. Bekker, p. 382. Ἀλάστορον· ἀντὶ τοῦ ἀλάστορα, ἀπὸ τῆς εὐθείας ὁ ἀλάστορος· Αἰσχύλος μέγαν ἀλάστορον εἶπεν.

ἐπεκτείνεται δὲ εἰς θε καὶ[c] εἰς θεν· αἱ δὲ εἰς ευ λήγουσαι λέξεις, βαρυνόμεναι μὲν ἄπτωτοί εἰσι, περισπώμεναι δὲ, πτωτικαί· Ἀχιλλεῦ· Πηλεῦ· βασιλεῦ· ἐλέλευ· ἐφέρευ. ἐπεὶ δὲ καὶ τὸ ἄνευ ἄπτωτον, βαρυτονεῖται[d].

Ἀπινύσσειν:

δοκέεις δέ μοι οὐκ ἀπινύσσειν (Od. Ε. 342.)

ἔστι ῥῆμα πνύω, καὶ πνέω, καὶ πνεύω· ἀπὸ τοῦ πνύω, τὸ πέπνυμαι, καὶ πεπνυμένος, καὶ

ὁ δ' ἀμπνύνθη[e] καὶ ἐσέδρακεν (Il. Ξ. 437.)

παρὰ τὸ πνεύω δὲ, πνευστὸς καὶ ἄπνευστος, καὶ ἄπνευσις, καὶ ἀνάπνευσις

ὀλίγη δέ τ' ἀνάπνευσις· (Il. Λ. 800.)

τὸ πνύω κατ' ἀνάπτυξιν γίνεται πινύω, ἔνθεν τὸ πινυτὴ

εἶδος καὶ πινυτήν. (Od. Υ. 71.)

καὶ κατὰ μεταπλασμὸν πινυτὰ, καὶ κατὰ συγκοπὴν πνυτά· ὥσπερ δὲ ἀπὸ τοῦ ἀφύω ἀφύσσω· ὀδύω ὀδύσσω· οὕτως πινύω πινύσσω

ἤδη γάρ με καὶ ἄλλοτε ἣ ἐπίνυσσεν ἐφετμῇ. (Il. Ξ. 249.)

καὶ ἐξ αὐτοῦ ἀπινύσσω.

Ἄψεα: (Od. Δ. 794.) Σημαίνει τὰ μέλη· ἡ εὐθεῖα ἄψος· γίνεται γὰρ ἀπὸ μελλόντων ὀνόματα οὐδέτερα. ὡς παρὰ τὸ ἄψω ἄψος·

λῦθεν δέ οἱ ἄψεα πάντα· (Od. Δ. 794.)

πίσω

πίσεα ποιήεντα, (Il. Υ. 9.)

καὶ παρὰ τὸ ὄψομαι ἐξέπιπτε ῥηματικὸν ὄψος· καὶ κατὰ μεταβολὴν τοῦ ο εἰς τὸ υ ὕψος· ἔνθεν ἔστιν ἰδεῖν πάντα· τὸ δὲ υ πρὸ τοῦ διπλοῦ οὐδέποτε εὑρίσκεται, εἰ μὴ μόνον ἐν τῷ ὕψος· ἔνθα οἱ Αἰολεῖς ἀναλογώτεροί εἰσιν ἴψος λέγοντες καὶ

κατ' ἰψηλῶν ὀρέων

ἀποσώζοντες καὶ τὸ ἴδιον τοῦ πνεύματος· γίνεται δὲ καὶ τὸ ο μεταβολῇ εἰς τὸ υ, ὡς ἐν τῷ

[c] Deest καὶ in Cod. [d] Cod. βαρυτονυθήται. [e] Cod. απανυ. [μ θή]

κειμένω ἐν νεκύων ἀγύρει. (Il. Π. 661.)

καὶ

μεθ' ὁμήγυριν ἄλλων. (Il. Υ. 142.)

ἀγορὰ γὰρ ἦν καὶ ἄγυρις, καὶ παρὰ τοῖς Αἰολεῦσι εὑρίσκομεν τὸ μόγις, μύγις· τότε, τύτε[f]

ἐπασσύτεραι Δαναῶν κίνυντο φάλαγγες, (Il. Δ. 427.)

ἐπασσότεραι[g] γὰρ ὤφειλεν εἶναι· τὸ γὰρ ἁπλοῦν ἀσσότερος· τὸ γοῦν ὀφειλόμενον τῷ σχήματι ἀπέδωκεν ὁ Κυρηναῖος, εἰπὼν,

ἀσσοτέρω καθίσασα παρὰ πυρί. (Od. Ρ. 572.)

Ἀγαμέμνων : (Il. Α. 94.) Ὄνομα κύριον ἀρσενικὸν σύνθετον, πτώσεως αἰτιατικῆς· σύγκειται ἐκ τοῦ ἄγαν καὶ τοῦ μένω ῥήματος· τὸ δὲ ἄγαν συντιθέμενον καθόλου συστέλλει τὸ δεύτερον α καὶ μόνην τὴν νυ ποιεῖται, καὶ τροπῇ καὶ ἀποβολῇ· μόνην μὲν οὖν ποιεῖ ἐν τῷ ἀγάννιφος· τροπὴν δὲ τοῦ νυ εἰς ρ ἐν τῷ ἀγάῤῥοος· ἀποβολῇ δὲ ὡς ἐν τῷ ἀγακλυτός· ἀγασθενής· ἔσθ' ὅτε δὲ καὶ κατ' ἀρχὴν τρέπει εἰς τὸ η, ὡς ἐν τῷ

κατ' ἠγάθεον Νυσσήϊον. (Il. Ζ. 133.)

τοῦτο δὲ οὐκ ἴδιον τοῦ σχηματισμοῦ, ἀλλὰ πάθος ποιητικὸν, τὰ δὲ εἰς ων λήγοντα, ἔχοντα ἐπιπλόκην δύο συμφώνων, μὴ ὄντα παρώνυμα, ἐπὶ γενικῆς διὰ τοῦ ο κλίνεται· οἷον, ἴδμων ἴδμονος· τέκτων τέκτονος· φράδμων φράδμονος· ἄκμων ἄκμονος· Μέμνων Μέμνονος· τὰ δὲ παρώνυμα ἐφυλαξάμην διὰ τὸ Μέρμνων ὄνομα παρὰ Θεοκρίτῳ[h]· παρὰ γὰρ τὸ μέρμνης[i].

Ἄγον : Τοῦτο συμπίπτει καὶ ἐν παρατατικῷ κατὰ πληθυντικὸν ἀριθμὸν, καὶ κατὰ δεύτερον ἀόριστον· τοῦ ἄγω γὰρ ῥήματος ὁ παρατατικὸς ἦγον· ἀλλὰ καὶ ὁ δεύτερος ἀόριστος ἦγον, καὶ ποιητικῶς γίνεται ἄγον· ἡνίκα δὲ γένηται διπλασιασμὸς ἐπὶ τοῦ ῥήματος τούτου, τηνικαῦτα ἡ διαστολὴ γίνεται, τοῦτε παρατατικοῦ, καὶ τοῦ δευτέρου ἀορίστου· οἷον, εἰ τὸ ἄγω γένοιτο κατὰ διπλασιασμὸν ἀγάγω καὶ ἤγαγον, τὸ τοιοῦτον μόνον ἐπὶ δευτέρου ἀορίστου, οὐκέτι δὲ καὶ παρατατικοῦ, τῷ τὸν τοι-

[f] MS. τότε. [g] MS. ἐπεσσοτεραι. [h] Id. III. 35. [i] Hæc plen. quam in Etym. M. p. 5, 44.

οὗτον διπλασιασμὸν μὴ γίνεσθαι ἐπὶ παρατατικοῦ, ἀλλ' ἐπὶ μόνου τοῦ δευτέρου ἀορίστου, ἔνθα καὶ κατὰ τὸν μέσον

ἠγαγόμην δὲ γυναῖκα (Od. Ξ. 211.)

καὶ δῆλον ἐκ τούτου τοῦ ἐνεστῶτος καὶ παρατατικοῦ ἡ μετοχὴ κατὰ βαρεῖαν τάσιν· λέγω ἔλεγον λέγων· τρέχω ἔτρεχον τρέχων· τύπτω ἔτυπτον τύπτων· τοῦ δὲ δευτέρου ἀορίστου ὀξύνεται ἡ μετοχή· οἷον, ἔφαγον φαγών· ἔπιον πιών· ἔδραμον δραμών. καὶ ἀπὸ τοῦ ἦγον οὖν γίνεται μετοχὴ ὀξυτόνως ἀγών· καὶ κατὰ ἀναδιπλασιασμὸν ἀγαγών· εἰ οὖν ἅμα τῷ διπλασιασμῷ μένει ὁ αὐτὸς τόνος ὀξὺς, δῆλον ὡς ἐν δευτέρῳ ἀορίστῳ μόνως γίνεται.

Ἄϊδι: (Il. A. 3.) Παραιτοῦνται τὴν ἄϊς εὐθεῖαν· *καὶ μᾶλλον κατὰ μεταπλασμὸν λέγουσι, ὡς παρὰ τὸ κλάδῳ δοτικῇ κλαδὶ εἶπεν Ἀριστοφάνης ἐν Λυσιστράτῃ*[g]

ἐν μύρτου[h] κλαδὶ τὸ ξίφος φορήσω·

καὶ τῇ κλαγγῇ δοτικῇ εἶπεν ὁ Ἴβυκος[i] "*κλαγγί,*" *καὶ τῇ ἀλκῇ Ὅμηρος,*

ἀλκὶ πεποιθώς· (Il. E. 299.)

καὶ τῇ ὑσμίνῃ,

μεμάσαν καὶ ὡς ὑσμίνι μάχεσθαι. (Il. Θ. 56.)

οὕτω καὶ παρὰ τὸ ἴδω, ἴδης· τὰ γὰρ ῥηματικὰ κατ' ἐκβολὴν τοῦ ε λέγεται· ἴδρις· ἵστωρ· οὕτως καὶ ἴδω ἴδης, καὶ μετὰ τοῦ στερητικοῦ α ἀΐδης, ὁ ἀγνώτους ποιῶν· βαρυτόνως δὲ τὸ ἀΐδης· τὸ γὰρ ἐπιθετικὸν ὀξύνεται·

δυσμένεων δ' ἀϊδής

λέγει Βακχυλίδης· *οὗ τὸ οὐδέτερον ἀϊδές·*

τοῦ δὲ τάφον καὶ σῆμ' ἀϊδὲς ποίησεν·

Ἡσίοδος (Sc. 477.) *ἀΐδης οὖν ἀΐδου· καὶ ἡ δοτικὴ ἀΐδῃ, καὶ κατὰ μεταπλασμὸν ἄϊδι, παρὰ τὸ ἀΐδης δὲ ἀϊδών· ἐξ οὗ καὶ τὸ Ἀϊδωνεύς· ἔστι γὰρ ἀϊδὼν ἀϊδῶνος, καὶ παρωνύμως Ἀϊδωνεύς.*

Ἀγαθόν:

οὐκ ἀγαθὸν πολυκοιρανίη. (Il. B. 204.)

πτώσεως νῦν εὐθείας, ἔξωθεν δὲ προσυπακουστέον τὸ πρᾶγμα· ἐπεὶ ἔσται σολοικισμός· ἔσται οὖν

[g] v. 632. [h] MS. μυντου. [i] Cod. ἴβικος.

οὐκ ἀγαθὸν πολυκοιρανίη

πρᾶγμα ὃς ἄν τις καὶ εἰς ἀπαρέμφατον αὐτὸ μεταλάβοι· οὐκ ἀγαθὸν πολυκοιρανεῖν· σύνθετον δὲ ἐστὶν ἀπὸ τοῦ ἄγαν θέειν ἐπ' αὐτόν· οἱ δὲ παρὰ τὸ ἀγῶ ἀγᾷς ἀγᾷ· οὗ παράγωγον ἀγάζω, ὡς λιάζω, λιαστὸς καὶ ἀλιάστος· ὀνομάζω ὀνομαστὸς, καὶ ἀγάζω ἀγαστός· μεμελέτηκε δὲ τὸ τ εἰς θ τρέπεσθαι, μετὰ τοῦ καὶ τὸ σ ἐξίστασθαι· κρεμάστρα κρεμάθρα, οὕτως ἀγαστὸς ἀγαθός.

Ἀμφί ἕ:

ἀμφί ἑ γινώσκων ἑτάρους. (Il. O. 241.)

ἀμφὶ πρόθεσις συντασσομένη ταῖς τρισὶ πλαγίαις οὐκ ἀναστρεφομένη· τρεῖς δὲ εἰσὶν αἱ μὴ ἀναστρεφόμεναι· ἀντί· ἀμφί· διά· ἡ μὲν διὰ πρὸς ἀντέμφασιν αἰτιατικῆς τῆς Δία· ἡ δὲ ἀμφὶ, καὶ ἀντὶ, ἔτι τριχρονοῦσιν· οὐδεμία δὲ πρόθεσις τριχρονοῦσα ἀναστρέφεται· ἔνθα ἡ μὲν ἔνι ἀναστρέφεται, γενομένη δὲ εἰνὶ οὐκ ἀναστρέφεται τὸ τριχρονεῖν· ἰσοδυναμοῦσα τῇ περί· διαφέρουσι δὲ ἀλλήλων· πῇ δὲ ἡ μὲν περὶ ἀποκοπὴν ὑπομείνασα γίνεται περ· ἡ δὲ ἀμφὶ οὐκ ἔτι· ἡ περὶ πλεονάζει τὸ ἰῶτα γινομένη πειρί· ἐπεὶ δὲ συνώνυμοι εἰσὶ, καὶ παράλληλοι λαμβάνονται

ἀμφὶ περὶ κρήνην· (Il. B. 305.)
ἀμφὶ περὶ μεγάλ' ἴαχον· (Il. Φ. 10.)

σημειώδης ἡ ἀμφὶ, ὅτι μόνη ἔχει δασὺ σύμφωνον· διόπερ Αἰολεῖς ἀμπὶ λέγουσι διὰ τοῦ ψιλοῦ, τὸ ὀφειλόμενον πνεῦμα ἀποδιδόντες· εὕρηται δὲ καὶ ἐν συνθέσει τὸ πι ἔχουσα παρὰ Ἀττικοῖς· ἀμπεχόνη, ἀμπίσχουσα·

ἀμέλει τάδί μοι πρῶτ' ἀμπίσχου λαβών.

ἀπὸ τῆς ἀμφὶ προθέσεως τὸ ἀμφὶς ἐπίῤῥημα ταύτης παραλαμβάνεται

οἵ περ νέρτεροί εἰσι θεοὶ Κρόνον ἀμφὶς ἐόντες. (Il. O. 225.)

οὐδεμία γὰρ πρόθεσις πλεονάζει τὸ σ, τὸ δὲ ἑ· οἷον, ἀμφί ἕ· ἀντωνυμία νῦν ἀρσενικὴ ὠθοτονουμένη[k] νῦν μεταλαμβανομένη εἰς σύνθετον· Ἀπολλόδωρος δὲ ψιλοῖ τὸ ἑ· ἀλλ' οὐδέποτε πλεο-

[k] Sic.

νάζει πρόθεσις τὸ ε, εἰ γὰρ γένηται πλεονασμὸς τρισύλλαβος ἀποτελεῖται πρόθεσις, ὅπέρ ἐστιν ἀνέφικτον, ὡς δῆλον ἐκ τούτου· ἡ ὑπὲρ ἂν προσλάβοι ἔξωθεν τὸ ἰῶτα, τρισύλλαβος εἴη· διὰ τοῦτο ἔνδοθεν αὐτὸ πλεονάζει

ὕπειρ ἅλα. (Il. Ψ. 227.)

ἵνα δὲ οὕτω μείνῃ δισύλλαβος.

Ἀτάρ: (Il. A. 166) Σύνδεσμος πλεονεκτικός· ἰσοδυναμῶν τῷ ἀλλὰ, καὶ τῷ δέ· καὶ τοῦ μὲν δὲ τάξει διαφέρει· ὁ γὰρ δε ὑποτάσσεται· ὁ δὲ ἀλλὰ καὶ ἀτὰρ προτάσσονται, οὐχ ὑποτάσσονται· πρότερος οὖν ὁ ἀτάρ· δεύτερος ὁ αὐτὰρ, πολύς· ὁ δὲ πλέον κοινὸς, οὐκ Αἰολικός· ὡς ὁδὸς, οὐδός·

ἐπειή φατ' ἀρισφαλέ' ἔμμεναι οὐδόν. (Od. P. 196.)

καὶ Ὄλυμπος, Οὔλυμπος· καὶ

ἀρτὸν οὖλον ἑλὼν, (Od. P. 343.)

ἦν γὰρ ὅλον· νόσος νοῦσος· Τυραννίων δὲ ἄταρ ἀναγινώσκει ἐπεὶ οὐδὲν εἰς ρ λῆγον ὑπὲρ μίας συλλαβῆς βραχυκατάληκτον ὀξύνεται· στέαρ· θέναρ· κέαρ· φρέαρ· νέκταρ· ταῦτα· τὸ πατὴρ ὅτε συστέλλεται ἐπὶ τελοῦς βαρύνεται· πάτερ, ὁμοίως ἀνὴρ ἄνερ· δαὴρ, δάερ· ἀντέπιπτε μὲν ἡ ὑπὲρ πρόθεσις, εἰ μὴ κατώρθωτο τὸ πᾶσαν ὀξύνεσθαι πρόθεσιν.

Ἆσθμα καὶ Ἴσθμα: (Il. E. 778.) Πλεονάζει τὸ θ. ὡς γὰρ ἀπὸ τοῦ τίθημι θέμα· δίδωμι δόμα· οὕτως ἀπὸ τοῦ εἶμι, τὸ πορεύομαι, ἴμα καὶ ἴθμα· ἵνα γὰρ μὴ τῇ φωνῇ οὐ γὰρ καὶ τῇ γραφῇ συνεμπέσῃ τὸ εἷμα, ὅπερ δηλοῖ τὸ ἱμάτιον, γέγονεν ὁ τοῦ θ πλεονασμός.

Ἀπό: Τρεῖς εἰσὶ προθέσεις κατὰ πρόθεσιν τοῦ θεν γινόμεναι ἢ[l] ἔνθεν· ὑπὲρ ὕπερθεν· πρὸ πρόσθεν· ὅσαι δὲ ἔχουσι τὸ ω γινόμεναι ἄνω κάτω, κατὰ παραγωγὴν τοῦτο ποιοῦσιν· ἄνωθεν· κάτωθεν· ἀναστρέφεται δὲ ἡ ἀπὸ σημαίνουσα τὸ ἄποθεν, εἰ μὴ γενικὴ ἐπιφέροιτο· ἐν γὰρ τῷ

πολλὸν ἄπο πλυνοί εἰσι πόληος[m]. (Od. Z. 40.)

ἀναστρέφει· ἐν δὲ τῷ

[l] Leg. ἡ ἐν. [m] Cod. πότμος.

οὐκ ἐθέλεσκε μάχην ἀπὸ τείχεος ὀρνύμεν' Ἕκτωρ. (Il. I. 353.)

οὐκ ἀναστρέφει· καὶ ἐν τῷ

οὔτι κατακτείνει

πλεονάζει

δ' ἀπὸ πατρίδος αἴης.

αἱ δὲ ὑπὲρ μίαν συλλαβὴν προθέσεις εἰς φωνῆεν λήγουσαι δίχρονον ὑπεσταλμένης τῆς ἀπὸ καὶ ὑπό· ἀναλογώτεροι ἄρα οἱ Αἰολεῖς τὴν ὑπὸ ὑπὰ λέγοντες, τὴν δὲ ἀπὸ ἀπὺ, ἴσως ἵνα τὸ υ ληκτικὸν γένηται τῆς προθέσεως ὡς τὸ α καὶ ἰῶτα.

Ἀλλά: (Il. A. 25.) Σύνδεσμος συμπλεκτικὸς ἰσοδυναμῶν τῷ[n] αὐτὰρ καὶ τῷ δέ. διαφέρει δὲ τοῦ μὲν ἀτὰρ, ὅτι τὸν μὲν ἀλλὰ ἡ συνήθεια ἐπίσταται· ὁ δὲ δὲ ὑποτάσσεται· τινὲς δὲ λέγουσιν αὐτὸν ἀντιωματικὸν[o] εἶναι· οἷον εἴτις τοιαύτῃ συντάξει χρήσαιτο· "οὐ γράφω, ἀλλὰ ἀναγινώσκω·" καὶ "μὴ ἀναγίνωσκε, ἀλλὰ γράφε·" ἀλλὰ τὸ τοιοῦτον οὐκ ἐστὶν ἐναντιωματικὸν, ἀλλὰ μεταβατικὸν τῆς προτάσεως.

Ἄειδε: (Il. A. 1.) Προκατάρχον ῥῆμα ἀείδω, ὅπερ ἐκ τοῦ εἴδω κατ' ἐπέκτασιν τοῦ α, ὡς τὸ ἀχανὲς πέλαγος, τὸ πολλὰ εἰδέναι· τοῦ εἴδω διάφορα σημαίνοντος· τὸ γινώσκω· τὸ ὁμοιῶ· τὸ ὁρῶ· καὶ περισπώμενον, εἰδῶ, ἐξ οὗ τὸ εἰδήσω, καὶ εἰδήμων[p], καὶ εἴδημα[q] Αἰολικῶς· τὸ δεύτερον οἴδης, ἐπεκτάσει οἴδησθα[r], καὶ συγκοπῇ οἶσθα· καὶ ἕτερον ἤδω διὰ τοῦ η, τὸ ἀρέσκω, ἐξ οὗ τὸ

ἅδε δ' Ἕκτορι[s]. (Il. M. 80.)

καὶ

ἅδος τέ μιν ἵκετο θυμον. (Il. Λ. 88.)

καὶ ἡδονὴ, καὶ τὰ παραπλήσια· τὸ δὲ ἐπὶ τοῦ γινώσκω κατὰ μέσον παρακείμενον, εἶδα κοινῶς· Αἰολικῶς, οἶδα· Ἀττικῶς ᾔδα, καὶ ᾔδειν, ὅπερ Ἰωνικῶς ᾔδεα

εἰ γὰρ ἐγὼ τάδε ᾔδεα ἐνὶ φρεσὶ. (Il. Θ. 366.)

καὶ Ἀττικῶς ᾔδη διὰ τοῦ η καὶ τὸ τέλος ᾔδεες Ἰωνικῶς· τοῦτο δὲ τὴν ει δίφθογγον πλεονάσασαν ἐποίησεν

[n] Cod. τὸ. [o] Sic Cod. [p] Cod. ἠδήμων. [q] Cod. ἤδημα. [r] Cod. ἤδησθα. [s] Cod. δ' ἕκτωρ.

ἐκ Διὸς ᾐείδειν τὸν ἐμὸν μόρον. (Il. X. 280.)

τὸ τρίτον ᾔδεε, καὶ ᾔδη Ἀττικῶς·

ὃς ᾔδη τά τ' ἐόντα. (Il. A. 70.)

ἐκ τοῦ εἴδω ῥήματος ὁ μέλλων εἴσω, ἐξ οὗ τὸ ἴσας, ὃ σημαίνει τὸν ἔμπειρον, καὶ νῆις, ἄπειρος· καὶ ἰσῶ ῥῆμα, ἐξ οὗ τὸ ἴσημι, ὁ παρακλινόμενον πεποίηκε τὸ ἴσαμεν, καὶ ἴσασιν· ἡ δὲ μετοχὴ ἴσας, ὡς βρίσας· κτίσας· καὶ τὸ προστακτικὸν ἴσαθι, τὸ γίνωσκε, καὶ τούτου τὸ ἵστωρ, καὶ ἱστορῶ· εἴδω οὖν καὶ ἀείδω· τὸ ἀπαρέμφατον Δωρικὸν ἀείδην, καὶ ἀείδεν· τούτοις ἔθος εἰς εν ποιεῖν· τὸ δὲ ἀειδέμεναι, οὐ Δώριον ἀλλὰ ποιητικόν· ὅθεν Δωρικὸν μὲν τὸ ἔμεν ἀπὸ τοῦ εἰμί· ποιητικῶς δὲ τὸ ἔμεναι, καὶ ἔμμεναι· ἑτέρου μ πλεονάσαντος· ὁμοίως τιθήμεναι· στήμεναι· πανθήμεναι· οὐτήμεναι· εὑρέμεναι· δύμεναι, οὐ Δώρια, ἀλλὰ ποιητικά· ἐκ τοῦ ἀείδω Δωρικοῦ γίνεται τὸ ἀηδὼν διὰ τοῦ η· ἀντιπαράκειται αὐτῷ ὄνομα ἀοιδός· ὃ κράσιν παθὸν γέγονεν ᾠδός, καὶ ᾠδή· ἀπὸ τοῦ ἀοιδὸς παράγωγον ῥῆμα ἀοιδῶ· εἶτα, ὡς τὸ κνήθω κνηθιῶ· ἀτῶ ἀτιῶ· μείδω μειδιῶ· οὕτως ἀοιδῶ ἀοιδιῶ· Ὅμηρος·

ἡ δ' ἔνδον ἀοιδιάουσ' ὀπὶ καλῇ. (Od. E. 61.)

καὶ

καλὸν ἀοιδιάει (Od. K. 227.)

ἐκ τοῦ ἀοιδῶ παράγωγον ἄλλο ἀοίδιμος· τὸ ἀείδω κατὰ συναλιφὴν γέγονεν ᾄδω, κράσεως γενομένης τοῦ αε εἰς α μακρόν· βαρύνεται· ὅτι τὰ εἰς δω ὑπὲρ δύο συλλαβὰς ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς φωνῆεν λήγουσαν, περισπᾶται, εἰ μὴ τύχοι ἡ ει δίφθογγος· ὀπηδῶ· ἀοιδῶ· ληρῳδῶ· τραγῳδῶ· ὁμαδῶ, ἀφ' οὗ τὸ "ὁμάδησαν" ἐκ τοῦ ὅμαδος· τοῦτο δὲ παρὰ τὸ ὁμοῦ αὐδᾶν, ὁμόαυδος τὶς ὤν, καὶ κελαδῶ· ἐξέφυγεν ἄρα τὸ ἀείδω καὶ ἐρείδω· ἄλλως· τὰ εἰς δω ὑπὲρ δύο συλλαβὰς περισπώμενα, ὀνόματα ἔχει προκατάρχοντα· ὅμαδος ὁμαδῶ· κέλαδος κελαδῶ· τὸ ἀείδω καὶ ἐρείδω οὐκ ἔχει[t].

ΑἸΔΕΪ́ΣΘ' ἹΕΡΗ͂Α: (Il. A. 23.) Πρώτης συζυγίας τῶν περισπωμένων· ἐνταῦθα ἀπαρέμφατον ἀντὶ προστακτικοῦ. εἰώθασι

t Hæc pleniora multo et correctiora quam in Etymol. M. et Gud.

γὰρ οἱ ποιηταὶ ἀπαρεμφάτῳ χρῆσθαι ἀντὶ προστακτικοῦ· τὸ θέμα αἰδῶ αἰδήσω, ἐξ οὗ καὶ αἰδήμων· τοῦτο παρὰ τὸ αἰδώς, τοῦτο παρὰ τὸ εἴδω[u], τὸ βλέπω· μετὰ τοῦ στερητικοῦ ἀϊδώς· οἱ γὰρ ἐντρεπόμενοι συστέλλουσι τὰ ὄμματα.

Ἄλλος: (Il. A. 186.) Τὸ ἄλλος εἴδους τῶν ὑποπεπτωκότων ἐπιμεριζομένου τετραχῶς, καὶ ἐπιμερίζονται τὰ ἐπιμεριζόμενα· εἷς ἐκ δύο, ὡς ἕτερος· δύο καθ' ἕνα, ὡς ἑκάτερος· εἷς ἐκ πολλῶν, ὡς ἄλλοι· πολλοὶ καθ' ἕνα, ὡς ἕκαστος· γέγονε δὲ ἄλλος ἐκ τοῦ ἄλαλος, ὁ γὰρ παρὼν ἄλαλος[v] ὥσπερ ἡμῖν δοκεῖ· ἀπουσίας γὰρ δηλωτικὸν τὸ ἄλλος ἐστίν· πρὸς δὲ τὸν ἄποντα οὐ λέγομεν· βαρύνεται· τὰ εἰς λος λήγοντα τριγενῆ δισύλλαβα προσηγορικά, ἑτέρου λ ἐπαγομένου, ὀξύνεται· οἷον, κυλλός· μαλλός· φελλός· ψελλός· σεσημείωται τὸ ἄλλος καὶ Γάλλος· τὸ μὲν Γάλλος ἔχει ἀπολογίαν ὡς τοῖς κυρίοις ὑποπίπτον· τὸ δὲ ἄλλος ὡς ἐπιμεριζόμενον· βαρύνεται· ζητητέον δὲ τὸ ἄλλος εἰ ἀντωνυμία ἐστὶν ἢ ὄνομα· καὶ λέγομεν ὅτι ὄνομα ἐστὶν, ἐπειδὴ αἱ ἀντωνυμίαι ὡρισμένον πρόσωπον δηλοῦσιν· οἷον, ἐγώ. σύ· ἐκεῖνος· τὸ δὲ ἄλλος ἀοριστον· οὐκ ἄρα ἀντωνυμία· κλητικὴν δὲ οὐκ ἔχει, διότι ἡ κλητικὴ ὁριστική ἐστίν· οἷον, Παῦλε· Πέτρε· τὸ δὲ ἄλλος ἀόριστον ὂν οὐκ ἔχει κλητικήν· τὸ οὐδέτερον ὤφειλεν εἶναι ἄλλον μετὰ τοῦ ν· ἀλλὰ ὃ ὤφειλεν ἔχειν ἐν τῇ ἁπλότητι ἀνέλαβεν ἐν τῇ συνθέσει[w]· οἷον, ἔξαλλον· πρόσαλλον.

Αὐτός: (Il. A. 133.) Ἀντωνυμία πρωτότυπος, ἀντὶ τοῦ τρίτου προσώπου· ἰστέον δὲ ὅτι ἡ αὐτὸς τοῖς τρισὶ προσώποις συντάσσεται· ἐγὼ αὐτός· σὺ αὐτός· ἐκεῖνος αὐτός· τῶν ἄλλων τοῦτο μὴ ἐχόντων· ἀντὶ δὲ τοῦ ἰῶτα ἐφευρέθησαν αἱ τέσσαρες αὗται· αὐτός· ἐκεῖνος· οὗτος· ὅδε· αἵτινες εἰσὶ τρίτου προσώπου, καὶ καλοῦνται θεματικαὶ μονοπρόσωποι· καὶ τῆς μὲν αὐτὸς τὸ θηλυκὸν, ὁ αὐτὴ, ὀξυτόνως, καὶ τὸ οὐδέτερον, αὐτό· τῆς δὲ οὗτος τὸ θηλυκὸν, αὕτη, βαρυτόνως· καὶ τὸ οὐδέτερον, τοῦτο· τῆς δὲ ὅδε, τὸ θηλυκὸν, ἥδε, καὶ τὸ οὐδέτερον, τόδε.

Ἀνδρός: (Il. Γ. 62.) Ὁ τόνος· αἱ συγγενικαὶ γενικαὶ

[u] Cod. male ἀείδω. [v] Cod. ἄλατος. [w] Cod. συνη (θ suprascr.).

ὀξύνονται· οἷον πατρός· μητρός· θυγατρός· ἀνδρός· τὸ πάθος ἐνταῦθα πλεονασμός· τῶν δὲ παθῶν τὰ μὲν ἀναγκαῖα, τὰ δ' οὔ· τὰ δὲ οὐκ ἀναγκαῖα· οἷον, κατ' ἐμοῦ κατ' ἐμοῦ[x]· ὑπὲρ ὑπείρ. κατὰ καταί. τὰ δὲ ἀναγκαῖα διὰ τὴν σύνταξιν, ὡς ἐνταῦθα· οὐδέποτε γὰρ ἐστὶν εὑρεῖν πρὸ τοῦ ρ σύμφωνον ἄλλο ἐν διαστάσει, πλὴν αὐτὸ πάλιν τὸ ρ· ἀναγκαῖος οὖν ἐνταῦθα ὁ πλεονασμὸς τοῦ δ, καὶ οὐκ ἄλλου συμφώνου· ἐπειδὴ τῶν ἐν διαστάσει σύμφωνόν τι τῶν ἀπὸ τῆς τρίτης συζυγίας ἕπεσθαι φιλεῖ· οἷον, ἄντρον· ἄνθος· ἀνδάνω.

Ἀεί: (Il. M. 211.) Ἐπίρρημα χρόνου δηλωτικὸν διηνεκοῦς οὐχ ὡς ταῦτα· τῆτες· αὔριον· χθές· ὀψέ· ταῦτα γὰρ μερικά· τούτου παρ' Ὁμήρῳ τριχῶς ἡ κίνησις αἰεί·

ἵετο δ' αἰεί (Il. E. 434.)

αἰέν·

αἰὲν ἀναιδείην ἐπιειμένος· (Il. I. 372.)

ἀεὶ ὥς μευ μέμνησαι. (Il. Ψ. 648.)

Ἀττικοὶ δὲ τὸ α ἀεὶ κατ' ἔκτασιν λαμβάνουσιν, καὶ κατὰ συστολὴν ἔστιν ὅτε, ἐπὶ διαφόρους σημασίας· Δωρικὸν ἀὲς καὶ ἀέν· ἴσασι δὲ καὶ τὸ αἶεν· ὁ δ' Αἰολεὺς τριχῶς

ἀεὶ παρθένος ἔσομαι.

καὶ αἰεὶ καὶ αἰέν· οἱ δὲ Βοιωτοὶ τρέποντες τὴν αι εἰς η, καὶ τὴν η εἰς ι, ἠῒ λέγουσι, ὥσπερ καὶ τὸ λέγεις[y] διὰ μόνου τοῦ ἰῶτα προφέρουσιν· εἰσὶ δὲ εἰς ει λήγοντα ἐπιρρήματα καὶ βαρυνόμενα, τὸ ἄγρει καὶ τὸ οἴκει, οὐκ ὄντα γνήσια· τὸ μὲν γὰρ οἴκει κατὰ μεταπλασμὸν τοῦ οἴκαδε· τὸ δὲ ἄγρει τῷ ἄγε πλησιάζει μέν, συμπέπτωκε προστακτικοῖς ῥήμασι· τὸ δὲ ἄγρει Δωρικῶς ἄγει λέγεται· καὶ ἔστιν ὡς προστακτικὸν ἐπίρρημα, καὶ τὸ πληθυντικὸν ἄγρειτε φασί· καὶ ὁ ποιητὴς

ἄγρειθ' αἱ μὲν δῶμα κορήσατε; (Od. Υ. 144.)

ὁ δέ γε Ἀντίμαχος "ἄργειτε" ἔφη ὑπερβιβάσας τὸ ρ· καὶ ταῦτα μὲν τὰ βαρυνόμενα· τὰ δὲ ὀξυνόμενα δύο· τὸ ἀεὶ καὶ τὸ ἐπεί·

ἐπεὶ Τροίας ἱερὸν πτολίεθρον ἔπερσεν· (Od. A. 2.)

τὸ τηνεῖ· τουτεῖ· αὐτῇ· ὡς Δωρικὰ περισπᾶται· τὸ δὲ ἐκεῖ οὐ

x Sic Cod. y Cod. λέγεϊς.

Δώριον περισπᾶται· καὶ διὰ τὴν ἀποκοπὴν τοῦ ἐκεῖθεν· ὅπερ καὶ κατὰ πάθος μονοσύλλαβον γέγονεν κεῖ.

ἈΕΡΣΊΠΟΔΕΣ: (Il. Γ. 237.) Παρὰ τὸ ἀείρω[a] ἐνεστῶτος· ὁ μέλλων ἀερῶ, γίνεται ἀερίποδες, καὶ κατὰ πλεονασμὸν τοῦ σ, ἀερσίποδες· ὥσπερ ἀπὸ τοῦ φέρω καὶ τὸ φόνος γίνεται φερεφονὴ, ἡ φέρουσα τοὺς φονευομένους, καὶ πλεονασμῷ τοῦ σ καὶ τροπῇ Περσεφονή.

ΑἿΝΟΣ καὶ ΑἸΝΌΣ: Προπερισπώμενον μὲν ὁ ἔπαινος· καὶ ἀπὸ τούτου τοῦ ῥηθέντος ἰαίνω, τὸ διαχέω· οἷον

ἰαίνετο δὲ φρένας.

καὶ

τοῖσιν δὲ ἄνθη θυμός[b].

ἴαινος ὁ διαχέων τὴν ψυχὴν, ἀφαιρέσει τοῦ ἰῶτα, αἶνος, ὡς ἰήϊος ἥϊος· ὀξυτόνως δὲ ὁ φοβερὸς, ἢ πονηρὸς, καὶ κακός· ἀφ' οὗ καὶ τὸ

αἰνόθεν αἰνῶς· (Il. H. 97.)

γίνεται παρὰ τὸ δεινὸς ἀποβολῇ τοῦ δ, καὶ τροπῇ τοῦ ε εἰς α· ὁ δὲ Ὧρος λέγει ὅτι παρὰ τὸ δαῒς, ὃ σημαίνει τὴν μάχην[c] δαϊνὸς, καὶ ἀφαιρέσει τοῦ δ αϊνὸς καὶ αἰνός.

ἈΊΣΘΩΝ: (Il. Π. 468.) Ἐκπνέων·

ὁ δ' ἔβραχε θυμὸν ἄϊσθων. (Il. Π. 468.)

ἀΐω, τὸ ἀκούω,

οὐκ ἀΐεις ὡς Τρῶες ἐπὶ θρωσμῷ πεδίοιο. (Il. K. 160.)

καὶ

ἀράων ἀΐων Νηληϊάδαο γέροντος. (Il. O. 378.)

ἀΐω ἐκ παρακακειμένου ἀϊστὸς ἀϊσθὸς, ὡς ὁρματὸς ὁρμαθός· ῥῆμα παράγωγον ἀΐσθω, ἡ μετοχὴ ἀΐσθων.

ΑἼΝΥΜΑΙ: Τὸ ἀφαιρῶ ἢ λαμβάνω, καὶ ὁ ποιητής·

ὁ δ' ἐξαίνυτο καμπύλα τόξα[d].

παρὰ τὸ αἰρῶ, ὅπερ ἐν συνθέσει ἀφαιρῶ· αἰρῶ τοίνυν καὶ αἰρνῶ, ὥσπερ περῶ περνῶ· ἀφ' οὗ καὶ τὸ

περνὰς[e] νήσων ἔπι τηλεδαπάων. (Il. X. 45.)

[a] Cod. εἴρω. [b] Il. Ψ. 597. τοῖο δὲ θυμὸς ἰάνθη. [c] Cod. μηχανὴν sed recte μάχην Etym. M. p. 36, 1. qui habet ex Orione. [d] Il. Φ. 502. Λητὼ δὲ συναίνυτο καμπύλα τόξα. [e] Cod. περνάσαι.

ἀφ' οὗ αἴρνυμι, καὶ τὸ παθητικὸν αἴρνυμαι, καὶ ἀποβολῇ τοῦ ρ αἴνυμαι, καὶ αἰνύμενος.

Ἄϊστος: Ὁ ἄγνωστος

Οἴχετ' ἄϊστος ἄπυστος. (Od. Α. 242)

ἀϊστῶσαι καὶ ἀϊστωθήμεναι· ἴσημι τὸ γινώσκω, ὅπερ Δωρικῶς ἴσαμι· ὡς οὖν τίθημι θετός· ἵστημι στατός· οὕτως ἰστός· ἐκ τούτου ἰστῶ, τὸ γινώσκω, παράγωγον ἵστημι, ὅθεν τὸ ἵσταμαι, καὶ ἐπιστήμων τὸ ὄνομα, μετὰ τοῦ στερητικοῦ α, ἄϊστος, καὶ ἀϊστῶ.

Ἀϊστητήρ: (Il. Ω. 347.) Ὁ κεκινημένος, ὥς τινες, καὶ ἐντρέχων· τινὲς δὲ νεανίας· ὁ δὲ ποιητὴς μᾶλλον ἐπὶ τοῦ κοσμίου καὶ καθήκοντος λαμβάνει τὴν λέξιν· καὶ ἐστὶ δὲ παρὰ τὴν αἶσαν, καὶ γὰρ ἐπὶ τοῦ καθήκοντος τάττεται· αἶσα οὖν αἰσύω, αἰσυτὴρ, καὶ πλεονασμῷ τοῦ η αἰσυητήρ.

Ἀΐσυλα: τὰ ἄδικα,

περὶ δ' αἴσυλα ῥέζεις. (Il. Φ. 214.)

παρὰ τὴν αἶσαν, ἵν' ᾖ τὰ ἐκ τῆς αἴσης σεσυλήμενα, αἴσυλα, καὶ πλεονασμῷ τοῦ η αἰήσυλος γίνεται· ἢ ἄσω τὸ βλάπτω

ἆσέ με δαίμονος αἶσα κακή· (Od. Λ. 61.)

ἄσω ἄσυλος, ὡς ἄξυλος· Ἅρπαλος· καὶ πλεονασμῷ τοῦ ἰῶτα, αἴσυλος· καὶ μετὰ τοῦ στερητικοῦ α ἀαίσυλος, ὁ μὴ καθήκων, καὶ ἀφαιρέσει τῆς στερήσεως ἔμεινε τὸ αὐτὸ σημαινόμενον· οὕτω δ' ἔχειν φησὶν Ἡρωδιανὸς, καὶ τὸ ἐτώσιον, παρὰ τὸ ἐτεὸν, τὸ ἀληθὲς, ἀετώσιον, καὶ κατὰ ἀφαίρεσιν ἔμεινεν τὸ ἐν τῇ συνθέσει σημαινόμενον· λέγεται καὶ ὁ ἄδικος καὶ ἁμαρτωλὸς, αἴσυλος, καὶ ἐν συνθέσει αἰσυλοεργός.

ὡς οὐκ ὄθετ' αἴσυλα ῥέζων. (Il. Ε. 403.)

ἐν οὐδετέρῳ, παρὰ τὸ συλᾶν, μετὰ τῆς α ἐπιτάσεως, ἄσυλος, ὡς ἀχανὲς, τὸ πάνυ κεχηνὸς, καὶ πλεονασμῷ τοῦ ἰῶτα, αἴσυλος· πολλάκις δὲ ἀντὶ τοῦ ἰῶτα πλεονάζει τὸ η, ἀήσυλος καὶ ἀήσυλα.

Ἀκηχέδαται: Λυποῦνται· ὁ ποιητὴς

οἵ που νῦν παρὰ νηυσὶν ἀκηχέδαται[f].

[f] Il. Ρ. 637. legitur Οἵ που δεῦρ' ὁρόωντες ἀκηχέδατ'.

ἀχῶ ἀχάζω, ὡς ἀνιῶ ἀνιάζω, ἤχακα ἤχαδα, καὶ τὸ Ἰωνικὸν ἠχάδαται, ὡς πεφράδαται, καὶ μετὰ ἀναδιπλασιασμοῦ Ἀττικῶς ἀχηχάδαται, καὶ τροπῇ τοῦ α εἰς τὸ ε, καὶ τοῦ δασέος εἰς ψιλὸν ἀκηχέδαται.

Ἄκμηνος: Ὁ ἄγευστος·

ἄκμηνος σίτοιο. (Il. T. 163.)

Ἀρίσταρχος σύνθετον αὐτό φησιν εἶναι παρὰ τὸ α στέρησιν καὶ τὸ ἀκμῆνος· ἀλλ' οὐκ ἔστι λέξιν εὑρεῖν ἀπὸ τοῦ κ ἀρχομένην· ἀλλ' εἴ τις δοίη εἶναί τι τοιοῦτον[g], ὤφειλεν ὀξύνεσθαι ὁμοίως τῷ ἀμενηνός· ὁ γὰρ διὰ τοῦ ηνος τύπος ποθεῖ τὴν ὀξεῖαν τάσιν· τινὲς δὲ παρὰ τὸ ἀκμὴ ἄκμηνος, ὁ ἀκμάζων· καὶ τὸ Ὁμηρικὸν οὕτως διδόασι λείποντος τοῦ ἄνευ μορίου· οὐκ ἂν δύναται φησὶν ἀνὴρ ἀκμάζων ἄνευ σίτου μάχεσθαι, καὶ ἔτι ἐπὶ τοῦ

τὸ δ' ἐμὸν κῆρ
ἄκμηνος σίτοιο. (Il. T. 320.)

ἀκμάζων εἰς τὴν ὑπέρ σου ἄμυναν ἄνευ βρώσεως καὶ πόσεως· τοῖς δὲ λέγουσιν αὐτὸ παρὰ τὸ ἀκμὴ συλλαμβάνει καὶ τὸ

θάμνος ἔφυ τανύφυλλος[h] ἐλαίης ἕρκεος ἐντὸς
ἄκμηνος θαλέθων. (Od. Ψ. 191.)

οὐ δύναται γὰρ ἔνθαδε ἄγευστον, ἀλλὰ τὸν εὐθαλῆ παραλαβεῖν· οἱ δὲ σύνθετον, ἤτοι κατὰ στέρησιν τοῦ κομεῖν, ὥστε δηλοῦσθαι τὸν ἀτημέλητον· οἱ δὲ σύνθετον κατὰ στέρησιν τῆς ἰκμάδος· οἱ δὲ

ἄκμηνος σίτοιο.

ἀκούουσι τὸν μὴ κεκμηκότα παρὰ τὰ σιτία· ἐπεὶ πόθος γίνεται εἰς τὴν τούτων παρασκευήν·

αὐτὰρ ἐπεὶ παύσαντο πόνου. (Il. A. 467.)

οἱ δὲ σίτοιο δυνήται ἀντὰ ἀκούουσιν ἄνευ σιτίων· οὐ δύνανται δὲ δεῖξαι τὸ ἀντὰ παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἄνευ τιθέμενον.

Ἄκμονα: (Od. Γ. 434.) Σημαίνει τόν τε σίδηρον ἐφ' οὗ οἱ χαλκεῖς παίουσι[i] ταῖς σφύραις χαλκεύοντες, καὶ τὸν τοῦ

g Cod. δοίη θέ εἶναί τι τουτον (ο superscript).   h Cod. ταννύφιλος.   i MS. ποιοῦσι (αί superscript).

οὐρανοῦ πατέρα· εἴρηνται δὲ, ὁ μὲν σίδηρος ἀκάμων τὶς ὢν, ὁ ἀκαμάτως φέρων τὰς ἐκ τῆς σφυρᾶς πληγάς· ὁ δὲ τοῦ οὐρανοῦ πατὴρ ἀπὸ τῆς τοῦ οὐρανοῦ ἀκαμάτου φύσεως· τῶν θεολόγων αἰνιττομένων τὸ ἄκμητον τῆς περιφορᾶς αὐτοῦ· ἢ παραλαμβάνοντες ὅτι ἄφθαρτός ἐστι, κεκμήκεναι γὰρ λέγομεν τοὺς τελευτηκότας· καὶ Ὅμηρος

εἴδωλα καμόντων· (Il. Ψ. 72.)

τινὲς δὲ ἄκμονα τὸν ὠκεανὸν λέγουσι διὰ τοὺς ποταμοὺς ἀκαμάτους λέγεσθαι

Σπερχειῷ ἀκάμαντι γυνὴ θεῷ εὐνηθεῖσα. (Il. Π. 176.)

Ὠκεανοῦ δ' υἱὸν τὸν Οὐρανόν· οἱ δὲ ἄκμονα τὸν αἴθερα·

αἴθερος δ' υἱὸς Οὐρανὸς,

ὡς ὁ τὴν Τιτανομαχίαν γράψας· ὁ δὲ αἰθὴρ ἀκάματος, ἐπεὶ καὶ τὸ πῦρ ἀκάματον.

Ἀκοστήσας: (Il. Z. 506.) Ἀκοσταὶ αἱ κριθαί· ἵν' ᾖ κριθιάσας, καὶ ὑπὸ τῆς τρυφῆς ἀκρατὴς τὶς ὢν, ἢ ὑψαυχενήσας καὶ ἀτιμαγέλας γεγονώς· ἢ παρὰ τὸ ἀγὸν, ἀγὸς θέλων εἶναι, καὶ ἡγεῖσθαι, καὶ ἀκρατής· τοῦ γ εἰς τὸ κ μεταπεσόντος· εἰ δὲ ἀχθεσθεὶς ἵν' ᾖ ἀχθεστήσας· ἄρσει τοῦ θ, καὶ τροπῇ τοῦ ε εἰς ο, ἄχοστος·

Ἀκοῦμαι[k]: Καὶ ἀκέοντο· θεραπεύω καὶ ἐθεράπευον· καὶ ὁ ποιητὴς

πιόν τ' ἀκέοντό τε δίψην. (Il. X. 2.)

καὶ

ἀλλ' ἀκέσασθε φίλοι. (Od. K. 69.)

καὶ ὄνομα παρ' αὐτὸ τὸ ἀκεστὴς, καὶ

ἀκεσταί τοι φρένες ἐσθλῶν. (Il. N. 115.)

εἴρηται δὲ τὸ ἀκοῦμαι παρὰ τὸ ἄχος, τὴν λύπην· ἀχοῦμαι καὶ ἀκοῦμαι· ἵν' εἴη τὸ ἄχος· κύριον δὲ τοῦτο σημαίνει, καταχρηστικώτερον δὲ ἐπὶ πάσης θεραπείας κεῖται ἡ λέξις· ἢ ὥς τινες παρὰ τὸ ἀκεῖν τὸ ἀκοῦμαι· ἵνα σημαίνῃ τὸ δι' ὠξυμμένου σιδήρου θεραπεύειν· οὕτω γοῦν καὶ Ἀθηναῖοι τὰς δι' ὀξυτάτων ῥα-

[k] Cod. ἀκᾶμαι.

φίδων ἰωμένας τὰς λακίδας τῶν ἱματίων ἀκεστρίας φασὶ, καὶ ἀκεστώρ.

Ἄκτωρ: (Il. B. 513.) Ὁ ἥρως·

Μενοιτίου Ἄκτορος υἱός·

ἄγω ἀγάγω κατὰ διπλασιασμὸν

ὅν κεν ἐγὼ δήσας ἀγάγω· (Il. B. 231.)

καὶ εἰς μι ἀγῶμι

ἐπὴν ἀγάγωμι πόλιν. (Il. Ω. 717.)

ἀπὸ τοῦ ἄγω παρακειμένου ἦκται ἄκτωρ, ὁ διακομίζων, καὶ ἀπὸ τῆς τούτου γενικῆς εἰς εὐθεῖαν ἀναχυθείσης, διάκτορος ὁ διάκονος, καὶ τὰς ἀγγελίας διακομίζων· τὸ δὲ κύριον ὄνομα λέγεται παρὰ τὸ ἄγω, τὸ κλῶ· ἀφ' οὗ τὸ

πάλιν ἄγεν ὀξέες ὄγκοι (Il. Δ. 214.)

καὶ

ἆξον ἔγχος· (Il. Z. 306.)

ἄγω οὖν ἦκται, ἄκτωρ· ὡς ἄν τις εἴποι κλάστης· φασὶ γὰρ τὸν πατέρα τοῦ Ἄκτορος Ἀζέα πρὸς τὸν Γλαῦκον τὸν Σισύφου διαγωνιζόμενον Ὀλύμπια, κατέαξαι αὐτοῦ τὸ ἅρμα, καὶ ἐπὶ τῇ πράξει ταύτῃ καὶ τῇ νίκῃ μετὰ φρονοῦντα[1] τὸν υἱὸν ἀπὸ τῆς πράξεως ὀνομάσαι Ἄκτορα· καὶ ἔχει τὸ πιθανὸν ἡ ἀπὸ τῆς ἱστορίας ἐτυμολογία· πολλοὶ γὰρ καὶ ἄλλοι ἀπὸ τῆς ἱστορίας ὠνομάσθησαν, ὡς ὑπ' Αὐτολύκου Ὀδυσσεύς.

Ἀλαλκομενηΐς: (Il. Δ. 8.) Ἐπίθετον τῆς Ἀθηνᾶς παρὰ τῷ ποιητῇ· παρὰ δὲ ἄλλοις Ἥρας καὶ Διός. Ἀλαλκομενεὺς γὰρ Ζεὺς πολλαχοῦ τιμᾶται· οἱ μὲν ἀπό τινος Ἀλαλκομενέως ἱδρυσαμένου αὐτῇ νεῷ καὶ τέμενος· οἱ δὲ ἀπὸ Ἀλαλκομένης τῆς Ὠγύγου θυγατρός· οἱ δὲ ἡ ἀπαλεξητικὴν προθυμίαν ἔχουσα, ἢ ἡ ἐν ἀλκῇ μένουσα· ἀλκὴ δὲ ἡ μάχη· καὶ ἀλκάζειν τὸ μάχεσθαι· κατὰ διπλασιασμὸν ἡ λέξις, ἀλκομενὴς γὰρ καὶ Ἀλαλκομενηΐς, ὡς ἀτηρὸς ἀταρτηρός· ἔτυμος ἐτήτυμος[m]· καὶ ἀτίταλλε· ἐσχηματίσθη δὲ ἀπὸ τοῦ Ἀλαλκομενεὺς Ἀλαλκομενηΐς, ὡς Θησεὺς Θησηΐς[n]· Οἰνεὺς Οἰνηΐς· Βρισεὺς Βρισηΐς.

[1] Leg. vid. μέγα φρονοῦντα. [m] Cod. ἑτοίτυμος.

[n] Cod. θς θυσῆ̈ς. Sed recte Etym. M. p. 56, 15.

Ἀλαλύκτημαι: (Il. K. 94.) Ἀδημονῶ καὶ περιπεπλάνημαι[o] ὑπ' ἀμηχανίας· οἱ μὲν παρακείμενον, οἱ δὲ ἐνεστῶτα λαμβάνουσι τὴν λέξιν· ἔστι ῥῆμα ἀλῶ, ἀφ' οὗ ἀλύω, ὡς ἀνῶ, ἀνύω, ἀφ' οὗ ἀλύσσω, ὡς ὀρύω ὀρύσσω ὀρυκτὸς ὄνομα, οὕτω παρὰ τὸ ἀλύσσω ἀλυκτός· καὶ ὡς ἄτακτος ἀτακτῶ, οὕτως ἀλυκτὸς ἀλυκτῶ. ἀφ' οὗ παρακείμενος ἠλύκτημαι, καὶ Ἀττικῷ διπλασιασμῷ ἀλαλύκτημαι· ἔθος δὲ τῷ ποιητῇ ἐπὶ τούτου τοῦ ῥήματος ποιεῖσθαι διπλασιασμὸν Ἀττικώτερον. οἷον,

ἀλλ' αὔτως διὰ νύκτα θοὴν ἀλάλησθαι ἄνωγας. (Od. M. 284.)

ἀλαλύκτημαι κραδίη δέ μοι ἔξω
στηθέων ἐκθρώσκει, τρομέει δ' ὑπὸ φαίδιμα γυῖα. (Il. K. 94.)

εἰ δὲ ἐνεστῶτος δεῖ τοῦτο λέγειν, διὰ τὸ ἐκθρώσκει καὶ τρομέει· ἔστιν ἀλυκτῶ, ὡς προείρηται, οὗ παράγωγον εἰς μι ἀλύκτημι, καὶ παθητικὸν Αἰολικῶς, ἀλύκτημαι· ἐκεῖνοι γὰρ οὕτως κλίνουσιν, ποίημαι λέγοντες, καὶ νόσημαι· καὶ ἐν διπλασιασμῷ ἀλαλύκτημαι· οἶδε δὲ ὁ ποιητὴς πολλὰ Αἰολικὰ, καὶ μάλιστα ἐν μετοχαῖς· ἀκαχήμενος· ἀνήμενος· δύναται δὲ ἐπὶ τοῦ θορυβεῖσθαι λαμβανόμενον οὕτω σχηματίζεσθαι, ἵν' ᾖ παρὰ τὸ ἀλαλεῖν, ὃ σημαίνει τὸν θόρυβον· ἀλαλῶ ῥῆμα, ἀφ' οὗ τὸ ἀλαλύσσω, παρ' ὃ ῥηματικὸν ὄνομα, ἀλαλυκτὸς, καὶ ἀλαλυκτῶ, καὶ ἀλαλύκτημαι.

Ἀλαός: (Od. Θ. 195.) Ὁ τυφλὸς καὶ ἐστερήμενος τοῦ λάειν, ἤτοι βλέπειν· Ἀρίσταρχος τὸ παρὰ τῷ ποιητῇ

ἀσπαίροντα λάων. (Od. T. 229.)

οὕτως ἐξηγεῖται ἀντὶ τοῦ βλέπων· Ἡρωδιανὸς δὲ παρὰ τὸ ἀλῶ, τὸ πλανῶμαι· ἀλαὸς ὁ περιπλανώμενος· Σέλευκος δὲ παρὰ τὸ ἀλάσαι, ὃ σημαίνει τὸ ἐλαττῶσαι, καὶ ἵν' ᾖ ὁ ἐλαττωθεὶς τοὺς ὀφθαλμούς.

Ἀλαπάξαι: Ἐκπορθῆσαι· παρὰ τὸ ἄδηλον λάχανον, κενωτικὸν γὰρ ἐστὶ γαστρός· ἀμέλει Δημόκριτος τοὺς βόθρους, τοὺς πρὸς κυνηγετῶν σκαπτομένους· οἷς ὑπεράνω κόνις λεπτὴ

[o] Cod. πὰρ πεπλάνημαι.

ἐπιχεῖται, καὶ φρύγανα ἐπιβάλλεται, ἵν' οἱ λαγωοὶ ἐμπίπτωσιν εἰς αὐτούς· λαπάθους καλεῖ διὰ τὸ κεκενῶσθαι[p].

Ἀλεγεινός: Ἐπώδυνος· ὁ ποιητὴς

ἔνθα μάλιστα
γίνετ' ἄρης ἀλεγεινός. (Il. N. 569.)

παρὰ τὸ ἀλέγειν, τὸ φροντίζειν· οὗ παράγωγον τὸ ἀλεγίζω, ἢ μᾶλλον παρώνυμον· ἄλγος ἀλγεινός· ἢ παρὰ τὸ ἀλέγω ἄλεγος· τὰ γὰρ λυπηρὰ πάντα φροντίδος ἄξια· ἀπὸ τοῦ ἄλεγος οὖν, ἀλεγεινὸς, ὁ ἀλέγειν ποιῶν· τὸ δὲ ἀλέγω παρὰ τὸ λέγω, τὸ φροντίζω· ἐξ οὗ καὶ λόγος ἡ φροντὶς, καὶ μετὰ τοῦ ἐπιτατικοῦ α, ἀλέγω, καὶ μετὰ τοῦ ου οὐκ ἀλέγω· ἀλέγω οὖν ἀλεγίζω παράγωγον, καὶ ἀλεγείνω[q] ὅθεν τὸ

δαῖτ' ἀλεγύνοντες. (Od. N. 23.)

Ἀλεωρή: (Il. M. 57.) Ἡ φυλακὴ, καὶ ἡ φυγὴ, ὁ ποιητὴς ἐπ' ἀμφοτέρων τίθησιν τὴν λέξιν· καὶ ἐὰν μὲν τὴν φυλακὴν, παρὰ τὸ ἀλέαν, ὃ σημαίνει τὴν θερμασίαν, καὶ τὸ ὠρεῖν τὸ φυλάττειν, ἵν' ᾖ ἡ θερμὴ φυλακή· ἐὰν δὲ τὴν φυγὴν, παρὰ τὸ ἀλέασθαι εὐπαραφύλακτα[r].

Ἀλόπεδον: Τὸ ὁμαλὸν ἔχων, τὸ πρῶτα μὲν ὑπὸ θαλάσσης κρατούμενον, ὕστερον δὲ ἐλθὲν, ἵν' ᾖ τὸ ἀλόπεδον[s]· δεῖ δὲ δασύνειν τὸ α· Ἀριστόνικος δὲ ἐτυμολογεῖ τὸ ἄγαν λειόπεδον, τὸ πάνυ λεῖον χωρίον· οὐκ εὖ· ἢ ἀλάπεδόν τι ὂν παρὰ τὴν ἅλα πέδον.

Ἀλίζωνες: (Il. B. 856.) Οἱ Βιθυνοί·

ἐν παρ' Ἀλαζώνων Ὀδίος καὶ Ἐπίστροφος ἦρχον·

εἴρηται οὕτως ὅτι ἡ γῆ αὐτῶν θαλάσσῃ διέζωσται, καὶ οἱονεὶ χερσόνησός ἐστιν, ὑπὸ τοῦ Εὐξείνου τῆς Προποντίδος διεζωσμένη. Ἐπαφρόδιτος δὲ ἀλαζονίας τινας εἶναι αὐτοὺς ὑπὸ τῆς εὐδαιμονίας τῆς χώρας ἐπηρμένους· τοῦ ἄλφα εἰς τὸ ἰῶτα τραπέντος.

[p] Citat Democritum etiam Etym. M. in Ἀλαπάζειν p. 57, 19. sed plen. est noster. [q] Leg. ἀλεγύνω quod dat Etym. M. p. 58, 47. in Ἀλέγω, qui mox δαῖτα δ' ἀλέγυνον. [r] Cod. εὐπαραφύλακ. Etym. M. p. 60, 45. habet ἀπαραφυλάκτως. [s] Leg. vid. ἀλίπεδον.

Ἀλοιτός: Ὁ ἁμαρτωλός· ἀφ᾽ οὗ πατραλοίας· γίνεται δὲ παρὰ τὸ ἀλιτῶ ἀλιτὸς, καὶ εἴρηται.

Ἄλος: (Il. B. 682.) Πόλις Θεσσαλίας· ὁ ποιητὴς

Οἵ τ᾽ Ἄλον οἵ τ᾽ Ἀλόπην. (Il. B.682.)

εἴρηται ἀπὸ τοῦ Ἀθάμαντος ἄλης παρὰ τοὺς τόπους ἐκείνους νεμομένης, καὶ ἀπ᾽ αὐτοῦ κτισθείσης· Ἀπολλόδωρος δὲ ἀρσενικῶς λέγεσθαι τὴν πόλιν.

Ἁλοσύδνης: Καὶ ἐπ᾽ αὐτῆς τῆς θαλάσσης,

νέποδες καλῆς ἁλοσύδνης. (Od. Δ. 404.)

λέγεται δὲ ἐπιθετικῶς καὶ ἐπὶ τῶν φώκων, παρὰ τὴν ἁλὸς γενικὴν, καὶ τὸ δύνω· μεταθέσει ἁλοσύδνη, ἡ κατὰ τῆς ἁλὸς δυνοῦσα· ἐπὶ δὲ τῆς θαλάσσης, ὡς γηθόσυνος γηθοσύνη, οὕτως ἁλόσυνος ἁλοσύνη, καὶ πλεονασμῷ τοῦ δ ἁλοσύδνη.

Ἀλητήρ[t]: Κατασκευασμά τι ἀπὸ μολίβδου, ᾧ κέχρηνται οἱ σωματικῶς μασκοῦντες[u] ἐν τοῖς γυμνασίοις· παρὰ τὸ ἅλλομαι· βαστάζοντες γὰρ αὐτὰ καὶ περιφέροντες ἥλλοντο ἐν τῷ γυμνάζεσθαι.

Ἀλύσσω: (Il. X. 70.) Τὸ ἀδημονῶ· ἢ τὸ πάνυ λυσσῶ

οἱ κ᾽ ἐμὸν αἷμα πιόντες ἀλύσσοντες περὶ θυμῷ. (Il. X. 70.)

ἀλῶ ἀλύσσω, ἀφ᾽ οὗ ἄλυς, πλάνη καὶ ἀδημονία· Ποσειδώνιος δὲ ἐγκεῖσθαι φησὶν τὴν λύσσαν, οἱ γὰρ πίνοντες αἷμα ἀνθρώπου ὡς κύνες λυσσῶσι· λύσσω οὖν βαρυτόνως, ὡς νύσσω· ὀρύσσω, μετὰ τοῦ ἐπιτατικοῦ α ἀλύσσοντες, οἱ πάνυ λυσσῶντες· ἢ ἄλην καὶ παίγνιον ποιούμενοι * * * ὡς τὸ κυνῶν μέλπηθρα.

Ἀλφησταί[x]: (Od. A. 349.) Οἱ μὲν ἐπίθετον τοῦ ἀνθρώπου, οἱ δὲ τὸν ἄνθρωπον αὐτόν· προσηγορκὸν εἶναι φασὶν ἀπὸ τοῦ ἀλφεῖν, τὸ εὑρίσκειν, καὶ ἀλφεσίβοιαι παρθένοι, αἱ βόας ἐφ᾽ ἑαυταῖς εὑρίσκουσαι· τὸ τοὺς πατέρας, τοὺς ἄνδρας ἀλασσομένους, παρέχειν βόας· ἀλφησταὶ τοίνυν οἱ ἄνθρωποι.

Ἀλώμενος: (Il. B. 667.) Λῶ τὸ παρὰ Δωριεῦσιν καὶ Ἴωσιν εὑρισκόμενον, ὅπερ γίνεται παρὰ τὸ θέλω κατὰ ἀφαίρεσιν, μετὰ τοῦ στερητικοῦ α ἀλῶ, οἱ γὰρ πλανώμενοι ὧν θέλουσι

[t] Leg. ἀλκτήρ. [u] Aut leg. σωματικῶς ἀσκοῦντες aut σωμασκοῦντες cum Etym. M. p. 71, 21. [x] Cod. ἀλφισταί.

οὐ τυγχάνουσι· ἁλῶ δὲ τὸ συλλαμβάνω, ἀφ' οὗ τὸ ἁλίσκω· παρὰ τὴν ἀκατὴν [y] θαλάσσιαν· ἀπὸ τοῦ τοὺς κατὰ θάλασσαν λαμβανομένους πρῶτον ἁλίσκεσθαι.

Ἀλωπεκόνησος: Ἀθηναίοις ἀποικίαν στελλομένοις ἔχρησεν ὁ θεὸς ἐκεῖ κατοικεῖσθαι, ἔνθα ἂν ἀλώπηξ φανῇ· καὶ ἐν τῇ νήσῳ [z] φανείσης τῆς ἀλώπεκος, ᾤκησαν, καὶ ὠνόμασαν τὸ χωρίον ἀπὸ τοῦ ζώου [a].

Ἀμαζών: (Il. Γ. 189.) Ἀπὸ τοῦ ἐστερῆσθαι μαζῶν· ἀπίθανος δὲ ἡ τοιαύτη ἐτυμολογία· Θεμισταγόρας δὲ καὶ ἐν τῇ χρυσῇ βίβλῳ [b] φησὶν

Ὅτι αἱ κατὰ τὴν Ἀλόπην [c] τὴν νῦν καλουμένην Λυκίαν, τὴν πρὸς τῇ Ἐφέσῳ, γυναῖκες μίᾳ συμβουλῇ τὰ συνήθη ταῖς γυναιξὶν ἔργα ἀπαρνησάμεναι, καὶ ζώναις χρησάμεναι καὶ ὁπλισμοῖς, τὰ τῶν ἀνδρῶν πάντα ἐπετήδευον· πρὸς δὲ τὰ ἄλλα καὶ ἥμων σὺν αὐταῖς ζώναις, ὅ ἐστιν ἐθερίζον· διὰ τοῦτο καὶ Ἀμαζόνας κεκλῆσθαι τὰς σὺν ταῖς ζώναις ἀμώσας·

ἢ ὅτι τὸν ἕνα τῶν μαζῶν ἔκαιον χάριν τοῦ τοξεύειν, ἢ ὅτι μάζοις οὐκ ἐχρῶντο, ἀλλ' ὄφεσι καὶ σκορπίοις καὶ σαύραις καὶ χελώναις· οἱ δὲ ἀπὸ μητρὸς Ἀμαζοῦς [d].

Ἀμαιμάκετος [e]: Ὁ μακρός·

ἱστὸν ἀμαιμάκετον· (Od. Ξ. 311.)

μῆκος μάκετος, συσταλέντος τοῦ η εἰς α, ὡς λεληκυῖα· μάκετος διπλασιασμῷ μαιμάκετος, καὶ κατὰ πλεονασμὸν τοῦ ι, ὡς φάω φάσσω, παφάσσω, παιφάσσω, καὶ τοῦ ἐπιτατικοῦ ἐπεισελθόντος, ὡς ἀλαλητὸς, καὶ

ἄβρομοι αὐίαχοι (Il. N. 41.)

ἀμαιμάκετος· τὸ δὲ

πνείουσαν ἀμαιμάκετον πῦρ

παρὰ τὸ μαιμῶ μαίμακα· ὃ δὲ μαιμάω φησὶν ὁ ποιητής· μαιμῶς οὖν μαιμάκετος, καὶ κατ' ἐπίτασιν ἀμαιμάκετος· ἢ παρὰ τὸ μαιμῶ, τὸ προθυμοῦμαι, μαιμάκετος, στερητικὸν α· ὑπὲρ οὗ οὐκ ἄν τις προθυμηθείη.

[y] Etym. M. p. 73, 40. παρὰ τὴν ἅλα τὴν θάλασσαν. [z] Cod. γήσῳ. [a] Cf. Steph. Byz. v. Ἀλωπεκόνησος. [b] Cf. Athen. XV. p. 681. A.B. [c] Steph. Byz. v. Ἀλόπη Etym. p. 70, 5. [d] MS. ἀπὸ μρς ἀμαζους. [e] Cod. ἀμεμάκετος.

Ἀμβλῶσαι: Τὸ ἀτελὲς βρέφος ἀποβαλεῖν· καὶ κατὰ πρὸς τοῦτο φάρμακα ἀμβλωθρίδια καλοῦσιν οἱ Ἀττικοί[f]· εἴρηται δὲ ἀπὸ μεταφορᾶς τῶν ἀμπέλων, ὁπόταν γὰρ αὗται τοὺς λεγομένους ὀφθαλμοὺς ἀποκαυθεῖεν, λέγομεν αὐτὰς ἀμβλυώττειν· ὡς ἐπὶ ἀνθρώπων ἀντὶ τοῦ τελεσφοροῦσιν· καὶ ἐπὶ τῶν γυναικῶν τῶν τὰ ἀτελῆ βρέφη ἐκβαλουσῶν· ἀμβλυώττειν καὶ ἀμβλώττειν μετὰ συγκοπήν· ἢ παρὰ τὸ ἀμβλῆσαι, ὃ δηλοῖ τὴν γονὴν ἀφανίσαι, κατ' ἐκβολὴν τοῦ α, ἤμλησε, καὶ διὰ τὴν ἀσυνταξίαν ἐπλεόνασε τὸ β, καὶ ἐτράπη τὸ η.

Ἀμεινίας: Κύριον ὄνομα, παρὰ τὸ μένος, ὁ ἀπρόθυμος, ἢ ἀόργητος, ἢ παρὰ τὸ μένω, καὶ τὴν α στέρησιν.

Ἀμέρδω: Κυρίως τὸ μέρους στερῶ, καὶ καταχρηστικῶς δὲ τὸ στερῶ μόνον· παρὰ τὸ μείρω, τὸ σημαῖνον τὸ μερίζω,

καὶ ἥμισυ μείρεο τίμης. (Il. I. 616.)

καὶ ὡς σκαίρω σκαρίζω, εἴρω ἐρίζω· οὕτως μείρω μερίζω· τοῦτο συγκοπτόμενον γίνεται μέρδω, τοῦ ζ διὰ τοῦ ρω συμπλοκὴν εἰς τὸ δ μεταπεσόντος· μέρδω οὖν, καὶ μετὰ τοῦ στερητικοῦ α, ἀμέρδω. καὶ παρὰ τῷ ποιητῇ ἀμέρσαι,

ὁππότε δὴ τὸν ὁμοῖον[g] ἀνὴρ ἐθέλῃσιν[h] ἀμέρσαι. (Il. Π. 58.)

καὶ τοῦτο παρὰ τὸ μείρω, ὁ μέλλων Αἰολικῶς μέρσω, τὸ μερίζω, καὶ ἀμέρσας, οἱονεὶ ἄμοιρον ποιήσας, τὸ δὲ ἀπαμέρσας ἐπιτεταμένην ἔχει τὴν πρόθεσιν, ὡς τὸ ἐξ ἀφελέσθαι, ἀποστερῆσαι.

Ἀμνίον: Αἱμοδόχον ἀγγεῖον· ὁ ποιητής,

Περσεὺς δ' ἀμνίον εἶχε. (Od. Γ. 444.)

παρὰ τὸ αἷμα ἁμνίον, τὸ τοῦ αἵματος δεκτικὸν, ἐλλείψει τοῦ ἰῶτα· οἱ δὲ αἱμνίον μετὰ τῆς αι διφθόγγου, καὶ δασύνουσι· μέμφονται δὲ τοῖς γράφουσι χωρὶς τοῦ ἰῶτα, ἵνα σημαίνῃ τὸ σφαγίον· οὐ γὰρ βούλεταί τι τοιοῦτον· ἢ παρὰ τὸ μένος μενίον, καὶ μετὰ τοῦ στερητικοῦ ἀμένιον, καὶ ἄμνιον, τοῦ γὰρ αἵματος ἐκρυέντος ἀμενηνὰ γίνεται τὰ ἱερεῖα· βέλτιον δὲ παρὰ τὸ αἷμα.

[f] Etym. M. p. 80, 8. leg. οἱ ἰατροί. [g] Cod. ὅμηρον.
[h] Cod. ἐθέαχε.

ἈΜΟΛΓΩ͂Ι: (Il. Λ. 173.)

Ὥστε λέων ἐφόβησε μολὼν ἐν νυκτὸς ἀμολγῷ·

δηλοῖ τὸν καιρὸν καθ' ὃν ἀμέλγουσιν οἱ ποιμένες· οἱ δὲ ἀμολγὸν νύκτα τὴν ἀκμαῖαν, καὶ Ἡσίοδος

μᾶζαν ἀμολγαίην

τὴν ἀκμαῖαν πρὸς τὸ φαγεῖν· Φιλῖνος δὲ πᾶσαν ὥραν τῆς νυκτὸς ἀμολγὸν εἶπε, διὰ τὸ τότε τὴν γῆ ντὸν ἀέρα ἕλκειν, καὶ ἄρδειν πάντα τὰ φυτὰ τῇ ἰκμάδι· καὶ γὰρ τῇ ἡμέρᾳ τουναντίον· τὰ γὰρ κάτω ἄνω ἀμέλγεται· Φιλόξενος δὲ ἐν ᾗ οὐδεὶς μολίσκει· ἀμολγὸς καὶ ἀμολγός· καὶ ἀβροτὴ γὰρ ἐν ᾗ βροτοὶ οὐ φοιτῶσιν.

ἈΜΩ͂: (Od. Λ. 165.) Τὸ θερίζω παρὰ τὸ ἅμα ἀμῶ· ἀμᾶ γὰρ τὸ ὑφὲν ἐπιλαμβάνειν, καὶ ἄμη· τὸ δ' ἐργάλειον πρὸς ἀντιδιαστολὴν δικέλλης· πλατεῖα γὰρ οὖσα ἅμα ἐφέλκεται τὴν γῆν, καὶ οἱ θερίζοντες ἅμα ἐφέλκουσιν τοὺς στάχυας· διὸ καὶ δράγματα αὐτὰ καλοῦσιν.

ἈΝΑΠΑΤΌΜΕΝΟΝ ὝΔΩΡ: Πηγὴ ἐν Δωδώνῃ οὕτω λεγομένη· εἴρηται οὕτως ὅτι οὐκ ἀένναον ἔχει τὸ ὕδωρ, ἀλλὰ κατὰ τὰς μεσημβρίας καὶ μέσας νύκτας ἀπολήγει παντελῶς, καὶ οὐ ῥεῖ, τὰς δ' ἄλλας συνεχῶς φέρεται.

ἈΝΆΡΡΥΣΙΣ: Ἡ θυσιά· θύοντες γὰρ ἀνέκλων τοὺς τραχήλους, εἰς τὸ ἄνω τρέποντες· καὶ ὁ ποιητὴς δὲ τὸν τρόπον τοῦτον θύεσθαι δηλῶν "ἀνέρυσαν" εἶπεν.

ἈΝΔΆΝΕΙΑ: Πόλις[i] Μεσήνης ἣν Οἰχαλίαν πρότερον καλουμένην τινὲς τῶν μετὰ Ἀσκαλάφου οἰκήσαντες, πολλῶν προβληθέντων ὀνομάτων, καὶ μηδενὸς ἀρέσαντος, Ἀνδάνεια ἐκλήθη.

ἈΝΔΡΑΚΆΣ: (Od. N. 14.) Ἐπίρρημα· κατὰ ἄνδρα, παρὰ τὴν ἀνδρὸς γενικὴν παράγωγον, ἢ σύνθετον παρὰ τὸ ἄνδρα, καὶ τὸ κὰς, ὅπερ παρὰ τὸ κάσω μέλλοντος γίνεται, ἵν' ᾖ κατ' ἄνδρα κοσμίως[k] καὶ τεταγμένως, ἢ παρὰ τὸ ἄνδρα καὶ ἕκαστος, συγκοπῇ ἑκὰς, καὶ ἀνδροεκὰς, καὶ τροπῇ τοῦ ο εἰς α ἀνδρακὰς, ὡς Παντολέων καὶ Πανταλέων.

[i] Cod. μόλις. [k] Cod. κοσμέως. Etym. M. p. 102, 19. κοσμίως τεταγμένος.

Ἀνδρόμεος: (Il. Λ. 538.) Ἀνὴρ ἀνέρος ἀνδρὸς, ἀνδρομὸς, καὶ ἐν ἑτέρᾳ παραγωγῇ κτητικῇ ἀνδρόμεος, ὡς παρὰ τὴν Διὸς γενικὴν, Διόμος, ὁ ἥρως ὁ πατὴρ Ἡρακλέους, ἀφ' οὗ Διόμεια ἑορτή· Ἀριστοφάνης ἐν Βατράχοις[1],

ὁπόθ' Ἡράκλεια τ' αν Διομείοις γίνεται.

Ἀνία: (Od. Μ. 223.) Ἡ λύπη· οἱονεὶ ἡ ἄνευ τοῦ ἰαίνειν οὖσα· ἡ μὴ ἰαίνουσα· Ἡρωδιανὸς δὲ ἡ ἄνευ ἰάσεως.

Ἀνόπαια: (Od. Α. 320.) Ὀπὴ ὀπαία καὶ ἀνόπαια ἡ καπνοδόχη· οὕτως Ἀριστοφάνης· τοὺς γὰρ ἀρχαίους οἴκους ἐν τῇ ὀροφῇ τὰς ἀναπνοὰς ἔχειν, ἢ ἡ τετρημένη κεραμίς· Κάσσιος δὲ Λογγῖνος,

ὄρνις δ' ὡς ἀνόπαια,

ἵν' ᾖ χελιδὼν ἀπὸ τῆς ὀπῆς, ἤγουν ἡ φωνητική· ἐπειδὴ ἐν Αὐλίδι τῆς Φωκίδος τὰ παρὰ Τηρέως λεγόμενα μυθολογεῖται· καὶ ἡ Πανόπη δὲ Φωκικὴ πόλις· ἢ ἀνόπαια, ἡ ἀόρατος· ἄλλοι δὲ ὀνοματικῶς ἐκδέχονται ὄνομα ὄρνιθος, ἣ οὔτε φωνὴν ἔχει, οὔτε ἐν ἡμέρᾳ φαίνεται.

Ἄντανδρος: Πόλις παραθαλασσία ὑπὸ τὴν Ἴδην, ἐπειδὴ Ἀσκάνιος αἰχμάλωτος γίνεται ὑπὸ Πελασγῶν, καὶ ἀνθ' ἑαυτοῦ τὴν πόλιν δέδωκε λύτρον, καὶ ἀπελύθη· ἡ ἀντὶ ἀνδρὸς δεδομένη.

Ἀντιφάρα: Ἡ ζάλη παρὰ Συῤῥακουσίοις· τὸ φέρω Δωριεῖς φάρω, καὶ τὸ τέμνω τάμνω, καὶ τὸ τρέπω τράπω· παρὰ τὸ φέρω οὖν φάρα, καὶ ἀντιφάρα, ἡ ἐναντίως φερομένη.

Ἄντρον: (Od. Ι. 216.) Ἀνάτορόν τι ὂν, τὸ ἀνατετρημένον· ἢ παρὰ τὸ ἄνθος ἀνθηρὸν, ἄνθρον, καὶ ἄντρον· Λειμωνίδων γὰρ νυμφῶν ἐνδιαίτημα· ἢ παρὰ τὸ ἄντομαι τὸ ἱκετεύω·

ἄζετο δ' ἀντομένην Ἥρην[m]·

καὶ

ἀλλ' ἀντόμεθα πρὸς Ζηνὸς Ὀλυμπίου·

ἐν ἄντροις γὰρ τοὺς θεοὺς ἱκέτευον, ἱερὰ τὰ σπήλαια ἡγούμενοι[n].

[1] v. 650. [m] Apoll. Rhod. III. 77. [n] Cf. Etym. M. p. 115, 1.

Ἄντρων: (Il. B. 697.) Ἡ χρῆσις παρὰ τῷ ποιητῇ· δηλοῖ δὲ πόλιν παρὰ τὸ ἀντρώδεις ἔχειν τόπους κοπτομένους λίθους αὐτόθεν εἰς μύλους ἐπιτηδείους.

Ἄπαστος: (Il. T. 346.) Ἄγευστος· ἔστι ῥῆμα[n] πάττω, καὶ σημαίνει τὸ ἐσθιῶ· ἔνθεν πόα, καὶ πηγὸς καὶ φηγός· ἡ πρώτη γὰρ τροφὴ ἀπὸ δρυῶν.

Ἀπηρής[o]: Ὁ ἀβλαβής· Ἀπολλώνιος Ἀργοναυτικοῖς[p]

νόστον[q] ἐπευφήμησεν ἀπηρέα[r] νισσομένοισι[s]

παρὰ τὸ ἀρὰν τὴν βλάβην· καὶ τὴν Ἀπόλλωνος· ἵν' ᾖ ὁ ἔξω βλάβης· οὐκ ἔστι δὲ τύπου τῶν διὰ τοῦ ηρης, ἐβαρύνετο γὰρ ἂν, ὡς χαλκήρης· κωπήρης.

Ἀπεκαίνυτο[t]: (Od. Θ. 127.) Καίνω τὸ φονεύω, καίνυμι, καὶ ἐκαίνυτο, μεταφορικῶς δὲ, κυρίως γὰρ ἐπὶ τῶν πικτευόντων[u] οἱ διὰ τοῦ φονεύειν νικῶσιν· ἀλλὰ καὶ ἐκ τοῦ πλείονος ἐπὶ τῶν πολεμούντων οἳ νικῶντες[x] φονεύουσιν.

Ἀραιὰς νῆας: Τὰς βλαπτικάς· ψιλοῦνται· ἀπὸ τοῦ ῥαίσειν τὸ φθείρειν· λέγονται δὲ οὕτως αἱ μὴ φροντίδες[y] ἀλλὰ στρατιωτικαί.

Ἀργειφόντης: (Il. B. 103.) Ὁ Ἑρμῆς καὶ ὁ ἀργὴς, ὁ ὄφις κατὰ τὴν Ἀργείων γλῶσσαν, καὶ ἐπὶ τὸν ὄφιν τὸν Πυθῶνα ἀνεῖλεν, ἀργειφόντης ἐκλήθη· οἷον ὀφιοκτόνος· ἢ ὁ ἀργὸς φόνου· ἢ ὅτι ἐν ἄργει[z] τὰς φαντασίας πέμπει· οἱ δὲ ὅτι Ἄργον τὸν Ἰοῦς φύλακα ἐφόνευσε.

Ἀργέννων: (Il. Σ. 529.) Ἀργὸς ὁ λευκὸς, ἀργεινὸς, ὡς ἐρατὸς ἐρατεινός· καὶ ἐνδείᾳ τοῦ ι, καὶ πλεονασμῷ τοῦ ν ἀργεννός· ἀργοὺς δὲ κῦνας, οἷον ἀρκοὺς, τοὺς ἐπαρκοῦντας.

Ἀργέτι δημῷ[a]: (Il. Λ. 817.) Παρώνυμόν ἐστιν ἀργὸς ὁ λευκὸς ἢ ὁ λαμπρός· ἀργὴς, ὡς γυμνὸς γυμνής· ὁμαλὸς ὁμαλής· τρανὸς τρανής· ἡ δοτικὴ ἀγῆτι[b] καὶ κατὰ συστολὴν ἀργέτι[c].

[n] Cod. male ἐπίῤῥημα. [o] Cod. ἀπειρής. [p] I. 556.
[q] Cod. νότον. [r] Brunck. ded. ἀκηδέα. [s] Cod. νιρομενοισι.
[t] Cod. ἀπεκαίνυντο. [u] An πυκτευόντων? [x] Cod. νικόντες.
[y] Leg. φορτίδες. [z] Leg. cum Etym. M. p. 136, 50. ἐναργεῖς.
[a] Cod. ἀργέτην δημῷ. [b] Cod. ἀργείτη. [c] Cod. ἀργέτη.

Ἀργιόδους: (Il. I. 535.) Ὁ μεγαλόδους· παρὰ τὸ αρι ἐπιτατικὸν μόριον, ἀριόδους, καὶ ἐν πλεονασμῷ ἀργιόδους· ὁ δὲ πλεονασμὸς, ὡς ἐπὶ τοῦ ἄγνοια, ἄνοια γάρ· καὶ γραῖα, ῥαῖα γὰρ, ἡ διαφθαρεῖσα ἐκ τοῦ χρόνου.

Ἄσταχυς: (Il. B. 148.) Καθόλου τὰ εἰς υς λήγοντα ἀρσενικὰ ὑπὲρ δύο συλλαβὰς προπαροξύνεσθαι θέλει· ἁπλᾶ τε καὶ σύνθετα· πέλεκυς· ἥμισυς· δίπηχυς, καὶ τ' ἄλλα· ταύτῃ οὖν καὶ τὸ ἄσταχυς ἅμα τῷ πλεονασμῷ προπαροξύνεται· τὸ ἐλαχὺς ὑπὲρ δύο συλλαβὰς ὂν ὀξύνεται· ὅθεν οὐκ ἠκολούθησεν αὐτῷ τὸ θηλυκὸν ἐλαχεῖα προπεριεσπάσθη γάρ.

νῆσος ἔπειτα λάχεια. (Od. I. 116.)

Ἀσφάραγος: (Il. X. 328.) Ἡ ἀρτηρία· παρὰ τὸ σφαραγεῖν· τὸ δὲ α κατὰ πλεονασμὸν, ὡς τὸ στεροπὴ παρὰ τὴν στέρησιν τῆς ὄψεως, καὶ ἀστραπή· καὶ ἀμύειν δὲ τὸ ἐπιπεπτώκεναι

πολλὰ δ' ἄπο χλωρῶν δενδρέων ἀμύοντα χαμάζε

ἀντὶ τοῦ μύοντα· καὶ τὸ τέναγος δὲ πεπλεόνακε τὸ α· τέγγω γάρ ἐστι τὸ διαβρέχω· τέγγος τὸ ἀκόλουθον πλεονασμῷ τοῦ α τέναγος.

Ἀγλευκής: Πλεονασμὸν ἔχει τοῦ ε· Ἐπίχαρμος·

ἀγλευκές ἐστ' ἄνθρωπος,

παρὰ τὸ γλυκύς· ἀγλυκὺς καὶ πλεονασμῷ τοῦ ε ἀγλυκὴς, ἢ παρὰ τὸ γλεῦκος ἀγλευκὲς, ἀντὶ τοῦ ἀηδέστατον.

Ἀναρροιβδεῖ: Οἷον

ἀναῤῥοιβδεῖ μέλαν ὕδωρ. (Od. M. 104.)

ἔστι τὸ ὅλον ἀναῤῥοφεῖ, οὗ ἐν πλεονασμῷ τοῦ ἰῶτα ἀναροιφεῖ, ἐπενθέσει τοῦ δ· καὶ ἐπεὶ οὐ δύναται δασὺ μέσου προηγήσασθαι, τρέπει τὸ φ εἰς β.

Ἄωρτο:

αἰὲν ἄωρτο· (Il. Γ. 272.)

οὐχ ὥς τινες ἠιώρητο, ἀκατάστατον γάρ.

Ἀλέγω: (Il. Θ. 483.) Τὸ α νῦν κατ' ἐπαύξησιν ἐστὶν, οὐ κατὰ στέρησιν· παρὰ τὸ λέγω, τὸ φροντίζω συντεθὲν, τὸ δὲ

ἀντίω[d] τινὲς φασὶν ὅτι ἀπὸ τοῦ ἀτίζω γέγονε καθ᾽ ὑφαίρεσιν τοῦ ζ· ὅπερ οὐκ ἔστιν ἀληθὲς, ἀλλὰ ἀπὸ τοῦ τίω συνετέθη τὸ ἀτίω, ὡς προείρηται.

⸆Ἀλέξω: (Il. Γ. 9.) Καὶ ἕψω καὶ αὔξω περισπῶνται, ἐπεὶ καὶ οἱ μέλλοντες αὐτῶν ἀλεξήσω καὶ ἑψήσω καὶ αὐξήσω· οἱ δὲ ⸆Ἀθηναῖοι ταῦτα βαρύνουσιν, ὅτι πᾶν ῥῆμα περισπώμενον διὰ διπλοῦ ἐκφερόμενον, ἢ δευτέρας, ἢ τρίτης ἐστὶ συζυγίας τῶν περισπωμένων· οἷον, διψῶ διψᾷς· ῥιζῶ ῥιζοῖς· εἰ δέ που εὑρέθη πρῶτα πάντως θέλει ἔχειν ὄνομα προϋποκείμενον· ἄδοξος ἀδοξῶ ἀδοξεῖς· φιλόδοξος φιλοδοξῶ φιλοδοξεῖς· ἐπεὶ οὖν τὸ ἀλέξω· ἕψω· αὔξω, πρώτης ᾖ συζυγίας, μὴ ἔχοντα προϋποκείμενον ὄνομα, εἰς ταύτην τὴν ἀπολογίαν φεύγοντες οἱ ⸆Ἀθηναῖοι ἐβάρυναν ταῦτα.

⸆Ἀηδίζομαι: Τέσσαρα ῥήματα ἀπὸ τοῦ α ἀρχόμενα φυλάττουσιν αὐτὸ[e] κατὰ τὸν παρατατικὸν, ἀηθέσσω ἀήθεσσον· καὶ ἀηδίζομαι ἀηδιζόμην· καὶ ἀΐω ἄϊον· καὶ ἄω ἄον· καὶ τὸ μὲν ἀήθεσσον καὶ ἀηδιζόμην οὐκ ἔτρεψαν τὸ α εἰς τὸ η· ἵνα μὴ εὑρέθῃ ἀλλεπάλληλον τὸ η· τὸ δὲ ἄω, τὸ πνέω, καὶ ἀΐω τὸ ἀκούω, ἵνα μὴ συμπέσωσιν ἑτέρῳ σημαινομένῳ· τὸ γὰρ ἀΐω εἰσέτρεψε τὸ α εἰς η· συνεμπεσεῖν εἶχε τὸ ἤϊον, τὸ σημαῖνον τὸ ἐπορευόμην· Ὅμηρος·

ἤϊον ὡς ἐκέλευες ἀνὰ δρυμὰ [πυκνὰ] φαίδιμ᾽ Ὀδυσσεῦ. (Od. K. 251.)

τὸ δὲ ἄω συνέπιπτε τὸ ἦεν τῷ σημαίνοντι τὸ ὑπῆρχον· Ὅμηρος,

ὃς ἐμὸς πρότερος πόσις ἦεν. (Il. Γ. 429.)

⸆Ἀσπιδιώτης: (Il. B. 554.) Παρὰ τὸ ἀσπὶς ἀσπίδος, ἀσπιδίτης, πλεονασμῷ τοῦ ω ἀσπιδιώτης· ἔστι δὲ καὶ ἄλλο ἀσπίδιος εἰρήμενον, ἔνθεν τὸ ὑπασπίδιος· οὐκ ἔστι οὖν πλεονασμὸς ἀλλὰ παραγωγή· ὡς ἴδιος ἰδιώτης· εὔιος εὐιώτης· ἥλιος ἡλιώτης καὶ ἀπηλιώτης· οὕτως ἀσπίδιος ἀσπιδιώτης.

⸆Ἀνήνοθεν:

αἷμ᾽ ἀνήνοθεν ἐξ ὠτειλῆς. (Il. Λ. 266.)

[d] Leg. vid. ἀτίω. [e] Cod. αὐτά.

μέσσου παρακειμένου ἐστὶν, ὡς δηλοῖ τὸ θ. τὰ γὰρ διὰ τοῦ ἐνεργητικοῦ παρακειμένου οὐδέποτε διὰ τοῦ θ ἐκφέρεται, ἀλλ' ἢ διὰ τοῦ κ· οἷον, πεποίηκα· ἢ διὰ τοῦ φ· οἷον, τέτυφα· ἢ διὰ τοῦ χ· οἷον, νένυχα· εἰ δέ τις εἴποι διατὶ οὐ κλίνεται ἄχρι τοῦ παρατατικοῦ; τὰ γὰρ διὰ τοῦ εθω ἄχρι τοῦ παρατατικοῦ κλίνεται· οἷον, ἐρέθω[f] *τὸ ἐρεθίζω· φλεγέθω· ἐμέθω, τὸ ἐμῶ· ἐροῦμεν ὅτι οὐκ ἔστι τοῦτο φύσει ἀπὸ τῶν διὰ τοῦ εθω· τὸ γὰρ θ ἀπὸ τοῦ ὑπερβιβασμοῦ ἔχει· ἔστι γὰρ ὁ ἐνεστὼς θέω, τὸ τρέχω, ἐκ τούτου γίνεται ἀναθῶ*[g] *καὶ συγκοπῇ ἀνθέω, ἐξ οὗ καὶ ἄνθος, καὶ καθ' ὑπερβιβασμὸν τοῦ ε ἀνέθω· τούτου μέσον παρακείμενον ἤνοθα*[h] *τραπέντος τοῦ ε εἰς ο, συνηθῶς καὶ ὁ Ἀττικὸς διπλασιασμὸς ἀνήνοθα, καὶ τὸ τρίτον ἀνήνοθε, ἀντὶ τοῦ ἀνένοθε· ὁμοίως καὶ Ἀχέρων ἀπὸ τοῦ ἄχος καὶ τοῦ ῥέω, ἀχηρέων σύνθετον, καὶ συγκοπῇ ἀχρέων, καὶ ὑπερβιβασμῷ τοῦ ε Ἀχέρων, ὁ τὰ ἄχη ῥέων.*

ΑΪΣΘΟΜΑΙ: *ἀπὸ τοῦ ἀΐω ῥήματος γίνεται ὄνομα ἄϊστος, καὶ ἀπὸ τούτου πάλιν γίνεται ῥῆμα μετὰ τῆς τροπῆς τοῦ τ εἰς θ ἀΐσθω, ἐξ οὗ καὶ ἡ ἀΐσθων μετοχή·*

ὁ δ' ἔβραχε θυμὸν ἀΐσθων· (Il. Π. 468.)

τὸ δ' ἀΐσθω κατὰ συναίρεσιν γέγονεν αἴσθω, οὗ τὸ παθητικὸν αἴσθομαι.

ἈΛΑΛΚΩΝ: *Ἄλκω ὁ δεύτερος ἀόριστος ἄλκον, καὶ ἡ μετοχὴ ἀλκὼν*[i]*, καὶ ἀναδιπλασιασμῷ ἀλάλκων, καὶ ἤλαλκον, καὶ ἡ μετοχὴ ἀλαλκὼν, ἐκ τοῦ ἄλκω, ὁ μέλλων ἄλξω, ἐξ οὗ ῥηματικὸν ὄνομα ἄλξ· οὗ ἡ δοτικὴ*

ἀλκὶ πεποιθώς. (Il. Ε. 299.)

ἌΗΤΟΝ:

τώ τ' ἐκ Θρῄκηθεν ἄητον. (Il. Ι. 5.)

ἀπὸ τοῦ ἄω, τὸ πνέω, παράγωγον εἰς μι ἄημι, οὗ τὸ τρίτον "ἄησι" παρ' Ἡσιόδῳ, τὸ πληθυντικὸν ἀέμεν, ἀέτε, τὸ δυϊκὸν ἀέτον, καὶ τροπῇ τοῦ ε εἰς η Αἰολικῶς, ὡς τὸ διζέμενος διζήμενος, καὶ τιθέμενος τιθήμενος·

[f] Cod. *ἀρέθω.* [g] Cod. *ἀναθρῶ.* [h] Cod. *ἤνυθα.* [i] Cod. *ἀλαλκών.*

δ' εὖρ' ἀμφ' ὤμοισι[k] τιθήμενον ἔντεα καλά. (Il. K. 34.)

δύναται καὶ παρὰ τὸ ἄω βαρύτονον, ἄετον, καὶ τροπῇ ἄητον.

Ἀλαλύκτημαι: (Il. K. 94.) Ἀντὶ τοῦ ἠδημόνημαι, καὶ ἠγώνισμαι· παρὰ τὴν ἄλην, ὃ σημαίνει τὴν πλάνην· ἀλῶ ἀλῶμαι, ἐκ τούτου παράγωγον ἀλύσσω, ἀλυκτὸς, ἐξ οὗ ῥῆμα ἀλυκτῶ, ἀλυκτήσω, ἠλύκτημαι, καὶ τὸ Ἀττικὸν ἀλαλύκτημαι·

Ἄραρεν:

ἄραρε γὰρ ὅρκος ἐκ θεῶν μέγας.

ἔστιν ἄρω ῥῆμα βαρυνόμενον, τὸ σημαῖνον τὸ ἁρμόζω, ἀφ' οὗ καὶ ἀόριστος,

ἄρσαντες κατὰ θυμόν. (Il. A. 136.)

ἀλλὰ καὶ περισπώμενον, ἀρῶ, ἀφ' οὗ ἀρέσω μέλλων, τούτου ὁ παρακείμενος ἐνεργητικῶς, ἦρκα· ὁ μέσος ἦρα, καὶ ἐν διπλασιασμῷ ἄρηρε, καὶ κατὰ τροπὴν Δωρικὴν ἄραρεν, καὶ ἄραρε, καὶ παρὰ μὲν τὸ ἄρηρα ἡ μετοχὴ ἀρηρώς·

φρεσὶν ἦσιν ἀρηρώς. (Od. K. 533.)

καὶ

χάλκε' ἐπίσσωτρα προσαρηρότα. (Il. E. 725.)

Δωρικῶς δὲ ἀραρώς· οὕτως καὶ τὸ ἀραρειημένη ἀπὸ τροπῆς· ἔστιν δὲ ὄνομα παρὰ τῷ ποιητῇ ἀρείη· ἀφ' οὗ ῥῆμα ἀρειῶ, ἀρειήσω, ἠρείηκα, ἠρείημαι, ἠρειημένος, ἠρειημένη, κατὰ διπλασιασμὸν ἀρηρειημένη, καὶ κατὰ συστολὴν ἀρηρειμένη.

Αὔω: Εἰ μὲν τὸ ξηραίνω δηλοῖ, γέγονε παρὰ τὸ ὕω, τὸ βρέχω, καὶ τὸ στερητικὸν α ἀΰω καὶ αὔω· εἰ δὲ τὸ φωνῶ[l], Ὅμηρος,

αὖε δ' Ἄρης ἑτέρωθεν. (Il. Y. 51.)

[m] τὸ πνέω ὥς φησιν Ἡρωδιανὸς, ἔνθεν καὶ αὐλὸς τὸ φωνητικὸν ὄργανον, ἐκ γὰρ τοῦ πνεύματος ἐξέρχεται ἡ φωνή· ἢ ἀπὸ τοῦ φῶ, τὸ λέγω, κατὰ παραγωγὴν φαύω, ὡς θλῶ θλαύω, ἀποβολῇ τοῦ φ αὔω, τῆς τοῦ φ δασείας ἐπικρατησάσης, ὡς ἐν τῷ χάζω ἄζω· ἔστι καὶ ἕτερον αὔω· καὶ σημαίνει τὸ λάμπω, ἐξ οὗ καὶ αὐλὴ γίνεται, παρὰ τὸ ἄω τὸ πνέω· ἡ γὰρ αὐλὶς καὶ περίφραγμα ὑπ' ἀνέμων καταπνεῖται.

[k] Cod. δεῦρ' ἀφ' ὤμοισι. [l] Cod. φαινῶ. [m] Est ibi parva lacuna.

ἈΡΧΗ ΤΟΥ ΒΗΤΑ ΣΤΟΙΧΕΙΟΥ.

Βάλλω: (Il. A. 52.) Τὸ βα βραχὺ διατί; τὸ α πρὸ δύο λλ ἐπιφερομένων συστέλλεται· θάλλος· μαλλός· ἄλλος· πάλλω, τὸ κινῶ· βάλλω· σεσημείωται τὸ μᾶλλον.

Βασιλεύς: (Il. A. 331.) Διατὶ οὐ συναιρεῖται ἐπὶ τῆς γενικῆς; τὰ εἰς ευς ὀνόματα τότε ἐπιδέχονται συναίρεσιν κατὰ τὴν γενικὴν, ἡνίκα πρὸ τοῦ ε φωνήεντι παραλήγεται· οἷον Στειρεὺς Στειρέεως Στειρέως· Νηλεὺς Νηλέεως Νηλέως· τότε δὲ μένουσιν ἀσυναίρετα, ἡνίκα πρὸ τοῦ ε σύμφωνον εὑρίσκεται.

Βάσκ' ἴθι: (Il. B. 8.) Τινὲς βάσκιθι ὡς ἄπιθι· καὶ οὐχὶ ἐν παραθέσει· ἀλλὰ κανών ἐστιν ὁ λέγων, ὅτι τὰ εἰς μι λήγοντα μεταθέσεων[n] φιλεῖ συντίθεσθαι· οἷον μέτειμι, καὶ σύνειμι, καὶ ἔξειμι· μετ' ἄλλων δὲ λέξεων οὐδαμῶς· τὸ οὖν ἴθι ἀπὸ τοῦ εἶμι, καὶ ὥστε δῆλον αὐτὸ ὅτι ἐν παραθέσει δεῖ ἀναγινώσκειν· τὸ δὲ βάσκε ἀπὸ τοῦ βάσκω, τὸ δὲ παρὰ τὸ βῶ βήσω, καὶ πλεονασμῷ τοῦ κ βήσκω· ἐπειδὴ οὐδέποτε βαρύτονος μετοχὴ διὰ τοῦ κ ἐκφερομένη μετάγεται εἰς ἐνεστῶτα· μετὰ βαρύτονος εἶπε διὰ τὸ πλακῶ, τὸ γὰρ κ ἔχει, ἀλλ' ἐστὶ περισπώμενον· καὶ τροπῇ τοῦ η εἰς α βάσκω.

Βουληφόρος: (Il. A. 144.) Τὰ ἐκ δύο τελείων συντιθέμενα ὀνόματα, ἐκ τεσσάρων πτώσεων συντίθεται· ἀπὸ εὐθείας, ὡς τὸ ζῶ ζωηφόρος, καὶ ἕως ἑωσφόρος· ἢ ἀπὸ γενικῆς, ὡς τὸ οὐδεὶς οὐδενὸς οὐδενόσωρος· ἢ ἀπὸ δοτικῆς, ὡς τὸ ἄρηϊ ἀρηΐφιλος· ἀπὸ αἰτιατικῆς, ὡς τὸ πόδα Ποδαλείριος· μόνον δὲ ἀπὸ κλητικῆς οὐ γίνεται σύνθεσις, ἐπειδὴ πᾶσα πτῶσις τρίπτωτός ἐστι πλὴν τῆς κλητικῆς· ἡ δὲ κλητικὴ αὐτοτελής ἐστι, καὶ πολλάκις τέλειον λόγον ἀποπληροῖ· ὡς τὸ,

ὦ μάκαρ Ἀτρείδη μοιρηγενὲς ὀλβιόδαιμον. (Il. Γ. 182.)

καὶ πάλιν,

διογενὲς Λαερτιάδη πολυμήχανε Ὀδυσσεῦ. (Il. B. 173.)

τὸ δὲ τέλειον μετὰ ἀτελοῦς οὐ συντίθεται· καὶ ἀποροῦσι τινὲς

[n] Leg. cum Etym. M. p. 190, 36. μετὰ προθέσεων.

ὅτι ἐπεὶ[o] ἀπὸ κλητικῆς οὐ συντίθεται, πῶς τὸ γυναιμανὲς ἀπὸ κλητικῆς ὦ γύναι, καὶ τοῦ μαίνομαι ῥήματος συνετέθη; ἔστι δὲ εἰπεῖν, ὅτι οὐκ ἀπὸ κλητικῆς τῆς ὦ γύναι συνετέθη· ἀλλ' ἀποκοπῇ ἐκ τῆς γυναικὸς γενικῆς, γυναικομανὲς καὶ γυναιμανές· ἔστι δὲ τὸ ῥῆμα φέρω καὶ φορέω,

ὡς δ' ἄνεμος ἄχνας φορέει. (Il. E. 499.)

ἀφ' οὗ φορητός· ἀπὸ δὲ τοῦ φέρω φερτὸς, ἔνθεν τὸ

συμφερτὴ δ' ἀρετή·

τὸ συγκριτικὸν προφερέστερος· ἔνθεν καὶ τὸ ὑπερθετικὸν, προφερέστατος· τὸ φέρω κατὰ τὸ τέλος συντίθεται, σπανίως δὲ κατ' ἀρχὴν, ὥσπερ τὸ Φέρεκλος· φερέσταχυς· βουληφόρος· τελεσφόρος· ἔστι βούλω, ὅθεν τὸ βουλεύω παράγωγον, ὡς ἄρχω ἀρχεύω· τὰ εἰς η λήγοντα φυλάττει τὸ η, ἢ τρέπει· οἷον, γῆ γηγενής· ὀδύνη ὀδυνήφατος· κρήνη κρηνοφύλαξ· πάντα τὰ παρὰ τὸ φέρω παροξύνεται· οἷον, φόρος βουληφόρος· εἰ μὴ ἄρα τύπος κωλύῃ διὰ τοῦ ευ μορίου καὶ τῆς ἐν προθέσεως καὶ τῆς α στερήσεως· οἷον εὔφορος· πρόσφορος· ἄφορος.

Βοτρυδόν: (Il. B. 89.) Τὸ δον μικρὸν διατί; τὰ εἰς ον ἐπιῤῥήματα πλὴν τοῦ χρέων· ἐμπόδων· ὀξύνεται· τὰ εἰς δον λήγοντα ἐπιῤῥήματα ὀξύνεται χωρὶς τοῦ ἔνδον.

Βοῶπις: (Il. A. 551.) Ποίου εἴδους τῶν ὑποπεπτωκότων τῷ ὀνόματι; προσηγορικοῦ.

Βοόωντα: (Il. B. 198.) Πλεονασμὸς τοῦ ο ποιητικῶς· τὸ δὲ βοῶ ἐκ τοῦ βοή· τὸ βο μικρὸν διατί; τὰ ἔχοντα τὸ ε ἐγκείμενον· καὶ ἔστιν ἐκ τοῦ βέω, καὶ πλεονασμῷ τοῦ ἰῶτα βείω· οἱονεὶ ἡ διὰ τῆς τραχείας ἀρτηρίας ἐκπεμπομένη φωνή.

Βοή: (Il. B. 408.) Ὄνομα προσηγορικὸν παρὰ τὸ βέω βοή· ὡς παρὰ τὸ χέω χοή· βέω δὲ σημαίνει τὸ τρέφω, ἢ τὸ βαίνω, ἤτοι ἡ διὰ τῆς ἀρτηρίας βαίνουσα, ἢ ἡ ἀναπεμπομένη ἐκ τῶν τρεφομένων πνευμάτων· τὰ εἰς η καθαρὰ λήγοντα δισύλλαβα τῷ η παραλήγεται, ὧνπερ κατάρχῃ ῥῆμα τὸ ε, καὶ ὀξύνεται· οἷον, πνέω πνοή· χέω χοή· βέω βοή[p].

[o] Cod. ἐπί. [p] Cf. Etym. M. p. 202, 30.

Βεβάσαν: (Il. Ρ. 286.) Βέβαα παρακείμενος τῶν εἰς μι· οἱ Ἴωνες ἡνίκα ἐν τοῖς ῥήμασι ὕφεσιν ποιήσονται τοῦ συμφώνου, τότε καὶ συστολὴ παρακολουθεῖ· οἷον ἕστηκα· βέβηκα· βεβαὼς, βεβαῶσι καὶ ἐμβεβαῶτα[q].

Βρέμεται: (Il. Β. 210.) Τὸ βρε ψιλόν· διατί; τὰ διὰ τοῦ εμω ῥήματα διὰ τοῦ ε ψιλοῦ γράφεται, πλὴν τοῦ μαιμῶσα, ἡ τοῦ αἵματος γευστικῶς ἔχουσα, ἡ ὁρμῶσα.

Βασκέμεν καὶ Ἐπιβασκέμεν: (Il. Β. 234.) Ῥήματα ἀπαρεμφάτου ἐνεστῶτος· καὶ οἱ Δωριεῖς τὰ εἰς ην ἀπαρέμφατα διὰ τοῦ εμ προφέρουσι· γίνεται ἐκ τοῦ βῶ βάσκω, ἐπειδὴ τὰ ῥήματα τῆς δευτέρας συζυγίας διὰ τοῦ ασκω γίνεται· οἷον γενειῶ γενειάσκω· ἀλῶ ἀλάσκω, καὶ κατὰ παραγωγὴν ἀλασκάζω, καὶ τροπῇ ἀλάσκαζον.

Βροτός: (Il. Γ. 223.) Ἐκ τοῦ μείρω μέμορα, γίνεται μορτὸς, καὶ ὑπερβιβασμῷ μροτὸς, καὶ τροπῇ βροτός· διατί; ἐπειδὴ οὐδέποτε τὸ μ πρὸ τοῦ ρ εὑρίσκεται ἢ κατὰ σύλληψιν ἢ διάστασιν· καὶ κατὰ σύλληψιν ὅτι οὐδέποτε ἀμετάβολον, εἶτα ἑξῆς· ἔστι δὲ συνώνυμον ἄνθρωπος, βροτὸς, μέροψ.

Βήσσηις: (Il. Γ. 34.) Ὄνομα γένους θηλυκοῦ· δοτικῆς τῶν πληθυντικῶν· ὡς Ἀθήναις Ἀθήνῃς· κορυφαῖς κορυφῇς· ἡ εὐθεῖα βῆσσα, καὶ συστέλλει τὸ α, ὡς τὸ κνίσσα.

Βουλω: Βαρύνεται· ἐπειδὴ τὰ εἰς ω λήγοντα βαρύτονα καθαρὰ δισύλλαβα παραληγόμενα τῇ ου διφθόγγῳ· δύο εἰσὶ βαρύτονα, καὶ δύο περισπώμενα· καὶ ταῦτα μὲν βαρύτονα εἰσὶ ταῦτα, βούλω καὶ οὔλω· ἐξ οὗ τὸ

οὖλέ τε καὶ μέγα χαῖρε. (Od. Ω. 401.)

τὰ δὲ περισπώμενα οὐλῶ, παρὰ τὸ οὐλὴ, ὃ σημαίνει τὸ τραῦμα, ἔνθεν καὶ τὸ κατούλωσε, καὶ τὸ δουλῶ, παρὰ τὸ δοῦλος.

Βασιλεύς: (Il. Α. 331.) Εἴδους τῶν ὑποπεπτωκότων· βασιλεὺς, προφήτης, ἄναξ· ταῦτα πρὸς μὲν τὰ προσηγορικὰ τασσόμενα, τάξιν ἐπιθετικὴν ἔχει· ὁ βασιλεὺς Κωνσταντῖνος· ὁ προφήτης Σαμουήλ· ἐπιθέτοις δὲ συμπλεκόμενα, προσηγορικὰ γίνεται· ὁ καλὸς βασιλεύς· ὁ εὐκλεὴς δεσπότης· ἔστι δὲ ὅτε

[q] Cod. ἐν βεβαῶτα.

τὰ ἐπίθετα τὰ αὐτὰ καὶ προσηγορικὰ καὶ ἐπιθετικὰ γίνεται· πῇ μὲν ὑποκείμενα, πῇ δὲ ἐπιτιθέμενα· δίκαιος, σοφὸς, μέγας· ταῦτα δὴ ἐπίθετα ὄντα πολλάκις προσηγορικῶν καὶ ἐπιθετικῶν σύνταξιν ἔχουσιν, ἀλλήλοις ὑποκείμενά τε καὶ ἐπιτιθέμενα· οἷον, δίκαιος· σόφος· μέγας· σοφὸς δίκαιος καὶ μέγας δίκαιος.

Βίβημι : Ὁ παρατατικὸς ἔβη

ἀν' δ' ἄρ' ἔβη Πρίαμος. (Il. Γ. 261.)

βαίνειν δὲ λέγεται τὸ ἁπλῶς διὰ τῶν σκέλων βαδίζειν, καὶ ἀναβαίνειν, ἡ ἀπὸ τῶν κάτω εἰς τὰ ἄνω ἀνάδοσις· λοιπὸν ἐκ τοῦ βίβημι γίνεται ὁ μέλλων βήσω· μετάγεται ὁ μέλλων εἰς ἐνεστῶτα, καὶ γίνεται βήσω, καὶ ὁ μέλλων οὐκ ἔχει· τὰ ἀπὸ μελλόντων εἰς ἐνεστῶτα μεταγόμενα ἄχρι τοῦ παρατατικοῦ κλίνεται[r].

Βεβουλα : (Il. Α. 113.) Παρακείμενος ἐκ τοῦ βούλω· ὁ μέλλων βουλήσω· ὡς μέλω μελήσω.

Βάλλετε : (Il. Γ. 82.) Σημαίνει τὸ τοξεύετε· βολὴ γὰρ κυρίως ἀπὸ τόξου.

Βιός : (Il. Δ. 125.) Διὰ τὴν πρὸς τὸν βίον διαστολήν· ἔοικε δὲ ὑπὸ τῶν ἀρχαίων ὁμωνύμως λέγεσθαι βιὸς τὸ τόξον, καὶ ἡ ζωή· ἔστι δὲ παρὰ τὴν βίαν· τὸ δὲ σημαίνει τὸ τόξον, διότι δι' αὐτοῦ τὰ πρὸς τὸν βίον εἶχον οἱ ἀρχαῖοι ἐν ταῖς θήραις αὐτῶν χρώμενοι.

Βλήδην καὶ ὑποβλήδην : (Il. Α. 292.) Ὥσπερ ἐκ τοῦ καλῶ κλῶ, ἐπίῤῥημα κλήδην, οὕτω βλῶ βλήδην, καὶ ὑποβλήδην.

Βέλεσι : (Od. Π. 277.) Παρὰ τὸ βάλλω, τὸ τιτρώσκω, ἢ παρὰ τὸ βέλλω, τὸ σημαῖνον τὸ πέμπω, βέλος καὶ ἀφαιρέσει τοῦ ἑνὸς λ.

Βαλών : (Il. Ε. 145.) Αἱ εἰς ων λήγουσαι μετοχαὶ τοῦ δευτέρου ἀορίστου ὀξύνονται· δραμών· βαλών· πιών· ἐλθών· ἀντίκειται τὸ πέφνων· αἱ γὰρ εἰς ων λήγουσαι μετοχαὶ πότε ἐν ἐπιπλοκῇ οὐκ ἔχουσαι σύμφωνον, ἐὰν τὸ δεύτερον ἐστὶν ἀμετάβολον πάντως βαρύνεται· τέμνων· κάμνων· τοιοῦτον καὶ τὸ πέφνων.

[r] Cf. Etym. Gud. p. 108, 40.

Βάλλον: (Il. M. 155.) Ῥῆμα ὁριστικὸν πληθυντικόν· δύναται εἶναι καὶ ἑνικῶς ἔβαλον. λέγω χρόνου παρατατικοῦ συζυγίας πέμπτης· ἀπὸ τοῦ βάλλω βλῶ βλῆμι· ὁ δεύτερος ἀόριστος ἔβλην· εὐκτικὸς βλείην· ἀφ' οὗ τὸ δεύτερον βλείης, καὶ μετὰ τῆς θα βλείησθα· ἡ μετοχὴ βλεὶς, ὡς θείς· καὶ ὡς θείην θείμην, οὕτως ἀπὸ τοῦ βλείμην βλεῖο· τὸ δὲ βεβλήατο, κατὰ δὲ ἔκτασιν βεβολήατο, ὡς τὸ πεφοβήατο.

Βελλεροφόντης· Βελλεροφόντου: (Il. Z. 220.) Τὰ εἰς της ἀρσενικὰ, μὴ ὄντα σύνθετα παρὰ τὸ κρατῶ ἢ κράτης, μὴ δὲ ἔχοντα οὐδέτερον εἰς ες, εἰς ου ἔχει τὴν γενικήν· οἷον, πολίτης πολίτου· δεσπότης δεσπότου· μητιέτης μητιέτου· Βελλεροφόντης Βελλεροφόντου· πρόσκειται ἀρσενικὰ διὰ τὸ φιλότης· κακότης· πρόσκειται μὴ ὄντα σύνθετα παρὰ τὸ κρατῶ ἢ κράτης, διὰ τὸ Ἱπποκράτης Ἱπποκράτους, καὶ Σωκράτης Σωκράτους· πρόσκειται μὴ ἔχοντα οὐδέτερον εἰς ες, διὰ τοῦ ἐνναέτης ἐνναέτους· τοῦτο δὲ εἰ μὲν σημαίνει τὴν σωματικὴν ἡλικίαν, ἐνναέτης βαρυτόνως· εἰ δὲ σημαίνει τὸν χρόνον ἐνναετὴς ὀξυτόνως.

Βία: (Il. A. 404.) Ἡ δύναμις παρὰ τὴν ἶς, ὃ σημαίνει τὴν δύναμιν· ψιλοῦται· διὰ τοῦ ἰῶτα· τὰ γὰρ εἰς ις δικατάληκτα δίφθογγον οὐκ ἔχει· ἔστιν ἡ εὐθεῖα ἴς· ἡ γενικὴ ἰνός· ἡ εὐθεῖα τῶν πληθυντικῶν ἶνες· καὶ ἡ γενικὴ ἴνων· καὶ σημαίνει δὲ τὰ νεῦρα, τοῦτο παρὰ τὸ ὦ, τὸ ὑπάρχω· ἡ γὰρ δύναμις ὑπάρχει· ἐκ τοῦ ἶς τὸ θηλυκὸν ἴα, καὶ πλεονασμῷ τοῦ β βία.

Βιῴην: Ἔχει τὸ ἰῶτα, εὐκτικὴ γάρ ἐστί· βιοὺς βιοῦντος· βιοῖμι βιοῖς βιοῖ, καὶ κατὰ πλεονασμὸν τοῦ η βιοίην, ὡς περιπατοῖμι περιπατοῖς, περιπατοῖ· καὶ κατὰ ἔκτασιν τοῦ ο εἰς ω, περιπατῴη, καὶ δοίη δῴη.

Βροτός: (Il. Γ. 223.) Μείρω μαρτὸς, ὡς φθείρω φθαρτος· καὶ ἐπεὶ οὐ δύναται εἶναι μρ, ἀφιστᾶ τὸ μυ, καὶ τοῦ[s] α εἰς ο τραπέντος, συνυπελθόντος τοῦ β, ἀποτελεῖται τὸ βροτός· τὸ οὖν ὀφειλόμενον μ τῷ ἁπλῷ ἡ σύνθεσις ἀναπληροῖ, ὡς ἐν τῷ

[s] Cod. τὸ α.

τερψίμβροτος[t]· *ἄμβροτος· σεσημείωται δύο ἐν οἷς τὸ μυ οὐ προέρχεται συνθέτοις οὖσιν· ἀμφιβρότη·*

ἂν δ' ἕλετ' ἀμφιβρότην. (Il. Λ. 32.)

διὰ τὸ ἐν τῇ προθέσει ἔχειν τὸ μ, καὶ ἐπὶ τοῦ νὺξ καὶ βρότη διὰ τὸ μέτρον.

Βλῆτο:

βλῆτο γὰρ οὔτι κάκιστος. (Il. Π. 570.)

ἀπὸ τοῦ βλῶ βέβλημαι, τὸ ἐβεβλήμην, ἐβέβλητο, καὶ κατὰ πάθος, βλῆτο, ὡς παρὰ τὸ βεβλῆσθαι ἀπαρέμφατον, βλῆσθαι,

πρὶν βλῆσθαι Μενέλαον. (Il. Δ. 115.)

κατὰ ἀφαίρεσιν τοῦ βε· τὸ τρίτον τῶν πληθυντικῶν βέβληντο· Ἰωνικῶς βεβολήατο,

χθαμαλὸν βεβολήατο εἶναι. (Od. Λ. 193.)

Βέλος:

ὅττι ῥά οἱ βέλος ὠκὺ ἐτώσιον ἔκφυγε χειρός. (Il. Ξ. 407.)

νῦν πτώσεως εὐθείας, ὅτι αὐτὸ τὸ βέλος ἔχει τὸ ἐκφυγεῖν. ἐπὰν δέ τις εἴπῃ βέλος ὠκὺ ἔβαλε, τότε αἰτιατικῆς, παρὰ τὸ βάλλω.

Βάλετο:

ἂν δὲ νάκην βάλετ'[u] αἰγός. (Od. Ξ. 530.)

τὸ θέμα βάλλω βλῶ βλῆμι· ὅθεν τὸ

βλήμενος ἠὲ τυπείς. (Il. Ο. 495.)

καὶ τὸ

ἠτ' ἔβλητ' ἠτ' ἔβαλ' ἄλλον (Il. Λ. 410.)

καὶ ὡς ἀπὸ τοῦ τίθημι θείην· ἵημι ἵην, οὕτως βλῆμι βλείην βλείς· καὶ ὡς θείην θείμην, οὕτως βλείην βλείμην, τὸ δεύτερον βλεῖο,

εἴπερ γάρ κε βλεῖο πονεύμενος. (Il. Ν. 288.)

καὶ ῥηματικὸν ὄνομα βλῆτρον,

κολλητὸν βλήτροισιν. (Il. Ο. 678.)

Βοήν:

βοὴν ἀγαθὸς Διομήδης. (Il. Β. 563.)

ὀξύνεται τὸ βοή· τὰ εἰς η καθαρὰ τῷ ο παραληγόμενα ὧν προ-

[t] Cod. τερψίβροτος. [u] Edd. Libr. ἕλετ'.

καταρχὴν ῥημάτων τῷ ε παραληγόμενον, πάντα ὀξύνεται· ζέσω[x] *ζοή· πνέω πνοή· χέω χοή· βαίω*[y] *τὸ σημαῖνον τὸ βαίνω, ἢ τὸ τρέφω*

> οὐ γάρ μοι δηρὸν (Il. Ω. 131.)

βέη βοή. ἤτοι διὰ τῆς ἀρτηρίας βαίνουσα, ἢ ἀναπεμπομένη ἐκ τῶν τρεφομένων πνευμάτων· τὰ δὲ μὴ οὕτως ἔχοντα βαρύνεται· φθόη· χνόη· χλόη·

Βληχρόν: *Πίνδαρος μὲν βληχρὸν τὸ ἰσχυρὸν*

> πρόφασιν βληχροῦ γίνεται νείκεος

φησί· διὰ τοῦτο λαμβάνων τὸ α στερητικὸν αὐτὸ ἡγεῖται καὶ βαρύνει· αὔληχρος[z]*· ἔνθεν Ἡρακλείδης ὁ Μιλήσιος κατὰ βαρεῖαν τάσιν τὸ θηλυκὸν ἀνέγνω ἀμβλήχρην· ἡγεῖται γὰρ στέρησιν οὐ πλεονασμόν· λέγομεν δὲ ὅτι βληχρὸν σημαίνει τὸ ἀσθενές· οἷον*

> βληχρῶν ἀνεμῶν ἀχείμαντοι πνοαί[a]·

τὸ δὲ αὐληχρὸν κατὰ πλεονασμόν· εἴρηται δὲ βληχρὸν τὸ ἀσθενὲς ἀπὸ τοῦ πίπτοντος ἢ καταβάλλοντος· βέβληται, βληχρὸς ὁ πίπτων, ὅσπερ ἐστὶν ἀσθενής· ἐπὶ[b] *δὲ τοῦ σημαίνοντος τὸ ἰσχυρὸν, βέβληκε βληχρὸς, ὁ βάλλων, ὅπερ ἐστὶν ἰσχυρός.*

Βεβρώθω: (Il. Δ. 35.) *Ὡς ἐπὶ τὸ πλεῖστον μὲν ἀπὸ τοῦ ἐνεστῶτος γίνεται ἡ παραγωγὴ, ὥσπερ ἀπὸ τοῦ τιθῶ τίθημι, καὶ ὀκνῶ*

> ὀκνείω δ' ἵππων ἐπιβαινέμεν ὠκειάων. (Il. E. 255.)

γίνεται δὲ ἀπὸ τοῦ μέλλοντος

> τώ ῥ' οἵγ' ὀψείοντες ἀϋτῆς[c] καὶ πολέμοιο. (Il. Ξ. 37.)

καὶ βρώσω βρωσείω, καὶ νοήσω νόσω καὶ νώσκω καὶ γινώσκω· ἀλλ' οὖν ἀπὸ μέσου παρακειμένου ἐνίοτε, ὡς ἀπὸ τοῦ ὦρα, ὄρωρα, καὶ ὀρώρω καὶ ὀρώρει

> ὀρώρει δ' οὐρανόθεν νύξ. (Od. E. 294.)

ὅμως καὶ ἀπὸ τοῦ βέβρωθα τὸ βεβρώθω

> ὠμὸν βεβρώθοις Πρίαμον. (Il. Δ. 35.)

[x] Sic Cod. [y] Leg. *βέω*. [z] Sic MS. [a] Hoc Alcæi esse frag. docemur a Schol. Venet. Il. Θ. 178. et Eustath. Il. p. 589, 32=705, 61. Etym. M. in v. *Βληχρὸν* laudat Pindarum et Alcæum sed fragm. omittit. [b] Cod. *ἐπεί*. [c] Cod. *ἀϋτῷ*.

Βλαστῶ: Πρώτης συζυγίας, καὶ δευτέρας καὶ τρίτης· πρώτης μὲν ὡς ἐπὶ τοῦ

βλαστεῖ δ' ἐπὶ γῆς δένδρεα παντοῖα βρύοντα[d]·

καὶ τὸ πληθυντικὸν βλαστοῦμεν· τῆς δὲ δευτέρας διὰ τοῦ ω· καὶ τὸ μὲν βλαστεῖς καὶ βλαστᾶς τοῦ αὐτοῦ σημαινομένου εἶεν ἄν· τὸ δὲ βλαστοῖς σημαίνει τὸ βλαστὸν παρατίθημι· τὰ γὰρ πλεῖστα τῆς τρίτης περισπωμένων παράγωγα εἰσὶ, καὶ προηγεῖται αὐτῶν ὀνόματα· πλεῖστα δὲ εἴπομεν διὰ τὸ ἀρῶ· ὀνῶ· ὁμῶ.

Βάτην: Ὥσπερ τὸ

κούρω δὲ κριθέντε δύω καὶ πεντήκοντα. (Od. Θ. 48.)

πρὸς τὸ δύο τὸ δυϊκὸν, οὐ πρὸς τὸ πεντήκοντα, οὕτως καὶ τὸ,

τὼ δὲ βάτην παρὰ θῖνα. (Il. A. 327.)

πρὸς τὸ Ὀδυσσέα καὶ Αἴαντα· ὁ γὰρ Φοίνιξ προήει· τριῶν γὰρ ἀπεσταλμένων, Φοίνικος, Αἴαντος, Ὀδυσσέως, δυϊκῶς εἶπε τὸ βάτην· ὅτι δὲ τὸν Φοίνικα πρῶτον ἀπελθεῖν ἐκέλευσεν δῆλον

Φοίνιξ μὲν πρώτιστα Διῒ φίλος ἡγησάσθω. (Il. I. 168.)

εἰ γὰρ καὶ μετ' αὐτῷ ἦν, οὐ προηγήσατο ἂν αὐτὸς Ὀδυσσεὺς, οἰκειότερος γὰρ Ἀχιλλῆϊ ὁ ἥρως, ἐπάγει γὰρ

ἡγεῖτο δὲ δῖος Ὀδυσσεύς. (Il. I. 192.)

φασὶν οὖν ὅτι οὐ[e] πρὸς τὸ τρεῖς τὸ δυϊκὸν, ἀλλὰ πρὸς τοὺς δύο· τούτου οὖν ἤδη ἀπελθόντος λοιπὸν περὶ τῶν δύο εἶπεν· ὑπέλαβον δέ τινες ταῦτα τὰ δυϊκὰ εἰλῆφθαι ἀντὶ τῶν πληθυντικῶν.

Βεβολήατο:

πένθεϊ δ' ἀτλήτῳ βεβολήατο πάντες ἄριστοι. (Il. I. 3.)

βεβολέατο ἦν, ὥσπερ ἀπὸ τοῦ βεβόληντο· ἀλλ' ἔκτασιν ἔχει ποιητικὴν τοῦ ε εἰς τὸ η, διὰ τὴν ἐπαλληλίαν τῶν βραχέων· τοιοῦτον ἐστὶ καὶ τὸ πεφοβήσατο

οἵ ῥ' ἔτι πὰρ ποταμὸν πεφοβήατο δινήεντα. (Il. Φ. 206.)

καὶ τὸ δεδμήατο

ἦ ῥά νύ τοι πολλοὶ δεδμήατο κοῦροι Ἀχαίων. (Il. Γ. 183.)

[d] Sic et Soph. El. 422. βλαστεῖν βρύοντα θαλλόν. [e] Cod. om. οὐ.

τοῦτο δὲ καὶ συγκεκομμένον ἐστί· δεδαμέατο γὰρ ἦν τὸ ἐντελές· δύο οὖν πάθη ὑπέμεινε, συγκοπὴν τοῦ α, καὶ ἔκτασιν τοῦ ε εἰς η· τοιοῦτον δὲ καὶ τὸ πεποτήαται

αἱ μὲν τ' ἔνθ' ἅλις πεποτήαται. (Il. B. 90.)

καὶ παρὰ τὸ ἀκάχω ἠκάχητο, καὶ ἠκαχέατο· τὸ οὖν ἀκαχειάτο[f] δύο ὑπέστη πάθη, τῆς ἀρχούσης συστολὴν καὶ ἔκτασιν διὰ τοῦ ἰῶτα προσθήκης.

᾿ΑΡΧΗ ΤΟΥ ΓΑΜΜΑ.

Γαῖα: (Il. A. 254.) Διατὶ βαρύνεται; τὰ εἰς α λήγοντα θηλυκὰ τῇ αι διφθόγγῳ παραληγόμενα, εἴτε δισύλλαβα, εἴτε ὑπὲρ δύο συλλαβὰς, μονογενῆ, πρὸ μιᾶς ἔχουσι τὸν τόνον· δισύλλαβα μέν· οἷον, μαῖα· γαῖα· ὑπὲρ δύο δὲ συλλαβάς· οἷον, σεληναία· ἁμαξαία· πρόσκειται μονογενῆ, διὰ τὸ γηραιὰ, καὶ τὸ δηναιά· ταῦτα γὰρ τριγενῆ ὀξύνονται· τὸ μέντοι ἀνόπαια

ὄρνις δ' ὡς ἀνόπαια. (Od. A. 320.)

οὐκ ἔστι θηλυκὸν ἀλλ' οὐδέτερον, εὐθεῖα τῶν πληθυντικῶν, ἐπιρῥηματικὴν τάξιν ἔχουσα.

Γάρ: (Il. A. 9.) Τίνι ἰσοδυναμεῖ ὁ γάρ; τῷ ὅτι. διαφέρει δὲ αὐτὰ τάξει· ὅτι ὁ μὲν ὅτι προτάσσεται, ὁ δὲ γὰρ ὑποτάσσεται· οἷον "ὅτι ἐπαιδεύθησαν[g] ἐτύφθησαν" προετάγη τὸ ὅτι· ἐπὶ δὲ τοῦ γὰρ ὑπετάγη· οἷον "ἐτύφθησαν[h] ἐπαιδεύθησαν[i] γάρ."

Γέρων· γέροντος: (Il. A. 33.) Τὰ εἰς ρων ὀνόματα δισύλλαβα, [ῥήματα] μὴ ὄντα συγκριτικὰ, φυλάττει τὸ ω ἐπὶ γενικῆς· οἷον, Μύρων Μύρωνος· Χάρων Χάρωνος· τὸ οὖν γέρων οὐκ ἐφύλαξε τὸ ω, διότι ὡς μετοχὴ ἐκλίθη· συνεξηκολούθησε γὰρ τῇ φέρων φέροντος· τὸ δὲ γέρων οὐκ ἔστι μετοχὴ, ἀλλ' ὄνομα· εἰ γὰρ ἦν μετοχικὸν, φυλάττειν εἶχε τὸ ω ἐπὶ κλητικῆς· ἡ γὰρ μετοχὴ καὶ τὰ μετοχικὰ ὀνόματα τὰς αὐτὰς ἔχουσιν ὀρθὰς καὶ κλητικάς· τὸ δὲ γέρον διὰ τοῦ ο μικροῦ

[f] Cod. ακαχήατο (ει written above η). [g] Cod. ἠπαιδεύτησαν. [h] Cod. ἐτυφθηθ^ς. [i] Cod. ἠπαιδεύτησαν.

γράφεται· γίνεται παρὰ τὸ ἔρω, τὸ φθείρω, ἔρων[k] καὶ γέρων· ὁ[l] μετὰ φθορᾶς εἰς τὸν ᾅδην πορευόμενος· ἢ παρὰ τὸ εἴρω, τὸ λέγω, λεκτικοὶ γὰρ οἱ γέροντες[m], καὶ Ὅμηρος,

ἀλλ' ἀγορηταὶ ἐσθλοί. (Il. Γ. 150.)

ἢ παρὰ τὸ γέρας, ὃ σημαίνει τὴν τιμήν· ἢ παρὰ τὸ εἰς γῆν ὁρᾶν.

ΓΝΆΜΠΤΩ: (Il. Γ. 348.) Ἐκ τοῦ κάμπτω μετὰ τῆς ἀνὰ προθέσεως, ἀναγνάμπτω· ἡ δὲ ἀνὰ πρόθεσις σημαίνει τὴν ἐξ ὕστερον ἐπάνοδον· βαρύνεται· τὰ εἰς πτω λήγοντα ῥήματα εἰ μὴ προκατάρχῃ ὄνομα, βαρύνεται· καλύπτω· λάπτω·

λάπτοντες γλώσσῃσιν ἀραιῇσι. (Il. Π. 61.)

βλάπτω· ὄπτω· τὸ δὲ ὀπτῶ περισπώμενον ἐκ τοῦ ὄπτω βαρυτόνου γεγονὸς, ὡς διαλλάξαν κατὰ τὸ σημαινόμενον, διήλλαξε καὶ κατὰ τὸν τόνον· εἶπεν εἰ μὴ προκατάρχοι ὄνομα, διὰ τὸ ἀέλπτω· ἔστι γὰρ ὄνομα τὸ ἄελπτος, καὶ ἀπεπτῶ ἄπεπτος.

ΓΛΑΦΥΡΗ͂ΣΙΝ: (Il. Ε. 327.) Ὄνομα ἡ γλαφυρά· τὸ ἀρσενικὸν ὁ γλαφυρός· γίνεται δὲ παρὰ τὸ γλάφω τὸ διορύττω, ἐξ οὗ καὶ γλάφυ· σημαίνει τὸ σπήλαιον

γλάφυ πετρῆεν[n]

ἔστι οὖν γλάφω γλάψω ἔγλαψαν, ἡ μετοχὴ γλάψας· Ὅμηρος

εὐνὰς ἐν ψαμάθοις γλάψας ἁλίῃσιν. (Od. Γ. 38.)

ἐπὶ δὲ τοῦ ἡδέος, παρὰ τὸ διορύττειν, καὶ κινεῖν τὴν ἀκοὴν πρὸς ἡδονήν.

ΓΛΥΚΥ΄Σ: (Il. Α. 610.) Γλυκίων· ἡ κλητικὴ ὦ γλυκύ· τὰ εἰς ων ὑπὲρ δύο συλλαβὰς ἀναβιβάζουσι τὸν τόνον κατὰ τὴν κλητικήν· οἷον, ὦ ἄρειον· ὦ βέλτιον, καὶ ὦ γλύκιον· γίνεται παρὰ τὸ γλεῦκος, ὁ νεωστὶ ἀποστάζων ἐκ τοῦ ληνοῦ οἶνος.

ΓΛΑΥΚΩ΄ΠΙΔΟΣ: (Il. Ζ. 88.) Ὁ κανών· τὰ εἰς ις θηλυκὰ, εἴτε ἁπλᾶ, εἴτε σύνθετα, διὰ τοῦ π ἐκφερόμενα, διὰ τοῦ δος κλίνεται· οὐκ ἔστι δὲ ὁ κανὼν, ὡς τὸ δραπέτις· ἔστι γὰρ καὶ ἀρσενικὸν ὁ δραπέτης, οὕτως καὶ ὁ γλαυκώπης· καὶ πόθεν δῆλον ἐκ τοῦ εἰπεῖν τὸν ποιητὴν

[k] Cod. ἔρνων. [l] Cod. οἱ. [m] Cod. male λέγοντες. [n] Hesiod. Op. II. 151.

σοί τε κυνῶπα. (Il. A. 159.)

ἐκ τούτου δῆλον ἀρσενικὸν εἶναι ὄνομα, καὶ τὰ λοιπά.

Γυνή: (Il. A. 348.) Τὰ εἰς νη θηλυκὰ δισύλλαβα τῷ η ἢ τῷ υ παραληγόμενα, ἐκτείνει αὐτό. μύνη, ἡ πρόφασις· βύνη, θεὸς, ἥτις καὶ Ἰνὼ ὕστερον ἐκλήθη· Φρύνη ὄνομα κύριον· τὸ μέντοι γυνὴ συστέλλει τὸ υ, καὶ εἰκοτως, ὡς μονῆρες, ἄκλιτον ἔμεινεν.

Γέρα: (Il. B. 237.) Ὄνομα εὐθεῖα τῶν πληθυντικῶν· Ἰωνικῶς τὰ γέραα, καὶ κατὰ συγκοπὴν τὰ γέρα· γίνεται παρὰ τὸ ἐρῶ ἔρας καὶ γέρας· πᾶς γάρ τις γεράτος καὶ τιμῆς ἐπιθυμεῖ.

Γελῶ: (Il. B. 270.) Περισπᾶται· τὰ εἰς λω λήγοντα καθαρὰ ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς ε καταλήγουσαν, μὴ ἀπὸ συμφώνου μέσου, βαρύνεται, διὰ τὸ γελῶ γελάσω.

Γνώσεαι: (Il. B. 367.) Καὶ γνώσεται γνώσεαι.

Γέρανος: (Il. B. 460.) Γήρευνός τις ὢν· ὁ τὰ τῆς γῆς ἐρευνῶν σπέρματα· ὅστις καὶ σπερμολόγος καλεῖται· ἔχει δὲ καὶ βραχὺ τὸ α· ἔστι δὲ καὶ εἰδικόν.

Γυῖα: (Il. Γ. 34.) Ὄνομα γένους οὐδετέρου εὐθεῖα τῶν πληθυντικῶν· ἔστι γὰρ τὸ γύον, γίνεται δὲ παρὰ τὸ γυία, ὃ σημαίνει τὰς χεῖρας, διὰ γὰρ τῶν χειρῶν τὰ ἔργα ἐκτελεῖται· ἢ παρὰ τὸ γύη, ὃ σημαίνει τὴν γῆν· τὸ ἰῶτα πλεονάζει, καὶ γίνεται γυίον.

Γυναιμανές: (Il. Γ. 39.) Ὄνομα ἀρσενικὸν κλητικόν· ἡ εὐθεῖα γυναιμανής· καὶ γίνεται, ὥσπερ παρὰ τὸ κελαινὸν καὶ τὸ νέφος κελαινεφὴς καὶ κελαινεφές[o]· οὕτω παρὰ τὸ γυνὴ γυναικὸς, καὶ τὸ μαίνω μανῶ, κατὰ συγκοπὴν γυναιμανὴς, καὶ ἡ κλητικὴ γυναιμανές.

Γάμος: (Il. E. 429.) Παρὰ τὸ δαμῶ δάμος καὶ γάμος· ἐτυμολογεῖται δὲ παρὰ τὸ δύο ἅμα εἶναι, καὶ κατὰ μετάθεσιν τοῦ δ εἰς γάμμα.

Γεγαυῖα: (Il. Γ. 199.) Μετοχή· τὸ ῥῆμα γῶ, ἐξ οὗ τὸ γείνω, ὁ μέλλων γήσω, ὁ παρακείμενος γέγηκα· καὶ οἱ Ἴωνες

[o] Cod. κελενεφές.

ἐπὶ τοῦ παρατατικοῦ ἡνίκα ὕφεσιν ποιήσωσι τοῦ συμφώνου, τότε καὶ συστολὴ τοῦ φωνήεντος ἀκολουθεῖ· βέβηκας βεβάασιν, οὕτως καὶ γέγηκα γέγαα, καὶ ἡ μετοχὴ γεγαὼς γεγαῶτος, καὶ τὸ θηλυκὸν γεγαυῖα, καὶ τὸ γεγῶσα παρ' αὐτό· κανὼν γὰρ ἐστὶν ὁ λέγων, αἱ εἰς ως μετοχαὶ, εἰ μὲν ὦσιν ἀπαθεῖς, διὰ τοῦ ο κλίνεται· καὶ τὸ θηλυκὸν ἔχουσι διὰ τοῦ υια· εἰ δὲ παθητικαὶ, κλίσιν μὲν ἔχουσιν διὰ τοῦ ω, τότε δὲ καὶ τὸ θηλυκὸν εἰς α μεταποιοῦσι· ἑστὼς ἑστῶσα· γεγὼς γεγῶσα.

Γυνή· γυναικός: (Il. A. 348.) Ἑτερόκλιτόν ἐστι· τῆς μὲν γυναικὸς γενικῆς ἡ εὐθεῖα ἀπέλειψεν· ὤφειλε γὰρ εἶναι γύναιξ· ἀλλ' ἐπειδὴ τὰ εἰς ξ λήγοντα ἀρσενικοῦ γένους εἰσίν· οἷον Θρᾷξ· ἐὰν δὲ ὦσιν ἀρσενικοῦ, πάντως καὶ θηλυκοῦ· οἷον ὁ αἲξ καὶ ἡ αἴξ· ὅτι γὰρ λέγεται ἀρσενικὸν ἐδήλωσεν ὁ ποιητὴς εἰπὼν,

ἰξάλου αἰγός. (Il. Δ. 105.)

ἐπειδὴ οὖν τὸ γυναὶξ οὐ λέγεται ἀρσενικὸν, ἡ γὰρ σημασία κωλύει, τούτου χάριν ἀπέλειψεν ἡ εὐθεῖα· τοῦ δὲ γυνὴ ἀπέλειψεν ἡ γενική· ὅτι τὰ εἰς νη θηλυκὰ δισύλλαβα τῷ υ παραληγόμενα ἐκτείνει αὐτό· τὸ μέντοι γυνὴ συστέλλει τὸ υ, καὶ εἰκότως ὡς μονῆρες ἄκλιτον ἔμεινεν· ἡ αἰτιατικὴ τὴν γυναῖκα· ὁ τόνος· πᾶσα αἰτιατικὴ εἰς α λήγουσα διφθόγγῳ παραληγόμενα προπερισπᾶται· οἷον, παῖδα· γυναῖκα· τὰς γυναῖκας· ὁ τόνος· αἱ εἰς ας λήγουσαι αἰτιατικαὶ πληθυντικαὶ συνεσταλμένον ἔχουσι τὸ α.

Γαλόῳ: (Il. Γ. 122.) Ἡ εὐθεῖα γάλως· τὸ λως μέγα, καὶ τῆς γάλω ὁ κανών· τὰ βαρύτονα κατὰ ἀποβολὴν τοῦ σ· ἡ δοτικὴ γάλῳ, καὶ πλεονασμῷ τοῦ ο γαλόῳ· διατὶ κατεβίβασε τὸν τόνον; ἐπειδὴ οὐδέποτε τοῦ ω ἐπὶ τέλους κειμένου τρίτην ἀπὸ τοῦ τέλους τίθεται ἡ ὀξεῖα, χωρὶς τῶν αἰτιατικῶν.

Γραῦς: Ἀττικόν· ἀναλογώτερον ἐστὶ τὸ γρεύς· ῥέω, ὁ μέλλων ῥεύσω, πλεονασμῷ γ γρεύσω γρεὺς, τὸ διερρυηκὸς γύναιον· γραῦς γραὸς ὁ κανών· δύο μόνα εἰς αυς θηλυκὰ μονοσύλλαβα περισπώμενα, ναῦς καὶ γραῦς· κέκλιται δὲ ἀμφότερα διὰ καθαροῦ τοῦ ος.

Γλαυκῶπις: (Il. A. 206.) Παρὰ τὸ γλαύσω γλαύξω, ἐξ οὗ καὶ γλαὺξ τὸ ὄρνεον· τὸ γλαύσσω παρὰ τὸ λεύσσω λεύσω καὶ λαύσω, καὶ πλεονασμῷ τοῦ γ· σημαίνει δὲ τὸ[p] λάμπω· ἐκ τούτου καὶ γλήνη.

Γναθμός: (Il. N. 671.) Ὄνομα προσηγορικὸν γέγονε παρὰ τὸ κάπτω, τροπῇ τοῦ κ εἰς γ, ὡς κόνυ γόνυ, παρὰ γὰρ τὸ κονῶ γέγονεν· ἐπενθέσει τοῦ μ, γνάμπτω· ὁ παθητικὸς παρακείμενος γέγναμμαι, γναμμὸς, καὶ τροπῇ τοῦ μ εἰς θ γναθμός.

Γελοίϊος: (Il. B. 215.) Ἐκ τοῦ γελοῖος· τὰ διὰ τοῦ οιος ὀνόματα ὑπερ δύο συλλαβὰς ἅπαντα προπερισπῶνται· οἷον, παντοῖος· ἀλλοῖος· ἑτεροῖος· οἱ δὲ μεταγενέστεροι τῶν Ἀττικῶν τὸ γελοῖος καὶ ὁμοῖος προπαροξύνουσιν οὐκ εὖ· γράφεται διὰ τοῦ ἰῶτα, ἐπειδὴ τὰ ἀπὸ τῶν εἰς ος διὰ τοῦ ιος κατὰ τὸ αὐτὸ σημαινόμενον παρηγμένα, εἰ μὲν ὀξύνονται, διὰ τῆς ει διφθόγγου γράφεται· οἷον θαμὸς θαμειός· ἀδελφὸς ἀδελφειός· εἰ δὲ βαρύνονται, διὰ τοῦ ἰῶτα· οἷον κάπρος κάπριος· τάφος τάφιος καὶ ἐπιτάφιος.

Γέλως: (Il. A. 599.) Γελοῖος· σημαίνει γελοίϊος· γέλοιος δὲ καὶ γελοῖος διαφέρει· προπαροξυτόνως μὲν γὰρ λέγεται ὁ γελωτοποιὸς, προπερισπωμένως δὲ ὁ γελῶτος ἄξιος.

Γερήνιος: (Il. B. 336.) Τὸ νι ἰῶτα· διατί; τὰ ἀπὸ τῶν εἰς αν ὑπὲρ μίαν συλλαβὴν, καὶ εἰς ην ὀξύτονα, διὰ τοῦ ιο παραγόμενα κτητικὰ, διὰ τοῦ ἰῶτα γράφεται· οἷον Τιτὰν Τιτάνος Τιτάνιος· Παιὰν Παιάνος Παιάνιος· πυθμὴν πυθμένος πυθμένιος· ποιμὴν ποιμένος ποιμένιος, καὶ τὸ οὐδέτερον ποιμένιον. καὶ ποίμνιον κατὰ συγκοπήν.

Γνώτην: (Od. Φ. 36.) Ῥήματος β ἀόριστος· τὸ θέμα ἄδηλον· οὐ γὰρ εὑρέθη ἐπὶ τρίτης συζυγίας εἰ μὴ τὸ δίδωμι, τὰ δ' ἄλλα καθ' ὑπόστασιν λαμβάνομεν· ἄλωμι, βόωμι, τίτρωμί τε καὶ γίγνωμι, ὡς ἀπὸ τοῦ γνώμι, γνῶ, γίγνωμι, ὡς τίτρωμι καὶ τίτρημι· καὶ γὰρ καὶ πρώτης καὶ τρίτης λέγεται· οὕτω Φιλόξενος καὶ Τρύφων; ἡμεῖς δὲ τὰ θέματα αὐτῶν καθ' ὑπόστασιν λαμβάνομεν· οἱ μέντοι δεύτεροι ἀόριστοι αὐτῶν εἰσὶν

p Cod. τοῦ.

ἐν χρήσει κατὰ πᾶσαν ἔγκλισιν, ἔγνων καὶ γνῶναι, καὶ γνῶθι, καὶ γνώην, καὶ ἂν γνῶ, καὶ γνούς· τὸ δὲ ἔγνων διὰ τοῦ ω μεγάλου· πᾶς γὰρ μακροκατάληκτος β ἀόριστος ἐνεργητικὸς ὡς ἀπὸ τῶν εἰς μι ἐστὶ, καὶ οὐδέποτε ἀπὸ τῶν εἰς ω· τὸ πληθυντικὸν ἔγνωσαν, ἐβίωσαν, καὶ κατὰ ἀποκοπὴν ἔγνων· τὴν γὰρ παραλήγουσαν ἔχει τῆς μετοχῆς.

Γύναι: (Il. Γ. 204.) Κατὰ ἀποκοπὴν τοῦ ξ· τὸ δὲ παρὰ Μιμνέρμῳ[q]

Ὦ Ζεῦ πολυτίμητε ὡς καλαὶ νῶν αἱ γυναῖ·

εἰ μὲν περισπάσεις ἀποκοπὴν ἐκ τοῦ γυναῖκες· εἰ δὲ ὀξύνεις ἐκ τῆς γυνὴ εὐθείας· ἐπεὶ δ' ἔχομεν παρὰ Φερεκράτῃ τὴν γυνὴν γενικὴν[r], δῆλον ὅτι αἱ γυναὶ οὐκ ἀποκέκοπται· ἔστι δὲ καὶ

ὦ γυνὴ

παρὰ Ἀλκαίῳ· ἡ δὲ γύναιξ εὐθεῖα ὡμολογεῖται ἐκ τῆς γενικῆς καὶ τῆς τῶν πληθυντικῶν δοτικῆς· σεσίγηται δὲ ὡς μονήρης; οὐδὲν γὰρ εἰς αιξ λῆγον ὑπὲρ μίαν συλλαβήν· οὐδεμία δὲ κλητικὴ συντίθεται· παράλογον οὖν τὸ γυναιμανές· διὸ φαμὲν ἐκ τοῦ γυναιομανὲς συγκέκοφθαι ἵνα ἐστὶ τὸ γύναιον· ἢ ὡς πύλη Πυλαιμένης, ἕλη

ἑλαιθερὲς ὕδωρ,

οὕτως γυναιμανής.

Γναθμός[s]: (Il. Π. 405.) Τὸ κάμπτω ῥῆμα· σύνηθες τοῖς παλαιοῖς λέγειν γνάπτω, ὅπερ ἐν συνθέσει ἄνευ τοῦ μ

ἀνεγνάφθη δέ οἱ αἰχμή. (Il. Γ. 348.)
ἐπέγναψε γὰρ ἅπαντας. (Il. Β. 14.)

ἐξ οὗ κατὰ ἀποβολὴν τοῦ νυ

οἵ δ' ὥς τ' αἰγυπιοὶ γαμψώνυχες ἀγκυλοχεῖλαι. (Il. Π. 428.)

τροπῇ τοῦ κ εἰς γ· ὡς τὸ κόνυ γόνυ· καὶ τὸ ἐοίκαμεν κατὰ συγκοπὴν ἔοιγμεν· παρὰ τὸ γνάπτω, γναμὸς καὶ γναθμὸς, ὡς γράμμα γράθμα· ὄμμα ὄθμα· καὶ γὰρ τὸ γναθμὸς δῆλον ὅτι παράκειται τὸ μέρος τῇ ἐγγωνίῳ καμπῇ κεχρημένον· ὅπερ κι-

q MS. μιμηέρμῳ.   r Leg. αἰτιατικὴν cum Etym. M. v. Γυνὴ p. 243. Bekker. Anecd. p. 86. Γυναί· ἀντὶ τοῦ γυναῖκες· Φιλιππίδης Ἀδωνιαζούσαις· Φερεκράτης Κραπατάλλοις τὴν γυνήν.   s Cod. Γ αθμός.

νούμενον ἀπεργάζεται τὸ φθέγγεσθαι καὶ προσίεσθαι τροφῇ· παρὰ τοῦτο γναθμὸς, καμπὴ γὰρ ἐστὶ, διαστέλλει γοῦν

τοὶ μάλ' ὑπὸ γναθμοῖο καὶ οὔατος. (Il. N. 671.)

καὶ ἐπὶ τοῦ ἀποθανόντος

γναθμοὶ δ' ἐτάνυσθεν. (Od. Π. 175.)

Γέρων: (Il. A. 33.) Παρὰ τὸ εἴρω, τὸ λέγω, ἔρων καὶ γέρων· λέγονται γὰρ μᾶλλον οἱ γέροντες

ἀλλ' ἀγορηταὶ ἐσθλοὶ τετίγεσσιν ἐοικότες. (Il. Γ. 150.)

οἱ δὲ πλανώμενοι λέγουσιν, ὁ εἰς τὴν γῆν ὁρῶν· ἢ εἰς τὴν γῆν ῥέων· ἐξ ἐκείνου πλανηθέντες·

ὃς δὴ γήραϊ κυφὸς ἔην. (Od. B. 16.)

οἱ δὲ λέγουσιν, παρὰ τὸ ἔῤῥω ἔρων, ὁ ἐφθαρμένος ἤδη, ὡς παρὰ τὸ ῥούω τὸ διαφθείρω γραῖα, ἡ διεφθαρμένη, καὶ παρὰ τὸ ἐρῶ ἔρας, καὶ γέρας· πᾶς γὰρ γέρατος ἐπιθυμεῖ· καὶ παρὰ τὴν ἕλην ἕλως καὶ γέλως, ἀπὸ τοῦ καταστήματος· τὸ γοῦν ἐναντίον

στυγνὸς δὲ λέλοιπα

καὶ παρὰ τὴν ὀργὴν ὀργὸς, καὶ γοργός· γέγονε δὲ ἐκ τοῦ γέρων οὐδέτερον

τῇ δ' ἑτέρῃ σάκος εὐρὺ γέρον πεπαλαγμένον ἄζῃ. (Od. X. 184.)

παραιτητέον γὰρ τοὺς ἀναγινώσκοντας ὀξύτονον γερὸν, ἵν' ᾖ γεροντικὸν, ὁ δὲ ποιητὴς κατολιγωρήσας τῆς φωνῆς ἐφρόντισε τοῦ σημαινομένου· τὸ γὰρ ἐναντίον τοῦ νέου βουλόμενος δηλῶσαι "γέρον" εἶπε· τὸ δὲ αἴτιον τοῦ οὐδετέρου διότι ὡς μετοχὴ ἐκλίθη[t] ὁ γέρων, τοῦ γέροντος, καὶ ὡς λέγων λέγοντος, φρονοῦντος φρονοῦν, οὕτως γέροντος γέρον· ἐπεὶ οὐδὲν ὄνομα κλινόμενον διὰ τοῦ τος οὐδέτερον ἀνεδέξατο παρασχηματισμόν.

Γινώσκω: (Il. E. 815.) Τούτου μέλλων οὐκ ἔστι· τὰ γὰρ διὰ τοῦ σκω ἄκλιτα ἀπὸ παρακειμένου· τὸ γὰρ διδάξω ἀπὸ τοῦ διδάχω, οὐκ ἀπὸ διδάσκω, ὡς δῆλον ἐκ τοῦ παρακειμένου ὀνόματος· ὡς γὰρ ἰάχω ἰαχή· στενάχω στεναχή· οὕτως διδάχω διδαχή· ἀντιπίπτουσι δύο· τὸ θνήσκω καὶ ἀλύσκω· ἀμφοτέρων γὰρ οἱ μέλλοντες θνήξω καὶ ἀλύξω,

[t] Cod. ἐκλήθη.

σός δέ που ἔκφυγε χεῖρας ἀδελφεὸς ἠδ' ὑπάλυξε. (Od. Δ. 512.)

τὸ δὲ γινώσκω, ἀπὸ τοῦ γνῶ, οὗ ὁ μέλλων γνώσω, καὶ ὁ μέσος γνώσομαι· οἱ γὰρ μέλλοντες, εἰώθασι πλεονάζειν τὸ κ· μεθύω, μεθύσω, μεθύσκω· τρώω, οὗ ὁ μέλλων τρώσω, πλεονασμῷ τοῦ κ, τρώσκω· διπλασιασμῷ, τιτρώσκω· οὕτως οὖν γνώσω γνώσκω, καὶ γινώσκω, ἐκβολῇ τοῦ γ· τοῖς δὲ τὸ γ ἀποβάλουσι, μακρὰ παρακολουθεῖ· ὡς ἐν τῇ μισγητῇ· γέφυγρα γέφυρα· γιγνώσκω γινώσκω.

Γαίης: (Il. Α. 270.) Ἔστι ῥῆμα τὸ σημαῖνον τὸ τίκτω, ἐξ οὗ γίνεται γέα διὰ τοῦ ε ψιλοῦ· οἱονεὶ ἡ γεννητικὴ, τοῦτο τὸ γέα [γίνεται] κατὰ κρᾶσιν τοῦ εα εἰς η γίνεται γῆ· ἐξ οὗ τὸ γήπεδον, καὶ γηγενὴς, καὶ γηπόνος· ἐκ τούτου τοῦ γῆ γίνεται ἄλλη παραγωγὴ διὰ τῆς αι διφθόγγου· οἷον γαῖα· ὥσπερ ἀπὸ τοῦ σελήνη σεληναία, καὶ Ἀθήνη Ἀθηναία, καὶ ἀρχὴ ἀρχαία, καὶ ὤφειλε μακρὸν ἔχειν τὸ α, αἱ γὰρ τοιαῦται παραγωγαὶ μακρὸν ἔχουσι τὸ α· οἷον Ἀθηναία καὶ τὰ ὅμοια· ἀλλ' ἔστι βραχὺ, σεσημείωται[u] τὸ μαῖα καὶ γαῖα.

Γράψωμεν: Τοῦτο ὑποθετικὸν ἔστιν ἐγκλίσεως· οἱ γὰρ Στωικοὶ πρὸς ταῖς πέντε ἐγκλίσεσι καὶ ἄλλας δύο προστιθέασι τήν τε ἀνακριτικὴν, καὶ τὴν ὑποθετικήν· ἀνακριτικὴν μὲν τὴν ἐρωματικὴν, ὡς τὸ,

πῇ ἔβη Ἀνδρομάχη. (Il. Ζ. 377.)

ὑποθετικὴν δὲ ὡς ἐν τῷ,

φεύγωμεν σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν. (Il. Β. 140.)

καὶ,

ἀλλ' ἄνδρας κτείνωμεν. (Il. Ζ. 70.)

καὶ, ἐν τῷ ἐθέλω[x] γράψωμεν, ποιήσωμεν· ἢ μὴ γράψωμεν· προστάξαι γάρ τις ἑτέροις βουλόμενος διὰ τὸ φορτικὸν τῆς προστάξεως παραιτούμενος[y].

Γεννᾷ: Τοῦ τίκτω διαφέρει· τὸ μὲν γὰρ ἐπὶ τῶν ἀῤῥένων τάσσεται, τὸ γεννῶ δηλονότι, τὸ δὲ ἐπὶ τῶν θηλυκῶν, τουτέστι

[u] Leg. vid. σημειῶσαι. [x] Cod. ἐθ'. [y] Seq. lacuna in Cod. cujus spatium potest tres versus continere.

τὸ τίκτω· ἡ μέντοι ποιητικὴ χρῆσις τὸ τίκτειν καὶ γεννᾶν ἐπὶ ἀῤῥένων μόνον τάσσει

τίκτε μ' ἀνὴρ πολλοῖσιν ἀνάσσων Μυρμιδόνεσσιν. (Il. Φ. 188.)
σὺ γὰρ τέκες ἄφρονα κούρη (Il. E. 875.)
ὤ μοι ἐγὼ πανάποτμος ἐπεὶ τέκον υἷας ἀρίστους
Τροίῃ ἐν εὐρείῃ. (Il. Ω. 255.)
ὁ δ' ἄρα Γλαῦκον τέκεν υἱὸν,
αὐτὰρ Γλαῦκος ἔτικτεν ἀμύμονα Βελλεροφόντην. (Il. Z. 155.)

ὡσαύτως καὶ ἐπὶ τοῦ γεννᾶν

ἀλλὰ τοκῆε δύω τὼ μὴ γείνασθαι ὄφελλον[z]. (Od. Θ. 312.)
γείνατο δ' Ἀντιφάτην καὶ Μάντεον. (Od. O. 242.)

Γνῶ: (Il. H. 189.) Τὸ ὑποτακτικὸν ἐὰν γνῷ· εἰ οὐδέποτε τρίτον πρόσωπον κατὰ τὸν αὐτὸν ἀριθμὸν καὶ κατὰ τὴν αὐτὴν διάλεκτον· πῶς λέγομεν "ἐὰν γνῶ ἐγώ·" καὶ "ἐὰν γνῷ ἐκεῖνος" ἰδοῦ γὰρ τὸ τρίτον ὁμοφωνεῖ κατὰ τὸν αὐτὸν ἀριθμόν· ἀμφότερα γὰρ κοινὰ εἰσὶ, καὶ κατὰ τὴν αὐτὴν διάλεκτον· ἔστιν οὖν εἰπεῖν ὅτι οὐκ ἔστιν ἐνταῦθα τρίτον πρόσωπον ὁμόφωνον, τὸ μὲν γὰρ τρίτον πρόσωπον προσγεγραμμένον ἔχει τὸ ι· τὸ πρῶτον οὐ· ἐπειδὴ τὰ εἰς ω λήγοντα ῥήματα πρώτου προσώπου ὄντα οὐ θέλουσιν ἔχειν ἐν τῇ τελευταίᾳ συλλαβῇ τί ἀνεκφώνητον· ἐν δὲ τῷ τρίτῳ προσώπῳ τὸ ἰῶτα προσγράφεται, ἐπειδὴ τὰ εἰς ω λήγοντα ῥήματα θέλουσιν ἔχειν τὸ δεύτερον πρὸ διφθόγγου μετὰ τοῦ ἰῶτα.

Γρῶνη: Ἡ πέτρα· ἀπὸ τοῦ γῶ τὸ χωρῶ.

Γνώμη: Παρὰ τὸ νοήσω νοήμη· ῥηματικὸν ὄνομα συναλιφέν· ὡς ὀγδοήκοντα ὀγδώκοντα· νοήμη νώμη, καὶ πλεονασμῷ τοῦ γ, γνώμη· δῆλον δὲ ἐστὶ τὸ σημαινόμενον· ὅτι παρὰ τὸ νοήσω, οὐ παρὰ τὸ γνώσω, ἕτερον γὰρ ἐστί· λέγομεν γὰρ "γνώμην εἰσήνεγκεν·" οἷον νοῦν τινα καὶ διάνοιαν· νοήσω οὖν νοήμη, καὶ γνώμη.

[z] Cod. γίνεσθαι ὤφειλον.

᾿ΑΡΧΗ ΤΟΥ ΔΕΛΤΑ.

Δαυλός: Παρὰ τὸ δάω δαλὸς ἐπενθέσει τοῦ υ δαυλός· ἢ παρὰ τὸ δαέλος κατὰ συναλιφὴν δαυλὸς, ὡς αἱ νάες, αἱ ναῦς· ἢ παρὰ τὸ δαύω δαύσω

μηρίων δεδαυμένων[a]

ὡς παρὰ τὸ αὔω τὸ φωνῶ, καὶ αὔσω, τὸ φωνητικὸν ὄργανον αὐλός· δαύω δαυλός· ὥστε καὶ ἐν πλεονασμῷ καὶ ἐν συναλιφῇ δύναται εἶναι.

Δείδιε: (Il. Σ. 34.) Τῶν καθαρευόντων ἐνεστώτων, καὶ οἱ μέσοι παρακείμενοι καθαρεύουσιν· ἔστι γὰρ εἰῶ τὸ πορεύομαι· καὶ οὗ πληθυντικὸν μετ᾿ ἐπεκτάσεως Ἀττικῆς ᾔομεν·

ᾔομεν ὡς ἐκέλευες. (Od. K. 251.)

ὁ μέσος παρακείμενος εἶα, διαλύσει καὶ ἐκτάσει

ᾔϊα πολλὰ θεοὺς γουνούμενος. (Od. Δ. 433.)

οὕτως δὲ καὶ παρὰ τὸ διῶ δέδια, καὶ ἡ μετοχὴ δεδιὼς

ὑποδεδιὼς ἔγωγε

φασὶ Ἀττικῶς Ἀριστοφάνης Ὄρνισι[b]· καὶ μετὰ περισσοῦ τοῦ ἰῶτα δείδια διὰ τὸ μέτρον,

δείδιε γὰρ μὴ λαιμὸν ἀποτμήξειε σιδήρῳ. (Il. Σ. 34.)

καὶ ἀπὸ τοῦ δέω τὸ δέδηε

μένος πολέμοιο δέδηε. (Il. N. 736.)

Δῶ: (Il. A. 426.) Ἀπὸ τοῦ δῶμα γέγονε κατὰ ἀποκοπὴν, καὶ ἔμεινεν ἄκλιτον· οὐδὲν γὰρ οὐδέτερον εἰς ω λῆγον εὕρηται ἕτερον, ὡς ἀπὸ τοῦ τοῖος γίνεται τοιήδε, καὶ ἔμεινεν ἄκλιτον διὰ τὴν εἰς ε κατάληξιν ἀλλότριαν ὀνομάτων οὖσαν· τὸ δὲ τοῖος ἐκλίθη· ἔχει γὰρ τὸ σ κλητικὸν ἀρσενικῶν ὀνομάτων, καὶ ἀπὸ τοῦ ἱππότης γίνεται ἱππότα, καὶ οὐ κλίνεται, τὸ γὰρ α οὐ χαρακτηρίζει ἀρσενικὸν ὄνομα· καί τοι ὥσπερ τὸ ἱππότα, καὶ μεταπλασμὸν γέγονεν, οὕτως καὶ τὸ μεγιστᾶν, ἀλλὰ διὰ τὴν κατάληξεν τὸ μὲν ἄκλιτον ἔμεινεν, τὸ δὲ κλίνεται, ὥσπερ καὶ τὸ ἐρυσάρματες μεταπεπλασμένον[c] ἀπὸ τοῦ ἐρυσάρματοι ἀκολούθως εἰς αἰτιατικὴν ἐκλίθη,

[a] Simonidi assignat hoc fragm. Etym. M. p. 250, 18. [b] v. 65.
[c] Cod. μετὰ πεπλασμόν. Etym. M. p. 105, 51.

πάντες ὁμοκλήσαντες ἔχον ἐρυσαρμάτας ἵππους. (Il. O. 354.)

Διός: (Il. A. 5.) Ἀπὸ τοῦ Ζεύς, εὐθείας Βοιωτικῶς γενομένης, Διός· τὸ γὰρ ζ εἰς δ τρέπουσιν· οἷον ζῆθος, δῆθος, οὕτως οὖν Ζεὺς Δεύς· ἀπὸ γὰρ τοῦ Δεὺς εὐθείας ἐγένετο ἡ γενική· τὸ γὰρ κοινολεκτούμενον οὐ κλίνεται διὰ τοιαύτην αἰτίαν· πᾶν ὄνομα μονοσύλλαβον εἰς σ λῆγον ὀξύτονον διὰ καθαροῦ τοῦ ος κλινόμενον τὸν χρόνον θέλει φυλάττειν τῆς ἰδίας εὐθείας καὶ ἐπὶ τῆς γενικῆς· οἷον, Τρὼς Τρωός· δμὼς δμωός· πρόσκειται μονοσύλλαβον διὰ τὸ Ἀχιλλεὺς Ἀχιλλέως· πρόσκειται ὀξυτόνως διὰ τὸ βοῦς βοὸς, καὶ νοῦς νοός· πρόσκειται διὰ καθαροῦ τοῦ ος διὰ τὸ Ζὰς Ζάντος· ὤφειλεν οὖν τὸ Ζεὺς εἰς σ λῆγον καὶ μονοσύλλαβον ὂν, κλίνεσθαι Ζευός· ἕτερος δὲ κανὼν λέγει, ὅτι τὰ εἰς ευς διὰ τοῦ εος κλίνεται, καὶ ὤφειλεν εἶναι Ζεός. τῶν οὖν δύο κανόνων μαχομένων, ἀπέλειψεν ἡ κοινὴ κλίσις, καὶ παρεισῆλθεν ἡ τῶν Βοιωτῶν, καὶ ἐγένετο Δεὺς, Διὸς, Διΐ, Διά· τὰ γὰρ εἰς ευς ἓξ κλίσεις ἐπιδέχονται.

Δῖος: (Il. A. 7.) Ἐπίθετον ὄνομα ἀπὸ τοῦ Διὸς γενικῆς, Δίϊος, καὶ κατὰ συναλιφὴν Δῖος· προπερισπᾶται· τὰ εἰς ος λήγοντα καθαρὰ δισύλλαβα παραληγόμενα τῷ ι ἐκτεταμένῳ, εἰ ἄρχεται ἀπὸ συμφώνου, βαρύνεσθαι θέλει· τουτέστι προπερισπῶνται· οἷον Πῖος, ὄνομα κύριον· Χῖος· Δῖος· σεσημείωται τὸ κριὸς καὶ ἰὸς ὀξυνόμενον, ἐπειδὴ ἀπὸ φωνήεντος ἄρχεται.

Δώματα: (Il. A. 600.) Ἐκ τοῦ δομοῦ δόμημα, καὶ ἀποβολῇ τοῦ μ, καὶ συναιρέσει τοῦ οη εἰς ω μέγα, δῶμα, καὶ ἀποβολῇ τῆς μα συλλαβῆς, δῶ· ἡ μετοχὴ δῶ· εἰσὶ δέ τινα τρέποντα τὸ ε εἰς ω, ὡς τὸ νέμω νωμῶ,

νώμησαν δ' ἄρα πᾶσιν ἐπαρχόμενοι δεπάεσσι. (Il. A. 471.)

πέτω πωτῶ· δέμω δωμῶ· πέλω πωλῶ· ἐξ οὗ τὸ ἐπεπωλεῖτο· τὸ μέντοι "πεποτήαται" καὶ "ἀμφιποτᾶται" οὐκ ἔλαβεν αὔξησιν διὰ τὸ μέτρον, οὐ γὰρ ἀεὶ γίνεται· τὸ δὲ δόμα ἐπὶ τῆς λήψεως διὰ τοῦ ο μικροῦ, ἐκ τοῦ δέδομαι δόμα, ἢ παρὰ τὸ δόμος· ἢ παρὰ τὸ δῶ, τὸ δεσμεύω· δήσω, δέδηκα, δέδημαι, καὶ δῶμα.

Δυσάπιστος: Ἢ παρὰ τὸ δύσπιστος κατὰ πλεονασμὸν τοῦ α, ἢ παρὰ τὸ ἄπιστος δυσάπιστος· ὥστε δύο συνθέσεις· καὶ

γὰρ λέγομεν φθινόπωρον καὶ τὸ αὐτὸ λέγομεν ἀλλῶς μετόπωρον· εἶτα λέγομεν φθινομετόπωρον· δύο ἄρα συντέθειται· ἥλικες, ὁμήλικες· καὶ παρὰ τῷ ποιητῇ μόρος δύσμορος· εἶτα δυσάμμορος.

Δειδέχαται: (Od. Η. 72.) Δέχω, τὸ παθητικὸν δέχομαι· ὁ παρατατικὸς ἐδεχόμην, ὁ παρακείμενος δέδεγμαι, τὸ πληθυντικὸν δεδέγμεθα, τὸ τρίτον Ἰωνικῶς δεδέχαται, ὡς τετεύχαται, ἐπενθέσει τοῦ ι[d] δειδέχαται.

Δουρί: (Il. Α. 303.) Ἐκ τοῦ δρῦς δρυός· ὑπερβιβασμῷ, δουρὸς δουρί.

Δικασπόλος: (Il. Α. 238.) Διατὶ παροξύνεται[e]; τὰ παρὰ τὸ πέλω συγκείμενα ὀνόματα, εἰ μὲν μετὰ πτωτικῆς συντεθῶσι, πρὸ μιᾶς ἔχουσι τὸν τόνον· οἷον, ἱπποστόλος· δικασπόλος· εἰ δὲ μετὰ ἀπτώτου, προπαροξύνεται· οἷον, πρόπολος· ἀμφίπολος.

Δοίω:[f] (Il. Γ. 236.) Ὄνομα· ἡ εὐθεῖα τῶν ἑνικῶν δοιός· οἱ γὰρ Δωριεῖς τὴν ἀναλογίαν τὴν ἐν τοῖς ῥήμασι φυλάττοντες, καὶ ἐν τοῖς ὀνόμασι, πλεονάζουσι τὸ ἰῶτα· γίνεται ἐκ τοῦ δέω τὸ δεσμεύω, δοὸς, καὶ πλεονασμῷ τοῦ ἰῶτα δοιὸς, καὶ ἡ γενικὴ δοιοῦ[g]· ἡ εὐθεῖα τῶν δυϊκῶν δοιώ.

Δύω·

αὐτὰρ ὁ δοῦρε δύω. (Il. Γ. 18.

ὧδε γάρ ἐστι τὸ ω μέγα διὰ τὸ μέτρον· κείνως μὲν γὰρ διὰ τοῦ ο μικροῦ. Ἀττικῶς δὲ διὰ τοῦ ω· καὶ ποῖον ἔστιν ἀναλογώτερον; τὸ διὰ τοῦ ω μεγάλου· ἐπειδὴ ἐμάθομεν ὅτι τρία εἰσὶ τῶν δυϊκῶν στοιχεῖα α ε ω, τούτου χάριν ἀναλογώτερον τὸ διὰ τοῦ ω μεγάλου.

Δύω: Παρὰ τὸ συνδέδεσθαι ἑτέρῳ ἀριθμῷ, καὶ γράφεται καὶ υ ψιλὸν[h] καὶ δίφθογγος· ὅταν βαρύνεται γράφεται τὸ υ ψιλὸν, καὶ τὸ ο μικρὸν· ὅτε δὲ γράφεται διὰ διφθόγγου, ὀξύνεται, καὶ γράφεται τὸ ω μέγα· γίνεται δὲ τὸ δοιὼ τὸ διὰ διφθόγγου ὡς τὸ

δοιαὶ μὲν Μενελάῳ (Il. Δ. 7.)

[d] Cod. τοῦ γ. [e] Cod. προπαροξύνεται. [f] Cod. Δύω.
[g] Cod. διοῦ. [h] Cod. om. υ.

καὶ ἐστὶ κατὰ διάλεκτον.

Δέω: Καὶ δεύω· ἐξ οὗ καὶ τὸ

ἡ δ' ἔτι καὶ χρυσῷ ἐπιδεύεαι (Il. B. 229.)

ὁ ἐνεστὼς δέω, τὸ χρήζω, καὶ ποιητικῶς πλεονάζει τὸ υ· ἔστι δὲ παρὰ τὸ δέω· δεήσω ἐδέησα ἐδέησε καὶ πλεονασμῷ ἐδεύησε· ἐκ τοῦ δεύω γίνεται δεύεται, καὶ οἱ Ἴωνες ἀποβάλλουσι τὸ τ τοῦ τρίτου προσώπου, καὶ ποιοῦσι τὸ δεύτερον.

Δῖος: (Il. A. 7.) Τέσσαρα εἰσὶ κτητικὰ δισύλλαβα, δύο διὰ διφθόγγου· θεῖος· καὶ κεῖνος[i]· καὶ δῖος καὶ Χῖος διὰ τοῦ ἰῶτα.

Διακοσμηθεῖμεν: (Il. B. 126.) Ῥῆμα εὐκτικὸν παθητικὸν, μέσος ἀόριστος α' τρίτον τῶν πληθυντικῶν, καὶ οἱ Ἴωνες ἐπὶ τῶν εὐκτικῶν τοῦ τρίτου προσώπου τῶν πληθυντικῶν μετατιθέασι τὸ ν εἰς α· τὸ γὰρ πείθοιντο[j] πειθοίατο λέγουσι.

Δεῦρο: (Il. A. 153.) Ἐπίῤῥημα χρόνου δηλωτικὸν, καὶ γράφεται ὥσπερ καὶ τὸ δύο, καὶ μικρὸν καὶ μέγα, Ἀττικῶς· ἔστι δὲ καὶ ῥῆμα προστακτικὸν, καὶ σημαίνει δύω, ὡς τὸ

ἔξελθε Λάζαρε δεῦρο ἔξω[k]

καὶ τὸ ἐνταῦθα

δεῦρ' ἴθι. (Il. Γ. 130.)

τὸ πληθυντικὸν αὐτοῦ δεῦτε· εἰ γὰρ ὁ κανὼν λάβοι αὐτὸ ἐπίῤῥημα, ἀνοίκειον ἐστὶν, ἐπειδὴ τὰ ἐπιῤῥήματα ἀριθμοὺς οὐκ ἐπιδέχεται.

Δόρυ: (Il. B. 382.) Ἀπὸ τοῦ δρῦς δρύος· δόρυ ἐπὶ πάντος λεγόμενον ὑπὸ τῶν ἀρχαίων, ὡς μαρτυρεῖ δρυμὸς καὶ δρυφακτὸς, ἢ παρὰ τὸ δέρω, ὃ σημαίνει τὸ λεπίζω· τοῦ γὰρ φλοιοῦ λεπίζεται τὰ ξύλα, καὶ ἐκ τοῦ θορῶ ὃ σημαίνει τὸ πηδῶ, θόρυ τὶ ὂν καὶ δόρυ, τὸ ἐκ τῆς γῆς ἐκτρέχον, καὶ ὁ ποιητὴς

ἐπεὶ[l] οὔπω τοῖον ἐνήλυθεν ἐκ δόρυ γαίης (Od. Z. 167.)

ἢ ἐκ τοῦ δρῦς· οἱ γὰρ ἀρχαῖοι ἐκ δρυΐνων κατεσκεύαζον.

Δειδίσσεσθαι[m]: (Il. B. 190.) Ῥῆμα δειδίσσω· τὸ πρῶτον δίφθογγος, καὶ τὸ δεύτερον ἰῶτα· διατί; οὐδέποτε πρὸ τῶν δύο σσ εὑρίσκεται δίφθογγος· οἷον, ἑλίσσω.

[i] Leg. Κεῖος. [j] Cod. πείθοντο. [k] Ev. Jo. xi. 43. [l] Cod. οὔπει. [m] Cod. δεδίσσεσθαι.

Δείδια: (Il. K. 93.) Τὸ δι τὸ δεύτερον, ἰῶτα· διατί· ἐξ αὐτοῦ δειδίσσω, δειδίσσομαι, δειδισσόμενος· διαθέσεως ἐνεργητικῆς· οὐκ ἐστὶ παθητικόν· ἀντὶ τοῦ ἐκφοβῶν, καὶ οὐκ ἐκφοβούμενος.

Δῆμος: (Il. B. 547.) Τὰ περιληπτικὰ δύο συντάξεις ἐπιδέχονται, τῷ λόγῳ τῆς φωνῆς καὶ τῷ λόγῳ τοῦ σημαινομένου· ἡ μὲν φωνὴ ἑνικὴ, τὸ δὲ σημαινόμενον πληθυντικόν.

Δεῖπνος: (Il. B. 381.) Ἐκ τοῦ δεῖ, ὃ σημαίνει τὸ πρέπω· δείπονος τις ὢν, καὶ δεῖπνος· μεθ' ὃν δεῖ πονεῖν.

Δῆμος καὶ Δημός: Διαφέρει· δῆμος ὁ λαὸς, δημὸς τὸ λίπος,

ἐν πίονι δημῷ. (Il. Π. 437.)

ὄνομα γίνεται, παρὰ τὸ δαίω, τὸ καίω· ἔδαον, δαμὸς, καὶ τροπῇ τοῦ α εἰς η· σημαίνει δὲ καὶ τὸν δημότην.

Δηρόν: (Il. B. 435.) Ὀνοματικὸν ἐπίῤῥημα· πολλὰ δὲ εἰσὶ τοιαῦτα· ὥσπερ ἡ πέρα, τῆς πέρας, καὶ

πέραν τοῦ χειμάρρου τῶν Κέδρων[m].

Καὶ πρόϊος προΐας, καὶ ἡ αἰτιατικὴ πρόϊαν, καὶ τροπῇ Βοιωτικῇ πρόϊα, ἐξ οὗ καὶ τὸ ἐπίῤῥημα πρῴην· οὕτως ἐστὶν ἐκ τοῦ δηναιὸς ἀρσενικοῦ, τὸ οὐδέτερον δηναιὸν, καὶ συγκοπῇ τῆς αι δὴν, καὶ τροπῇ τοῦ ν[n] εἰς ρ γίνεται δηρόν.

Δράκων: (Il. B. 308.) Παρὰ τὸ δέρκω, ἐξ οὗ καὶ δορκάς· ὁ β ἀόριστος, ἔδρακον, οὕτως ἔχει τὸ ἔπραθον ἐκ τοῦ πέρθω, καὶ τὸ ἔτραπον ἐκ τοῦ τρέπω· ἔδαρκον ὤφειλεν εἶναι, ἀλλὰ διὰ τὸν κανόνα τὸν λέγοντα· ἔστι δὲ ἀπὸ βαρυτόνου θέματος, διὰ τοῦτο γίνεται ἔδρακον, καὶ ἐξ αὐτοῦ δράκων.

Δαφοινός: (Il. B. 308.) Ἐκ τοῦ φοινὸς ὁ πυῤῥός· τοῦτο ἐκ τοῦ φόνος, καὶ τὸ θηλυκὸν φονὴ, καὶ πλεονασμῷ τοῦ ἰῶτα φοινή· καὶ τὸ ἀρσενικὸν φοινός· καὶ μετὰ τοῦ δα δαφοινός· διότι οὐκ ἀνεβίβασε τὸν τόνον· κανὼν γὰρ ἐστὶν ὁ λέγων, τὰ εἰς ος ὀξύτονα ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον, χωρὶς εἰ μὴ διὰ σημασίαν τινὰ κωλυθείη, διὰ τὸ λοιγὸς βροτολοιγός· καὶ χωρὶς τῶν ἐθνικῶν, διὰ τὸ Ἀχαιός· καὶ χωρὶς τοῦ ἰατρὸς

[m] Ev. Jo. xviii. 1. Cod. [n] η.

ἀρχιατρὸς, τοῦτο γὰρ φυλάττει τὸν τόνον ἐν συνθέσει· τοῦτο δὲ διὰ τὸ σημαινόμενον ἐκωλύθη, ὡς εἶπον, βαρύνεσθαι.

Δήϊος: (Il. B. 415.) Ἐκ τοῦ δαίω, τὸ καίω, γίνεται δαΐω καὶ δηΐω, καὶ περισπωμένως δηϊῶ· τρίτης συζυγίας·

δηϊωθέντων ὑπ' Ἀχαιῶν (Il. Δ. 417.)

διαλύσει τοῦ δαίω δαΐω, καὶ πλεονασμῷ τοῦ ζ δαΐζω· ἐκ τοῦ δαΐω γίνεται ὄνομα δάϊος, καὶ τροπῇ τοῦ α εἰς η γίνεται δήϊος· τὸ δὲ δηϊστὸς γένους θηλυκοῦ.

Δηθύνω: (Il. A. 27.) Ἐκ τοῦ δηθὰ, ὃ σημαίνει τὸ ἐπὶ πολὺν χρόνον· δηθύω καὶ πλεονασμῷ τοῦ ν δηθύνω· πέφυκε γὰρ τὸ ν πλεονάζειν ἐν τοῖς ῥήμασι· τὸ δηθὰ ἐκ τοῦ δηνὰ[n], γίνεται δὲ δηνθὰ, καὶ ἀποβολῇ τοῦ ν δηθά· ἔστι δὲ καὶ τοῦτο ἐπίῤῥημα χρόνου δηλωτικόν.

Δαίνυτο: (Il. Ω. 665.) Τὰ εἰς ω λήγοντα ῥήματα βαρύτονα, ποιοῦντα παραγωγὴν διὰ τοῦ νυω, εἰ μὲν διφθόγγῳ παραλήγονται, δι' ἑνὸς ἀμεταβόλου ἐκφέρονται· οἷον δαίω, δαινύω[o]· εἰ δὲ ἑνὶ φωνήεντι, διπλασιάζει τὸ σύμφωνον· οἷον, ἑῶ ἑννύω· σβέσω σβεννύω.

Δέκτο: (Il. B. 420.) Ἐκ τοῦ δέχω δέξω, καὶ πλεονασμῷ τοῦ ἰῶτα, δεξιῶ, καὶ

ἐδεξιοῦτο τὸ λύτρον

ἀντὶ τοῦ φιλοφρόνως ὑπεδέχετο· ἐκ τοῦ δέξω ὁ παρακείμενος δέδεχα· ὁ παθητικὸς δέδεγμαι· ὁ ὑπερσυντελικὸς ἐδεδέγμην, τὸ τρίτον ἐδέδεκτο[p] καὶ συναρχομένως δέδεκτο, καὶ ἐν συγκοπῇ δέκτο· καὶ

δέχθαι ἄποινα. (Il. A. 23.)

Δίφρος: (Il. Γ. 310.) Παρὰ τὸ δύο φέρειν, τὸν μαχόμενον καὶ τὸν ἡνίοχον. Τὸ

δεύτερον[q] αὖ θώρηκα. (Il. Γ. 332.)

ἐπίῤῥημα χρόνου δηλωτικόν.

Δουλιχόδειρος: (Il. B. 460.) Παρὰ τὸ δολικὸν τὸ μακρὸν, καὶ τὸ δειρὴ, ὃ σημαίνει τὸν τράχηλον· τὸ λι ἰῶτα, διατί;

[n] Cod. δηνά (with ει written above). [o] Cod. δαιννύω. [p] Cod. ἐδέδεγμαι.
[q] Videtur aliquid excidisse.

τὰ διὰ τοῦ ιχος διὰ τοῦ ἰῶτα γράφεται· οἷον, σωτήριχος· τάριχος· δόλιχος· πλὴν τῶν παρὰ τὸ τεῖχος· οἷον εὔτειχος· καλλίτειχος· διαφέρει δόλιχος καὶ δολιχός· προπαροξυτόνως εἶδος ὀσπρίου, ὀξυτόνως δὲ τὸ μακρόν· λοιπὸν ἐκ τοῦ δολιχὸν, τὸ μακρὸν, καὶ τὸ δειρὴ, γίνεται δολιχόδειρος[r].

Διαρραῖσαι: (Il. Β. 473.) Ῥαίω· τὸ φθείρω γίνεται Δωρικῶς φθαίρω· οἱ γὰρ Δωριεῖς τὴν εἰς ει δίφθογγον εἰς αι τρέπουσιν· τὸ γὰρ κύπειρον κύπαιρον λέγουσι, καὶ τὸ εἴκεν αἴκεν· οὕτως καὶ τὸ φθείρω φθαίρω, καὶ ἀφαιρέσει τῶν δύο συμφώνων αἴρω, καὶ ἐν ὑπερβιβασμῷ τοῦ ρ ῥαίω· τὸ ραι δίθφογγος διατί; ἢ ὅτι ἐκ τῆς παραγωγῆς αὐτὸ ἔχομεν, ἢ ὅτι κανὼν ἐστὶν ὁ λέγων, ὅτι τὰ διὰ τοῦ αιω λήγοντα ῥήματα, ἀσυναίρετα ὄντα κατὰ τὸ δεύτερον καὶ τρίτον πρόσωπον, διὰ τῆς αι διφθόγγου γράφεται· παλαίω· καίω· ῥαίω.

Διακρινθεῖτε: (Il. Γ. 102.) Τὸ θέμα διακρίνω, διακέκρικα, διεκρίθην, καὶ πλεονασμῷ τοῦ ν διεκρίνθην· γίνεται ποιητικῶς διακρινθείην τὸ εὐκτικὸν, διακρινθείητε, καὶ κατὰ συγκοπὴν διακρινθεῖτε.

Δηλήσηται[s]: (Il. Γ. 107.) Ἔστι δηλῶ τὸ βλάπτω, παρὰ τὸ κῆλα, τὰ βέλη, κατὰ τροπὴν τοῦ κ εἰς δ· ὡς καίω δαίω· τὸ δηλῶ σημαίνει δύο· τὸ φανερῶ καὶ βλάπτω.

Δίπλακα: (Il. Γ. 126.) Ἡ εὐθεῖα δίπλαξ, σημαίνει δὲ τὴν δίπτυχον χλαῖναν· ἐκ τοῦ διπλοῦς δίπλαξ, ὡς λίθος λίθαξ· τοῦτο ἐκ τοῦ διπλόος· τοῦτο παρὰ τὸ δύο πέλειν, δυπλόος[t] καὶ διπλόος.

Δακρύω: Ὁ μέλλων δακρύσω· δάκρυον κατὰ ἀποβολὴν τοῦ ω, καὶ μετὰ τοῦ πολὺς πολύδακρυς· προπαροξύνεται· τὰ εἰς υς σύνθετα ἀρσενικὰ, ἢ καὶ κοινὰ ὄντα τῷ γένει, προπαροξύνεται· καὶ ἄλλως τὰ εἰς υς[u] ὀνόματα εἴτε βαρύτονα, εἴτε ὀξύτονα, εἴτε περισπώμενα, ἐν τῇ συνθέσει συστέλλονται τὸ υ, προπαροξύνεται· οἷον ὀφρὺς λεύκοφρυς.

Δεδμήατο; (Il. Γ. 183.) Ὁ κανών· ταῦτα δὲ τὰ τρία

[r] Cf. Etym. Gud. p. 151, 18. [s] Cod. δηλήσητε. [t] Cod. δύπλο͂. [u] Cod. νο.

Ἰωνικά ἐστι, δεδμέατο καὶ ἐκτάσει τοῦ α εἰς η, δεδμήατο· χρόνου ὑπερσυντελικοῦ· τὸ ῥῆμα δαμῶ συζυγίας δευτέρας τῶν περισπωμένων· ὅπερ γίνεται ἀπὸ τοῦ δαμῶ

εἰ δὴ ὁμοῦ πόλεμός τε δαμᾷ. (Il. A. 61).

Δύμεναι: (Il. Z. 185.) Ἀόριστος β΄, καὶ μέλλοντος· τὸ ῥῆμα δῦμι· δευτέρας συζυγίας τῶν εἰς μι· δύω δῦμι.

Δῦναι: (Il. Γ. 322.) Τὸ ῥῆμα δύνω ἐκ τοῦ δύω· ὁ παρακείμενος δέδυκα, ὁ παθητικὸς δέδυσμαι, καὶ ὄνομα ῥηματικὸν δυσμὴ, καὶ δυσμός· ὅπου ἐξέρχεται καὶ ὑπεισδύνει ὁ ἥλιος.

Δαμεῖεν: Ὁ κανών· τὰ εἰς μεν εὐκτικὰ, εἰ μὲν δίφθογγος· ἔστι δὲ δαμείημεν, ἐπειδὴ ἀπὸ δαμείην γίνεται, καὶ κατὰ συγκοπὴν δαμεῖεν· καὶ δαμεῖεν τὸ τρίτον· τὸ ῥῆμα δαμῶ, σημαίνει δὲ τὸ ὑποτάσσω, ὁ μέλλων δάμησω, ὁ β΄ ἀόριστος ἔδαμον, ἐδάμην, καὶ τὸ πληθυντικὸν ἐδάμημεν· τὸ γὰρ μ τοῦτο οὐκ ἔστι κλιτικόν· πᾶν γὰρ πρῶτον πρόσωπον εἰς ν λῆγον, μὴ ἔχον τὸ μ κλιτικὸν, τροπῇ τοῦ ν εἰς σ ποιεῖ τὴν μετοχήν· ἡ μετοχὴ ὁ δαμεὶς, καὶ τὸ εὐκτικὸν δαμεῖεν.

Διαμετρητῷ: (Il. Γ. 344.) Ἡ εὐθεῖα ὁ διαμετρητὸς[t] σχῆμα παρασύνθετον καὶ[u] * * * χωρίζονται τὰ παρασύνθετα ἐκ τῶν συνθέτων, ἐκ τῆς διαφορᾶς τοῦ τόνου· τὰ μὲν γὰρ σύνθετα προπαροξύνονται, ἐπειδὴ ἀπὸ ῥήματος ἔχουσι τὴν σύνθεσιν· οἷον ἐκλέγω, ἐκλεκτός· ἐπίλεκτος δὲ προπαροξύνεται· ἐπεὶ ἀπὸ ὀνόματος ἔσχε τὴν σύνθεσιν, ἐκ τῆς ἐπὶ προθέσεως, καὶ τοῦ λεκτὸς, οὕτως οὖν καὶ διαμετρητῷ διαμετρητός[x].

Διάμησε: (Il. Γ. 359.) Ὁ μέλλων διαμήσω· τὸ μη η· διατί; ἡ δὲ δεύτερα τῶν περισπωμένων ἐπὶ τοῦ μέλλοντος ἔχει τὸ η, ἢ τὸ α· ὁ ἐνεστὼς διαμῶ, σχήματος συνθέτου, ἐκ τῆς διὰ προθέσεως καὶ τοῦ ἀμῶ, τοῦ σημαίνοντος τὸ θερίζω· γίνεται ἐκ τοῦ ἄμη, ὅπερ ἐστὶ γεωργικὸν ἐργαλεῖον, ἡ λεγομένη δρεπάνη.

Δειρή: (Il. Γ. 371.) Ἐκ τοῦ δέρω δέρη καὶ πλεονασμῷ τοῦ ἰῶτα δειρή· κυρίως ἀπὸ μεταφορᾶς· κατὰ τοῦτο γὰρ τὸ μέρος πρῶτον ἄρχονται ἐκδέρεσθαι τὰ ζῶα· ἀπὸ δὲ τούτου καὶ ἐπὶ

[t] Cod. διαμετριτός. [u] Est indicium lacunæ in Cod.
[x] Cod. διαμετριτός.

τῶν λοιπῶν ἀνθρώπων ἐπῆλθεν[y]. Οἱ μὲν Αἰολεῖς δέρη λέγουσι καὶ κατὰ παρεσχηματισμὸν δέῤῥις· σημαίνει δὲ τὴν τεταμένην βύρσαν· δειρὴ δὲ αὐχήν· διαφέρει· δειρὴ μὲν τὸ ἔμπροσθεν τοῦ τραχήλου, αὐχὴν δὲ τὸ ὄπισθεν.

Δινῶ: Ἐκ τοῦ δίνη· τὸ δι ι διατί; τὰ διὰ τοῦ ινη θηλυκὰ μονογενῆ, μὴ ἀπὸ ἐπιθέτων γινόμενα κύρια, διὰ τοῦ ι γράφεται· οἷον Αἰητίνη· θριδακίνη· μονογενῆ εἶπε, διὰ τὸ ἐκεῖνος ἐκείνη· μὴ ἀπὸ ἐπιθέτων γινόμενα, διὰ τὸ φωτεινὸς φωτεινή· μετάγονται γὰρ ἀπὸ τῶν ἐπιθέτων.

Δινωτοῖσι: (Il. Γ. 391.) Πεποικιλμένοις, τετορνευμένοις· ἡ εὐθεῖα δινωτόν· τὸ ἀρσενικὸν δινωτός· ἐκ τοῦ δινῶ· τοῦτο ἐκ τοῦ δῖνος· τὸ δι ι διατί; τὰ διὰ τοῦ ινος ὑπὲρ δύο συλλαβὰς μονογενῆ ἅπαντα διὰ τοῦ ἰῶτα γράφεται· οἷον, Φαυστῖνος· Ἰουστῖνος· καὶ προπερισπῶνται, πλὴν τοῦ καρκίνος.

Διαστήτην: (Il. Α. 6.) Ἀόριστος β′ τῶν εἰς μι· τρίτον πρόσωπον τῶν δυϊκῶν· ἡ δὲ τῶν δυϊκῶν κατάχρησις τοῖς Ἀττικοῖς μάλιστα ἁρμόζει· τὸ θέμα ἵστημι, ὁ β′ ἀόριστος ἔστην, καὶ τὸ τρίτον τῶν δυϊκῶν ἐστήτην, καὶ διαστήτην.

Δοῖεν: (Il. Α. 18.) Ἀόριστος β′· εὐκτικοῦ· δίδωμι, ἐδίδων, δοὺς δόντος· δοίην, δοίημεν, καὶ δοῖμεν, καὶ δοῖεν.

Δῶσι: (Il. Α. 129.) Δίδωμι· ὑποτακτικοῦ χρόνου ἀορίστου β′ καὶ μέλλοντος· ἐὰν δῶ, δῷς, δῷ, καὶ ἐπεκτάσει τῆς σι συλλαβῆς δῶσιν.

Δαμᾶ: (Il. Α. 61.) Ἐνεστῶτος· γίνεται παρὰ τὸ δέμω, τὸ δαμάζω, καὶ καταπονῶ· ὁ β′ ἀόριστος ἔδαμον, καὶ ὁ μέλλων β′ δαμῶ, καὶ μετάγεται εἰς ἐνεστῶτα, καὶ γίνεται δαμῶ, δαμᾷς, δαμᾷ· τί δὲ οὕτως; δαμῶ δαμάσω, τὸ τρίτον δαμάσει, καὶ ἀποβολῇ τῆς σει συλλαβῆς δαμά.

Δέμας: (Il. Ε. 801.) Ἀπὸ τοῦ διδῶ διδεῖς διδεῖ· δίδημι, ὁ παθητικὸς παρακείμενος δέδεμαι, ἐξ αὐτοῦ δέμας. τὸ γὰρ σῶμα δεσμός ἐστι τῆς ψυχῆς· δεσμὸς δὲ ἀπὸ τοῦ δέω βαρυτόνου· ἢ ἀπὸ τοῦ δέω περισπωμένου· δεῖ δὲ γινώσκειν ὅτι ὁ ποιη-

y Cod. ἐπῆλθεν.

τῆς δὲ[z] * * * λέγειν τὸ ἔμψυχον παρὰ τὸ δέδεσθαι τὴν ψυχὴν ἐν αὐτῷ, σῶμα δὲ τὸ ἄψυχον[a] * * * ἐστὶν ὡς τάφος τοῦ ποτὲ ζῶντος.

Δειλός: (Il. A. 293.) Παρὰ τὸ δέω τὸ φοβοῦμαι, πλεονασμῷ τοῦ ἰῶτα, ὁ μέλλων δείσω· δειλός· ἢ παρὰ τὸ δέος, δεειλὸς, καὶ δειλός.

Διομήδης: (Il. B. 563.) Ὄνομα κύριον[b]. * * * τὰ παρὰ τὴν Διὸς γενικὴν συντιθέμενα ἐκβάλλει τὸ σ· Διογένης· Διοπείθης· ὁ κανών· τὰ εἰς ης κύρια ῥήματι συντιθέμενα, εἰς ου ἔχει τὴν γενικήν· παντερπής· εὐπειθὴς, οὕτως καὶ Διομήδης· σημειῶδες τὸ Θεοκρίνης· τὰ γὰρ διὰ τοῦ ινης εἰς ου ἔχει τὴν γενικήν· Λεπτίνης καὶ Αἰσχίνης, οὕτως καὶ τὸ Ἀΐδης Ἀΐδου, παρὰ τὸ ἰδεῖν· ὅθεν οὐδὲν αὐτίκα ἴδοις.

Δυάς: Παρὰ τὸ διιέναι· μόνη γὰρ πρώτη ἡ δυὰς διΐστατο ἀπὸ τῆς μονάδος· ὅθεν οἱ Πυθαγόρειοι τόλμαν αὐτὴν εἶπον.

Δαΐφρων: (Il. B. 875.) Ὁ πολεμικὸν φρόνημα ἔχων· παρὰ τὸ δαῒ δοτικὴν, καὶ τοῦ φρήν· τῆς δὴ δαῒ δοτικῆς ἔστιν ἡ εὐθεῖα δαῒς, τοῦτο παρὰ τὸ δαίω, τὸ διακόπτω· κατὰ διάλυσιν δαΐω, καὶ πλεονασμῷ τοῦ ζ, δαΐζω· ὁ μέλλων δαΐσω, καὶ κατὰ συγκοπὴν δαῒς, καὶ κλίνεται δαΐδος· ὁ κανών· τὰ εἰς ις ὀξύτονα θηλυκὰ ὑπὲρ μίαν συλλαβὴν, διὰ τοῦ δος κλίνεται· οἷον ἐλπὶς ἐλπίδος· σφραγὶς σφραγῖδος· δαῒς δαΐδος· ἡ δοτικὴ δαΐδι, καὶ κατὰ συγκοπὴν τῆς δι συλλαβῆς δαΐ,

ἐν δαῒ λυγρῇ

καὶ ἐξ αὐτοῦ δαΐφρων· τὰ δὲ ἐκ δύο τελείων συγκείμενα ὀνόματα, ἢ ἀπὸ εὐθείας συντίθεται, ὡς τὸ ἕως ἑωσφόρος· καὶ βουλὴ βουληφόρος. ἢ ἀπὸ γενικῆς, ὡς τὸ οὐδεὶς οὐδενὸς, καὶ τοῦ ὥρα, ὃ σημαίνει τὴν φροντίδα, οὐδενόσωρα· καὶ τοῦ Ἕλλης Ἑλλήσποντος· Λυκόφρων·

ἃ πόντος Ἕλλης καὶ πέτραι Συμπληγάδες[c]

ἢ ἀπὸ δοτικῆς, ὡς τὸ ἄρηϊ, ἀρηΐφιλος· καὶ δουρὶ δουρίκλυτος· καὶ πόδα Ποδαλείριος· λέγεται δὲ ὁ Μαχάων, παρὰ τὸ ποσὶ

[z] Lacunam ind. Cod. [a] Alia lac. [b] Excidit una aut altera vox. [c] v. 1285.

λείρια ἐπιτιθέναι, ἃ σημαίνει τὰ ἄνθη· ἐξ οὗ καὶ "λειριόεντα" εὐανθῆ· ἰατρὸς γάρ· ἀπὸ δὲ τῆς κλητικῆς μόνης οὐ συντίθεται· ἐπὶ δὲ τοῦ

κουριδίης ἀλόχοιο δαΐφρονος [Πηνελοπείης] (Od. O. 355.)

οὐ σημαίνει τὴν πολεμικὴν, ἀλλὰ τὴν σώφρονα καὶ συνετήν· καὶ γέγονε παρὰ τὸ δάω τὸ μανθάνω, ὁ μέλλων δαήσω, καὶ ἐξ αὐτοῦ δαΐφρων· τὰ γὰρ ἀπὸ τῆς πρώτης συζυγίας τῶν περισπωμένων γινόμενα ὀνόματα, ἢ τῷ ο παραλήγεται, ὡς τὸ ἁμαρτῶ ἁμαρτοεπής· μισῶ μισογύνης· ἢ τῷ ι, ὡς εἱλῶ εἱλίπους· οἰδῶ Οἰδίπους· ἁμαρτῶ ἁμαρτίνους· οὕτως καὶ δαῶ δαήσω, δαΐφρων· ἢ παρὰ τὴν διὰ πρόθεσιν καὶ τοῦ φρὴν διάφρων, σημαινομένου ἐπιτάσεως, καὶ ὑπερβιβασμῷ, δαΐφρων.

Διαγλάψας·

εὐνὰς δ' ἐν ψαμάθοις διαγλάψας[c] ἁλίῃσιν. (Od. Δ. 438.)

γίνεται παρὰ τὸ γλάφω τὸ κοιλαίνω, ἐξ οὗ γλάφυ.

Δέμας: (Il. A. 115.) Ἄκλιτόν ἐστιν, ἐπειδὴ οὐδὲν τῶν εἰς ας οὐδετέρων ἔχει πρὸ τοῦ α τὸ μ· οἷον, τέρας· γέρας· κρέας· ἐπειδὴ οὖν τὸ δέμας εἰς ας ὂν ἔχει πρὸ τοῦ α τὸ μ, εἰκότως, ὡς μὴ ἔχόν τι μιμήσασθαι, ἔμεινεν ἄκλιτον.

Διακρινθήμεναι: (Il. Γ. 98.) Ῥῆμα ἀπαρέμφατον· τὸ θέμα κρίνω, ὁ παρακείμενος κέκρικα· οὐ παραλαμβάνει τὸ ν· τὰ γὰρ εἰς νω λήγοντα ῥήματα δισύλλαβα, καθαρῷ διχρόνῳ παραληγόμενα, οὐ προλαμβάνουσι τὸ ν κατὰ τὸν παρακείμενον· οἷον πέπληκα· κέκρικα· εὑρέθη δὲ καὶ τὸ κεκέρδακε· κατὰ δὲ ποιητὰς προσλαμβάνουσι[d]

ὃ δ' ἐκλίνθη καὶ ἀλεύατο κῆρα μέλαιναν. (Il. Γ. 360.)

Δέ: Σύνδεσμος συμπλεκτικὸς, οὐχ ὑποτασσόμενος τῷ μὲν πάντοτε

πολλὰς δ' ἰφθίμους ψυχάς. (Il. A. 3.)

καὶ οὐ προέκειτο τὸ μέν· διαφέρων τοῦ μὲν αὐτὰρ, τάξει καὶ χρήσει· ὁ μὲν γὰρ αὐτὰρ προτάσσεται, καὶ σύνηθες ποιηταῖς· ὁ δὲ δε ὑποτάσσεται, καὶ πεζολόγοις· τοῦ δὲ ἀλλὰ, τάξει μόνῃ,

c Edd. διαγλάψασ' ἁλίῃσι.

d προσλαμβάνεται. (ουσι written above)

χρήσει δὲ οὐκ ἔτι· ἑκάτερον γὰρ σύνηθες ποιηταῖς καὶ λογογράφοις· ἔστι δ᾽ ἀναιρετικὸν προλαμβάνουσι τὸ οὐ ἀποφατικὸν, ὡς τὸ

οὐδ᾽ οὐκ ἐθέλοντα μάχεσθαι. (Il. Δ. 224.)

ἔστι δ᾽ ὅτε προτάσσεται καὶ τοῦ μὲν,

οἱ δέ μοι ἑπτὰ κασίγνητοι ἔσαν. (Il. Z. 421.)

Δόμεν: παριδὶ * * * θάνατον[e] ῥῆμα ἀπαρέμφατον· τὸ κοινὸν δοῦναι· τὸ Δώριον δόμεναι καὶ δόμεν.

Δαρδάπτουσιν[f]: (Il. Λ. 479.) Δάπτω, ἐν διπλασιασμῷ δαρδάπτω· ὡς βαίνω βαβαίνω· καίνω κακαίνω· τὸ δὲ δάπτω παρὰ τὸ ἔδω, τὸ ἐδάπτω, ὡς κολλῶ κολλάπτω.

Δέ: Τὸ δὲ φασὶν ἢ ἀναιρετικὸν, ὅτε λαμβάνει τὴν ου ἀπόφασιν· "ἐγὼ μὲν ἔγραψα, σὺ δὲ οὐκ ἔγραψας·" ἢ μεταβατικόν· "ἔγραψα· σὺ δὲ διελέξω·" καὶ ἀπὸ κοινοῦ λαμβάνεται

ἀλλ᾽ ἤτοι ταῦθ᾽ ὑποείξομεν ἀλλήλοισι,
σοὶ μὲν ἐγὼ, σὺ δ᾽ ἐμοί. (Il. Δ. 62.)

ἐνθάδε ἐν τῇ μεταβάσει τοῦ ἀριθμοῦ τέθεικε τὴν πρᾶξιν.

Δεῦρο:

δεῦρο γύναι φέρε. (Od. Θ. 424.)

ἐπίῤῥημα νῦν παρακελεύσεως· ἔστι καὶ τοπικὸν

δεῦρο μαχησόμενος. (Il. A. 153.)

ὡς καὶ διαφόρως γράφουσι·

ἢ δεῦρο μὲν ἕπονται

τὸ δεῦτε δὲ οὐκ ἔστι ῥῆμα, ὡς οὐ δὲ τὸ δεῦρο τὸ κελευστικὸν, ἀλλ᾽ ἐπίῤῥημα, ὡς τὸ ἄγε ὅπερ οἱ Αἰολεὶς ἄγει φασὶ, καὶ πλεονασμῷ τοῦ ρ ἄγρει· τὸ γὰρ ῥῆμα ἄγε φασί· τὸ δ᾽ ἐπίῤῥημα ἄγει· Ἀττικοὶ δευρὶ φασὶ τοπικὸν, Αἰολεῖς δευρί[g].

Διομήδης: (Il. B. 567.) Ὄνομα κύριον σύνθετον· ἡ Διὸς γενικὴ κατ᾽ ἀρχὴν συντιθεμένη ἀποβάλλει τὸ σ· Διό-

[e] παιδὶ δόμεν θάνατον. Il. I. 567. [f] Cod. αρεύπτους. [g] Sic utrobique Cod.

δωρος· Διοπείθης· Διογένης· διὸ τὸ Διόσκορος ἐν παραθέσει· τὸ θεόσδοτος καὶ διόσδοτος ποιητικά·

θεόσδοτος πολλῶν ἀμείνων[g]

Διομήδης ὁ κανών· τὰ εἰς ης κύρια σύνθετα παρὰ ῥῆμα εἰς ους ἔχει τὴν γενικήν· παντέρπης· πολυφείδης· εὐπείθης· οὕτω καὶ Διομήδης· σημειῶδες τὸ Θεοκρίνης· Σμικρίνης[h]· διατὶ οὐ τρέπουσιν οἱ Δωριεῖς τὸ η εἰς α, Διομήδας καὶ Δημοσθένας; τὰ εἰς ης ὅτε ἐπὶ γενικῆς εἰς ους λήγει, οὐ τρέπουσιν Δωριεῖς· Διοπείθης· εὐπείθης· ὅτε δὲ εἰς ου ἔχει τὴν γενικὴν τρέπουσιν· οἷον παιδοτρίβης παιδοτρίβου, παιδοτρίβας λέγουσι.

Δεῦρο: Ἔστι καὶ παρακελευστικὸν ἐπίῤῥημα καὶ τοπικὸν

δεῦρο φίλη λέκτρονδε τραπείομεν. (Od. Θ. 292.)

οὐ δὲ ἐπίῤῥημα εἰς ο λήγει, εἰ μὴ μόνον τὸ δεῦρο καὶ ἄπο· τὸ γὰρ ψὸ παρὰ τῷ Σοφοκλεῖ[i] ποιμενικὸν ἐπίφθεγμα οὐκ ἀντιπίπτει· τὸ δεύρω καὶ διὰ τοῦ ω μεγάλου παρὰ τῷ ποιητῇ· διότι δὲ καὶ κελευστικόν ἐστιν, ὑπενόησαν αὐτὸ τινὲς ῥῆμα προστακτικόν, καὶ εἰς ο περατοῦται· δέδεξο· ὄλλυσο· ἀλλὰ πᾶν ῥῆμα ἢ καθαριεύειν θέλει, ἢ σ ἔχειν, ἢ ξ, ἢ ψ· δέδεξο· τίθεσο· τέτυψο· τὸ δεῦρο οὐκ ἔχεται χαρακτῆρος τοῦ κατὰ ῥήματα, εἰ δέ γε προστακτικὸν ἐστὶ, τὶ τὸ ὁριστικόν; τὶ δὲ τὸ θέμα; καὶ εἰς β′ πρόσωπον, ποῦ τὸ τρίτον; ἀλλὰ καὶ τὸ δεῦτε οὐκ ἀκόλουθον ἐστί· τὰ γὰρ εἰς ο λήγοντα ῥήματα προστακτικὰ πληθυντικὸν ἔχει εἰς θε· δίδοσο, δίδοσθε· δέδεξο, δέδεχθε[k]· τὸ δεῦτε οὐκ ἀκόλουθον· ἐπίῤῥημα οὖν ἐστὶ παρακελευστικόν· ἀλλὰ πῶς ἐγένετο τὸ δεῦτε; τεθεμάτισται οὐ κέκλιται· ταῦτα συνδρομήν, ὥσπερ ἄγε, καὶ πληθυντικὸν ἄγετε· οὐκ ἀκόλουθον, ἀλλὰ τεθεμάτισται, καὶ τὸ ἄγρει ἐπίῤῥημα παρακελευστικὸν, καὶ ἔσχε πληθυντικὸν,

ἀγρεῖθ' αἱ μὲν δῶμα κορήσατε[l]. (Od. Υ. 149.)

οὕτω καὶ δεῦρο καὶ δεῦτε· καὶ οὐδὲν προστακτικὸν διὰ τοῦ ἰῶτα ἐπεκτείνεται· πῶς οὖν τὸ δευρὶ ἐπίῤῥημα; ἆρα καὶ οὐδὲν ὅμοιον

[g] Hesiod. Op. I. 318. ῆ θεόσδοτα πολλὸν ἀμεινώ. [h] Cod. σμισκρίνης. [i] Cod. σοφοκλ. [k] Cod. δέδεχθαι. [l] Cod. διακορήσατε.

αὐτῷ, μονῆρες· καὶ γὰρ τὸ νυνὶ μονῆρες ἐπίῤῥημα, ὡς καὶ τὸ νύκτωρ.

Διά: Γενικῇ συντάσσεται ἐπὶ ἀψύχων· "δι' ὁδοῦ; διὰ ῥώμης· διὰ ξίφους· διὰ ξύλου·" μέρος γενήσεως· καὶ ὅσα ἐπὶ ἐμψύχων· "δι' Ἀπολλωνίου γινώσκω·" καὶ ἐστὶν ὥσπερ διόδος τῆς διανοίας· αἰτιατικῇ δὲ αἴτιαν σημαίνει· "διὰ ῥῆσιν· δι' Ἀπολλώνιον ταῦτ' ἐγένετο·" παρὰ δὲ τῷ ποιητῇ καὶ τοπικὴν ἔννοιαν

διά τ' ἔντεα καὶ μέλαν αἷμα· (Il. K. 98.)

παρὰ δὲ Ἀττικοῖς προλαμβάνει τὸ ἰῶτα, καὶ γίνεται διαὶ, καὶ συντάσσεται γενικῇ, καὶ ἰσοδυναμεῖ τῷ ἕνεκα·

πᾶσα γὰρ Τροῖα δέδορκεν Ἕκτορος τύχης διαί·

ἀντὶ τοῦ ἕνεκα Ἕκτορος· καὶ ἐν Ἀγαμέμνονι[m]·

ἀλλοτρίας διαὶ γυναικός·

ἀντὶ τοῦ ἕνεκα.

Δειδιότα: (Il. Z. 137.) Χρόνου παρακειμένου, καὶ ὑπερσυντελικοῦ· τὸ θέμα δείδω,

δείδω μὴ τὸ χθιζὸν ἀποστήσονται Ἀχαιοὶ
χρεῖος. (Il. N. 745.)

ἀφ' οὗ δέος· ἢ ὥσπερ ἀπὸ τοῦ πείθω γίνεται παράγωγον πεπίθω,

οἰχομένη πεπιθήσω. (Il. X. 223.)

οὕτως ἀπὸ τοῦ δείδω, δειδιῶ, δεδιήσω, δεδίηκα, ὡς λελίηκα[n] λελιημένος· ἀπὸ δὲ τοῦ δείδω, ὁ παρακείμενος δέδοικα, ὁ μέσος δέδια, καὶ πλεονασμῷ τοῦ ἰῶτα, δείδια· ὅμοιον τὸ δεδέχατο

δειδέχατ' ἄλλοθεν ἄλλος. (Il. I. 667.)

ἀλλὰ καὶ τὸ δέδοικα· τὸ δὲ ῥῆμα τοῦτο ἰδιακὸν παρακείμενον ὂν, πῇ μὲν ἐνεστῶτα λαμβάνειν, πῇ δὲ παρατατικὸν,

τοῦ[o] δ' ἀμφιτρομέω καὶ δείδια. (Od. Δ. 820.)

ἀντὶ τοῦ εὐλαβοῦμαι· οὐδὲν δὲ θαυμαστὸν εἰ παρακείμενος ἐνεστῶτι συντάσσεται, καὶ γὰρ ὁ παρακείμενος οἰκειότητα ἔχει πρὸς τὸν ἐνεστῶτα· καλεῖται γοῦν ἐνεστὼς συντελικὸς, καὶ τὸ

[m] Æsch. Agam. v. 426. [n] Cod. λαλίηκα. [o] Cod. ποῦ.

οἶδα λέγομεν παρακείμενον, καὶ ἶσον σημαίνει ἐνεστῶτι, τῷ γινώσκω· καὶ ἐκ τοῦ ἐναντίου ἐνεστῶτα λαμβάνεις, ἵνα παρακείμενος πληρωθῇ· "γεγραμμένοι εἰσί·" κεῖται δὲ καὶ ἐπὶ παρακειμένου ἐπὶ τρίτου προσώπου·

δείδιε γὰρ μὴ λαιμὸν ἀποτμήξειε σιδήρῳ. (Il. Σ. 34.)

καὶ τὸ πληθυντικὸν αὐτοῦ κατὰ συγκοπὴν εἶπεν,

ἀλλὰ λίαν μέγα πῆμα, διοτρεφὲς, εἰσορόωντες
δείδιμεν. (Il. I. 230.)

καὶ,

οὔτε βίας Τρώων ὑπεδείδισαν, οὔτε ἰωκάς. (Il. E. 521.)

τοῦ δείδια παράκειται μετοχὴ δειδιὼς, καὶ δειδιότος, καὶ δειδιότα.

Δεύεται·

πυκινὰ πτερὰ δεύεται ἅλμῃ. (Od. E. 53.)

παρὰ τὴν Διὸς γενικὴν, διεύω, καὶ ἐλλείψει τοῦ ι δεύω, καὶ δεύεται· κύριον δὲ ἐστὶ τὸ ἀπὸ Διὸς βρέχεσθαι· ὥσπερ χείρων λέγεται ὁ ταῖς χερσὶ χείρων, ἤτοι ἐλάττων· οὕτως δεύεσθαι κύριον, τὸ ἀπὸ Διὸς βρέχεσθαι·

δεύοντο ψάμαθοι. (Il Ψ. 15.)

παρὰ τὸ Διὸς καὶ τὸ διαίνω, τὸ βρέχω· ὡς μάργω μαργαίνω· γίνεται δὲ ἔλλειψις τοῦ ἰῶτα· καὶ ὥσπερ παρὰ τὸ χλιαίνω, χλίαινος, καὶ χλαῖνος· οὕτως Διὸς διεύω, καὶ δεύω· ἔστι δὲ καὶ ἕτερον δεύω·

δεύει ὅκεν μνηστῆρσιν. (Od. A. 254.)

καὶ,

ἐδεύησε δ' οἰήϊον ἄκρον ἱκέσθαι. (Od. I. 483.)

τοῦτο γὰρ κατὰ πλεονασμὸν ἔχει τὸ υ· γίνεται γὰρ παρὰ τὸ δέω, ἔνθεν καὶ ὁ ἐνδέης· καὶ ὡς χέω χεύω, καὶ δέω δεύω ἐπὶ ἄλλου σημαινομένου.

Δακρύων: Ἀπὸ τοῦ δάκω, ἔνθεν τὸ ἔδακον·

θυμοδάκης γὰρ μῦθος· (Od. Θ. 185.)

ἔστιν ἡ εὐθεῖα δάκρυον καὶ δάκρυ· οὐ γὰρ ἐκ τοῦ δάκρυον κατὰ ἀποβολὴν, ἀλλὰ κατὰ σχηματισμὸν χρῆται ὁ ποιητὴς,

βαλέειν τ' ἀπὸ δάκρυ παρειῶν. (Od. Δ. 198.)

τοῦ δάκρυ ἡ γενικὴ δάκρεος, δάκρεϊ, τὸ πληθυντικὸν δάκρεα· τοῦτο κατὰ συναλιφὴν γέγονε δάκρη,

ξανθὰ δάκρη

ἀπὸ δὲ τοῦ δάκρυον, δάκρυα· τὸ δὲ δάκρυσιν οὐκ ἀπὸ τοῦ δάκρυ, δάκρεσι γὰρ ἂν ἦν· ἀλλ' ἀπὸ τοῦ δακρύοις κατὰ μεταπλασμὸν, ὡς προβάτοις πρόβασιν, ἐγκάτοις ἔγκασι· πετάλοις πέταλσιν·

ἐν ἠρινοῖς πέταλσι [p]

καὶ ὡς ἀπὸ τοῦ θύω θυόεις, καὶ

θυόεν νέφος, (Il. O. 153.)

οὕτω δάκρυον δακρύοεις, καὶ

δακρυόεσσα δέ μιν ποτιδέρχεται. (Il. Π. 10.)

καὶ μύρον μυρόεις [q].

Δύστηνος: (Il. X. 477.) Σύνθετον παρὰ τὸ δυς, καὶ τὸ στένω· εἰ οὖν τὸ στένω ἔχει τὸ σ, ὤφειλε διὰ δύο σσ γράφεσθαι, δύσστηνος· κανὼν γὰρ ἐστὶν ὁ λέγων, ὅτι τὸ δυς μόριον ἐν τῇ συνθέσει φυλάσσει τὸ σ· δύσμορφος· δυσείδης· εἰ οὖν γράφεται διὰ δύο σσ τὸ πρόσχες καὶ προσχών, διὰ δύο σσ γραφομένον, οὐκ ἀντίκειται· ἔστι γὰρ πρόθεσίς τις, πρὸς, καὶ ἕτερα πρὸ, πολλῷ ἀλλήλων διαφέρουσαι· διαφέρει οὖν τὸ προελθεῖν τοῦ προσελθεῖν· ὑπὸ διαφόρου οὖν σημαινομένου ἔμεινε τὸ σ· ἵνα μὴ νοηθῇ ἑτέρα πρόθεσις· εἰ γὰρ γένηται προσχὼν καὶ πρόσχες δι' ἑνὸς σ, ἡ πρὸ νοεῖται [r]· τὸ δὲ νοητικὸν τὴν πρὸς ἀπαιτεῖ, οὐ τὴν πρό.

Δυσμενέων: (Il. K. 221.) Σύνθετον ἐκ τῶν δύο σσ· εἴ τι δὲ παρὰ τὸ ῥῆμα παρὰ τὸ μένω, ὃ σημαίνει τὸ προθυμοῦμαι, ἀφ' οὗ καὶ τὸ μέμονας, ἀναγκαίως ὠξύνετο· ὡς σπείρω πολυσπέρης· ἄρδω νεάρδης· οὕτω μένω δυσμενής· εἴτε παρ' ὄνομα οὐδέτερον τὸ μένος· δυσμενὴς κλίνεται δυσμενέος, καὶ δυσμενέων κατὰ τὸ ἐντελές.

Δῦναι: (Il. Γ. 322.) Β' ἀόριστος· ὡς γὰρ τὸ φὴν φὰς φᾶναι· ἵστημι στᾶς στᾶναι· οὕτως παρὰ τὸ δῦμι, ἀφ' οὗ παρὰ τῷ ποιητῇ,

[p] Pind. Pyth. IX. 82. ἠρινὰ φύλλα. [q] Cf. Etym. M. p. 245, 49. sed plenior est noster. [r] Cod. προνοεῖται.

κύματος ἐξαναδύς. (Od. E. 438.)

δῦναι ὡς φῦναι, παρὰ τὸ φύω, φῦμι, φύς.

Δόμος: (Il. B. 513.) Ὄνομα προσηγορικὸν ῥηματικὸν παρὰ τὸ δέμω, βαρύνεται· τὰ εἰς μος λήγοντα τῷ ο παραλη-γόμενα δισύλλαβα μονογενῆ, πάντα βαρύνεται, εἰ μὴ διάφορον εἴη τὸ σημαινόμενον· γόμος· νόμος· τρόμος· δρόμος· εἰ δέ τι ὀξύνεται πρὸς διάφορον σημαινόμενον·

νόμον κατὰ τρομὸν δρόμημα[r] γηραίου ποδός·

Εὐριπίδης· τομὸς ὁ τεμνόμενος· τὸ ὁμὸς ὀξύνεται, τριγενὲς γάρ· ὁμὸς, ὁμὴ, ὁμόν.

Δουρί: (Il. A. 303.) Πέντε ἔχει δοτικάς· δούρατι· δουρί· δορεί· δόρατι· δόρι· ἡ δούρατι καὶ

δόρατι πρόδοτος[s]

καὶ ἡ

δουρὶ πεπονθυῖα·

ἡ δόρει παρ' Αἰσχύλῳ ἐν Ἀγαμέμνονι·

σὺν δόρει στρατὸν

ἔστιν ἡ εὐθεῖα δόρυ·

δόρυ δ' ἐν κραδίῃ ἐπεπήγει· (Il. N. 442.)

καὶ ὡς πῶϋ πώεος γενικὴ, δοτικὴ πώει· δόρυ, δόρεος, δόρεϊ, συνα-λιφῇ δόρει· ἡ δὲ δορὶ παρὰ τὴν δοῦρας εὐθεῖαν· ἐπεὶ ἀνάλογός ἐστιν ὁμοίων παράθεσις· ἔχει δὲ αὐτὴ ἡ εὐθεῖα ὁμοίων παράθε-σιν· κέρας· καὶ τέρας· οὗ πληθυντικὸν ἀκόλουθον, δόρατα,

δούρατα δ' αἴκ' ἐθέλῃσθα καὶ ἓν καὶ εἴκοσι δήσεις· (Il. N. 260.)

ἡ γενικὴ δούρατος, καὶ ἐν συγκοπῇ δουρὸς, ὑφέσει τοῦ υ· δορός·

ἀνταίου δορὸς ὀρνύμενος Ἀχιλλέως·

καὶ ἡ δοτική·

δορὶ σὺν ἀσπίδι[t].

αἱ δὲ παρὰ Τρύφωνι εὐθεῖαι δὸρ καὶ δοὺρ, ἀφ' οὗ δορὸς καὶ δουρὸς, κακίζονται.

Δείδω: (Il. Γ. 37.) Τρίτης συζυγίας τῶν βαρυτόνων· ὤ-φειλε δὲ περισπᾶσθαι· καθόλου γὰρ τὰ δισύλλαβα ῥήματα

[r] MS. δριμη (μ superscript). [s] MS. πρόδητ. (ο superscript). [t] Aristoph. Vesp. 1081.

ὁπότε ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ συλλαβῇ τὸ αὐτὸ σύμφωνον ἔχει μακρᾷ τε παραλήγεται· τητῶ·

ὁ μὲν ἀρνεῖται σὺ δὲ τητᾷ[t]·

παπῶ· μαιμῶ· δῆλον δὲ ἐκ τοῦ ῥηματικοῦ ὀνόματος τοῦ δειδήμων, ὡς νοήσω νοήμων, δειδήσω δειδήμων,

ἀλλὰ μάλα Τρῶες δειδήμονες· (Il. Γ. 56.)

ἀλλὰ λέγομεν, ἔστι ῥῆμα δείω· ὁ β′ ἀόριστος δίε, καὶ μέσος παρακείμενος δείδιε,

δείδιε γὰρ μὴ λαιμὸν (Il. Σ. 34.)

καὶ ὑπερσυντελικὸς ἐδειδίειν, καὶ ἐδειδίεμεν, ἐδειδίετε, ἐδειδίεσαν, καὶ ἐν συγκοπῇ

οὔτε βίας Τρώων ὑπεδείδεσαν· (Il. E. 521.)

παρὰ τὸ δείω κατὰ πλεονασμὸν τοῦ δ, καὶ ἐν τῷ ὕδωρ, ὕωρ γάρ, καὶ ἄχερδος· καὶ τὸ παρὰ τῷ Συρακουσίῳ[u]

λαβρέοντι δέ τοι μυκτῆρες[x]

ἔγκειται γὰρ τὸ λ ἐπιτατικὸν ῥέω ῥέοντι, ἀντὶ τοῦ μεγάλως ῥέουσι· οἱ δὲ φασὶν ὅτι, ὥσπερ ἀπὸ τοῦ σκέλος γίνεται σκελίζω, οὕτω καὶ ἀπὸ τοῦ δέος δεΐζω καὶ ἐν συναιρέσει, δείζω, καὶ κατὰ μεταβολὴν τοῦ ζ εἰς δ, δείδω.

Δῖος: (Il. A. 7.) Ὄνομα κύριον κτητικὸν ἁπλοῦν πεπονθός· οὐδὲν γὰρ εἰς ος λῆγον κτητικὸν δισύλλαβον ἐστὶν, εἰ δέ τι δισυλλαβεῖ τοῦτο πέπονθε· πέπονθεν οὖν τὸ δῖος· ὡς τὸ Χῖος· θεῖος· Κεῖος· καὶ τὸ μὲν θεῖος καὶ Κεῖος ἀπὸ τοῦ θεὸς θέϊος, καὶ Κεὸς Κέϊος· τοῦ ε καὶ ἰῶτα συναιρεθέντων εἰς τὴν ει δίφθογγον· τὸ δὲ Χῖος διὰ τοῦ ἰῶτα· ἀπὸ γὰρ τοῦ Χίϊος· τὰ γὰρ ἀπὸ τῶν νήσων παραγόμενα ἐθνικὰ διὰ τοῦ ἰῶτα παράγεται· Κνίδος Κνίδιος· Ῥόδος Ῥόδιος· Λίνδος Λίνδιος· Σάμος Σάμιος· εἰ οὖν Χῖος ἡ νῆσος, Χίϊος ὠφείλεν εἶναι τὸ ἐθνικόν· ἀλλὰ κατὰ συναίρεσιν τῶν δύο ἰῶτα εἰς ἓν μακρὸν γίνεται Χῖος· τὸ δὲ δῖος ὥσπερ ἀπὸ τοῦ[y] νυχὸς νύχιος[z] καὶ Στυγὸς

[t] Hesiod. Op. II. 26. [u] Ex Epicharmo nempe. [x] Excidit ergo Ruhnkenii conjectura de voce λαβρέοντι quasi ab ἄλαδε ῥέοντι depravata Etym. M. p. 554, 33. in not. [y] Cod. τοῦ. [z] Cod. νύγιος.

Στύγιος, καὶ χθόνιος, οὕτω καὶ ἀπὸ τῆς Διὸς γενικῆς δίϊος, καὶ κατὰ συναίρεσιν δῖος· τινὲς δὲ διὰ τῆς ει διφθόγγου τὸ δεῖος λόγῳ τοιῷδε· τὰ ἀπὸ τῶν εἰς ευς παραγόμενα κτητικὰ διὰ τῆς ει διφθόγγου γράφεται· οἷον βασιλεὺς βασίλειος· Ἀχιλλεὺς Ἀχίλλειος· Ὀδυσσεὺς Ὀδύσσειος· εἰ οὖν ἐστὶ Ζεὺς, τὸ δεῖος κτητικὸν ὀφείλει γράφεσθαι διὰ τῆς ει διφθόγγου· ἀλλὰ λέγομεν ὅτι γενική ἐστιν ἡ ποιοῦσα τὸ κτητικὸν, οὐχ ἡ εὐθεῖα, τοῦ γὰρ Ὀδυσσεὺς ἡ γενικὴ Ὀδυσσέως ἔχει τὸ ε· τούτου τὸ κτητικὸν διὰ τῆς ει διφθόγγου γράφεται Ὀδύσσειος· Ἀχιλλεὺς Ἀχιλλέως Ἀχίλλειος· οὕτως καὶ ἀπὸ τοῦ Ζεὺς ἡ γενικὴ Διὸς οὐκ ἔχει τὸ ε· οὐ δὲ τὸ κτητικὸν ἕξει τὸ ε, ἀλλὰ μόνον τὸ ἰῶτα· οἱ δὲ Ἴωνες τὴν γενικὴν οὐ διὰ τοῦ ε λέγοντες, ἀλλὰ διὰ τοῦ η, οἷον, Ἀχιλλῆος· βασιλῆος, ὁμοίως καὶ τὸ κτητικὸν διὰ τοῦ η ποιοῦσιν, Ἀχιλλήϊος· βασιλήϊος· ἐκ τούτου οὖν δείκνυται ὅτι κακεῖνα ἀπὸ τῆς γενικῆς γίνονται, οὐκ ἀπὸ τῆς εὐθείας.

ἈΡΧΗ ΤΟΥ Ε ΣΤΟΙΧΕΙΟΥ.

Ἕκτωρ: (Il. B. 807.) Τὸ *ε ψιλὸν διατί; πρὸ τοῦ κ ἡ αι δίφθογγος οὐχ εὑρίσκεται, εἰ μὴ ἐν ὀλίγαις λέξεσι, καὶ σεσημειωμέναις· ὡς ἔχει, τὸ αἰκίζω, καὶ τὰ ἐξ αὐτοῦ· αἶκνον τὸ δεῖπνον· αἰκάλλω τὸ θωπεύω· αἰκατερίνα· τὰ δὲ λοιπὰ ψιλά·*

Ἔνδοθι: (Il. A. 243.) Τὰ *εἰς θι ἐπιῤῥήματα βαρύτονα διὰ τοῦ ἰῶτα γράφεται· οἷον οὐρανόθι· αὐτόθι· ἔνδοθι· πρόσκειται βαρύτονα διὰ τὰ ὀξύτονα, ταῦτα γὰρ διὰ τῆς ει διφθόγγου γράφονται· οἷον ἀμοθεὶ, τὸ ἀνεὺ μάχης, παρὰ Θουκυδίδη*[a]· *ἀμοχθεί· σεσημείωται τὸ ἀμισθὶ, τὸ ἀνεὺ μισθοῦ.*

Ἑτέρωθεν: (Il. A. 247.) *Διατὶ προπαροξύνεται; τὰ εἰς θεν λήγοντα ἐπιῤῥήματα τῷ ω παραληγόμενα, εἰ μὲν ἀπὸ βαρυτόνου ὀνόματος, ἢ ἀπὸ ἐπιῤῥήματος παράγεται, προπαροξύνεται· οἷον ἕως ἕωθεν· ἄνω ἄνωθεν· ἔξω ἔξωθεν· εἰ δὲ ἀπὸ ὀξυτόνων προπερισπῶνται· οἷον ἠὼς ἠῶθεν· τὰ δὲ παρὰ τοῦτο σπάνια.*

Ἐφθίατο: (Il. A. 251.) *Χρόνου παρατατικοῦ, τρίτου*

[a] V. 77.

προσώπου Ἰωνικοῦ· τὸ κοινὸν ἔφθιτο· τὸ Ἰωνικὸν ἐφθίατο· ὁ κανών· ταῦτα τὰ τρία Ἴωνες προσόδῳ τοῦ α· τὸ θέμα φθίω· τὸ φθι ἰῶτα διατί; τὰ διὰ τοῦ ειω, μὴ παρ' ἐνεστῶτος· καὶ τὰ ἑξῆς· ὁ μέλλων φθίσω, φθίσει,

δαιμόνιε φθίσει σε τὸ σὸν μένος· (Il. Z. 407.)

ὁ παρατατικὸς ἐφθιόμην, τὸ α' τῶν πληθυντικῶν ἐφθιόμεθα· ἕκαστος ἐκ τοῦ φθίω, φθίνω, κατ' ἐπένθεσιν τοῦ νυ·

οἷον δὲ φθινύθουσιν·

ἐξ αὐτοῦ τὸ φθίμι· ἡ μετοχὴ παθητικὴ φθίμενος· ἐξ οὗ τὸ

φθίμενος[b] ἐν Τροίῃ ἑκὰς Ἄργεος ἱπποβότοιο. (Il. I. 246.)

ἐξ αὐτοῦ δὲ φθιτὸν καὶ ἄφθιτον,

εἵλετο δὲ[c] σκῆπτρον πατρώϊον ἄφθιτον. (Il. B. 46.)

Ἐκεῖνος: (Il. I. 63.) Τὸ κει δίφθογγος διατί; καθόλου αἱ ὑπὲρ μίαν συλλαβὴν λήγουσαι μονοπρόσωποι ἀντωνυμίαι φιλοῦσι διφθόγγῳ παραλήγεσθαι· οἷον, αὐτός· οὗτος· ὁ δεῖνα· σεσημείωται τὸ ὅδε,

ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει. (Il. A. 287.)

πρόσκειται ὑπὲρ μίαν συλλαβὴν διὰ τὸ μὶν καὶ νίν· πρόσκειται μονοπρόσωποι, ἐπειδὴ δεύτερον καὶ τρίτον πρόσωπον κατὰ ἀκόλουθα οὐκ ἔχουσιν.

Ἐπί: Πόσαις πτώσεσι συντάσσεται ἡ ἐπὶ πρόθεσις; τρισί· γενικῇ· δοτικῇ· αἰτιατικῇ· κλητικῇ· καὶ γενικῇ μὲν συντάσσεται ὅτε τὴν ἐπάνω σχέσιν δηλοῖ· οἷον, "ἐπὶ τῆς γῆς," ἀντὶ τοῦ ἐπάνω τῆς γῆς· καὶ ἐν ταῖς συνθέσεσι δὲ σημαίνει τὴν ἐπί τι θέσιν, ἢ πλείονα ἔμφασιν, ἢ ἀκολούθησιν· οἷον, ἐπίθεμα· ἐπίβλημα· τὸ ἐπάνω τιθέμενον καὶ βεβλημένον· πλείονα δὲ ἔμφασιν· οἷον, ἐπικρύπτω· ἀκολούθησιν δέ· οἷον, ἐπιφορά· ἐπαγωγή.

Ἕλω: (Il. H. 81.) Τὸ ε ψιλόν· διατί; πρὸ τοῦ λ ἡ αι δίφθογγος οὐχ εὑρίσκεται, εἰ μὴ ἐν ὀλίγαις λέξεσι, καὶ σεσημειωμέναις· ὡς ἔχει τὸ Αἴλιος· αἴλινος· χαίρει δὲ μᾶλλον τῇ διὰ τοῦ ε ψιλοῦ γραφῇ.

[b] Leg. φθίσθαι ἐνὶ T. [c] Cod. om. δέ.

Εἶδον : (Il. B. 2.) Ἐκ τοῦ ἕπω δασύνεται· ἐκ τούτου γίνεται ἕδος, ἡ κάθεδρα· ἕδω ῥῆμα· καὶ ἵνα μὴ συνεμπέσῃ τῷ ἐσθίω, πλεονάζει τὸ υ, καὶ γίνεται εὕδω.

Ἐφῆπται : (Il. B. 15.) Παρὰ τὸ ἅπτω τὸ ἀρτῶ· καὶ ἐπίκειται ἧμμαι, ἧψαι, ἧπται· ἐφῆπται.

Ἐφιείς : (Il. A. 51.) Μετοχὴ ἐνεστῶτος· ἀπὸ τοῦ ἵημι ἵεις, ἐν συνθέσει ἐφιεὶς, καὶ διείς.

Ἔγρετο : (Il. B. 41.) Βαρύτονον ἐκ τοῦ ἐγείρω· συγκοπῇ τῆς ει διφθόγγου ἔγρω, ἔγρομαι, ἐγρόμην, ἔγρετο.

Ἔμοιγε : (Il. A. 174.) καὶ Ἔγωγε· ἓν μέρος λόγου ἐστί· πᾶσα γὰρ λέξις Ἑλληνικὴ δισύλλαβος, ἐπιφερομένου ἐγκλιτικοῦ μορίου, τὸν οἰκεῖον τόνον φυλάττει· οἷον, καλῶς, καλῶς γε· σοφὸς, σοφῶς γε· ὥστε δῆλον ὅτι ἓν μέρος λόγου, τὸ ἔμοιγε· εἰ γὰρ ἦσαν δύο μέρη λόγου, ἐφύλαξαν ἂν τὸν οἰκεῖον τόνον·

ὁ μέσος ἔγωγε.

Ἐρέτης : (Il. A. 142.) Ὁ κωπηλάτης· παρὰ τὸ ἔλω, ὃ σημαίνει τὸ ἐλαύνω, ἐλέτης, καὶ ἐρέτης· τὸ ρε ε ψιλὸν διατί; τὰ εἰς της ὀνόματα βαρύτονα, ὑπὲρ δύο συλλαβὰς, διὰ τοῦ ε ψιλοῦ γράφεται· οἷον, εὐνέτης· ὀφειλέτης· ἐρέτης· ὑπηρέτης, καὶ τὰ ὅμοια.

Ἐπαύρωνται : (Il. A. 410.) Συζυγίας δευτέρας τῶν περισπωμένων, παρὰ τὸ αὐρῶ· τοῦτο παρὰ τὸ αὖρα· σημαίνει δὲ τὴν ταχεῖαν καὶ λεπτότεραν φωνήν· τοῦτο παρὰ τὸ ἀὴρ, ἀέρος, καὶ κράσει καὶ τοῦ αε εἰς τὴν αυ δίφθογγον· ὥσπερ αἱ νάες αἱ ναῦς· καὶ αἱ γράες, αἱ γραῦς· αὐρῶ, καὶ ἐξ αὐτοῦ ἐπαυρῶ, καὶ ἐπαύρωνται ἀντὶ τοῦ τῆς ἀβόλου ἀπολαύσωσι, τουτέστιν ἵνα ἀπόλωνται δι᾽ αὐτοῦ.

Ἐσπάρθαι : Διατὶ παροξύνεται; τὰ εἰς θαι ἀπαρέμφατα, ἔχοντα πρὸ τοῦ θαι ἀμετάβολον, παροξύνεται· οἷον κεκάρθαι· ἐσπάρθαι· χωρὶς τῶν παραληγομένων τῇ ορ συλλαβῇ Αἰολικῇ προπαροξύνεται· ἔφορθαι· μέμορθαι· ἐγρήγορθαι.

Εἵαται : (Il. B. 137.) Εἵημι τὸ καθέζομαι· τὸ παθητικὸν ἕεμαι, ἧμαι· ὁ παρατατικὸς ἥμην, τὸ πληθυντικὸν ἥμεθα, ἧνται, καὶ τὸ Ἰωνικὸν ἕαται·

οἳ δὴ νῦν ἕαται σιγῇ. (Il. Γ. 134.)

καὶ πλεονασμῷ τοῦ ἰῶτα, εἵαται.

Ἐδητύς: (Il. A. 469.) Ἐκ τοῦ ἔδω, τὸ ἐσθίω· ἔστι δὲ καὶ ἔδω βαρύτονον· ἔδω οὖν, καὶ ὁ μέλλων ἐδήσω, καὶ ἐδέσω· διφορεῖται γάρ· ἐξ αὐτοῦ ἐδητὺς ἡ βρῶσις[d], ὁ παρακείμενος ἤδεκα, ὁ παθητικὸς ἤδεσμαι, καὶ ἐξ αὐτοῦ ἔδεσμα.

Ἐπεί: (Il. A. 57.) Γράφεται διὰ διφθόγγου· ἐκ τῆς ἐπὶ προθέσεως καὶ τοῦ ει συνδέσμου συναπτικοῦ· ἐκεῖ δὲ διὰ διφθόγγου, ὅτι οἱ Δωριεῖς αι λέγουσι· ἔθος γὰρ οἱ Δωριεῖς ἔχουσι τὸ ε[e] εἰς α τρέπειν· τὸ γὰρ Ἄρτεμις Ἄρταμις, καὶ τὸ τρέχω τράχω. οὕτως καὶ τὸ ει αι τρέπουσι τὸ ε εἰς α, καὶ μένει τὸ ἰῶτα, καὶ τὸ Αἴγειον Αἴγαιον λέγουσιν.

Ἐπιτετράφαται: (Il. B. 25.) Ῥῆμα τέτραφα, τέτραμμαι, τροπῇ τοῦ ε εἰς α, καὶ τέτραπται, τετράμμεθα, τέτραφθε, καὶ τὸ Ἰωνικὸν τετράφαται, καὶ ἐπιτετράφαται.

Ἑλένη: (Il. Z. 343.) Παρὰ τὸ ἕλω, τὸ ἑλκύω· ἡ εἰς τὸ ἴδιον κάλλος ἑλκύουσα τοὺς ἀνθρώπους· ἢ παρὰ τὸ Ἑλλάς· δασύνεται· τὸ ε ἐπιφερομένου τοῦ λ ᾧ ὑποτέτακται τὸ ω, ἢ τὸ ε, ἢ τὸ υ, δασύνεται. ἕλωρ: ἕλος· Ἑλύμας· τὸ λε ψιλὸν διατί; τὰ διὰ τοῦ ενη θηλυκὰ ὑπὲρ δύο συλλαβὰς μονογενῆ, διὰ τοῦ ε ψιλοῦ γράφεται, ἐπί τε βαρυτόνων καὶ ὀξυτόνων· ἐπὶ βαρυτόνων· ὠλένη, ὁ βραχίων· Κλυμένη· ὀξύτονα· δεξαμενή· εἰαμενή.

Ἐλεαίρω: (Il. B. 27.) Ὡς παρὰ τὸ ἔλπω ἐλπείρω, καὶ πλεονασμῷ τοῦ ε, ἐλπεαίρω, καὶ ὑπερβιβασμῷ τοῦ ε ἐλεπαίρω, καὶ τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ, ἐλεφαίρω, τὸ ἀπατῶ· ἐλέφηρα ὁ ἀόριστος, ὁ παθητικὸς ἐλεφηράμην καὶ ἐλεφηράμενος. (Il. Ψ. 388.)

Εὖτ' ἄν: (Il. A. 242.) Δύο μέρη λόγου· εὖταν· ἐπίῤῥημα χρόνου δηλωτικὸν, καὶ γίνεται οὕτως· ὁ μὲν Ἀπολλώνιος λέγει ὅτι ἐκ τοῦ ὅτε ἐστὶ, καὶ πλεονασμῷ τοῦ υ οὔτε, καὶ μεταθέσει τοῦ ο εἰς υ, εὖτε· ὁ δὲ Ἡρωδιανὸς λέγει ὅτι ἐκ τοῦ ὅτε ἐστὶ,

d Cod. βῶσις. e Cod. om. ε.

καὶ πλεονασμῷ τοῦ ε, καὶ κράσει τοῦ εο εἰς τὴν ου δίφθογγον, Δωρικῶς γίνεται εὖτε.

Ἐώκει: (Il. B. 58.) Ῥῆμα· ὁ παρακείμενος ἔοικα· καὶ σημαίνει τρία· ὁ ὑπερσυντελικὸς ὤφειλεν ἠοίκειν, ἀλλ᾽ οὐδέποτε λέξις Ἑλληνικὴ ἀπὸ τοῦ ν[f] ἀρχομένη ἐπιφέρει τὸ ο, εἰ μὴ ἐν διφθόγγῳ εἴη κατὰ διάλεκτον, ὡς τὸ

ἠοῦς δὴ καὶ μᾶλλον. (Il. Θ. 470.)

οὕτως οὖν καὶ τὸ ἑώρταζον ἐγένετο, καὶ ἐώλπειν, καὶ ἐώργειν.

Εὐρυάγυιαν: (Il. B. 12.) Εὐρὺς ἐστὶ παράσυνθετον παρὰ τὸ εὖρος, τοῦτο παρὰ τὸ εὖ ῥεῖν, ὅ ἐστιν εὐκόλως φέρεσθαι.

Ἐσσομένοισι: (Il. B. 119.) Μετοχή. με με α[g]· τὸ ῥῆμα ἔω· ὁ μέλλων ἔσσω, ἔσσομαι, ἐσσόμενος, δύο σσ ποιητικῶς.

Ἐρητύειν[h]: (Il. B. 75.) Ἐκ τοῦ εἱρκτὴ γέγονε εἱρκτύω, καὶ ἐξ αὐτοῦ ἐρητύω, ὁ μελλων ἐρητύσω[i], ὁ παρακείμενος ἐρήτυκα, ἐρήτυμαι, ἐρητύθην, καὶ τὸ πληθυντικὸν ἐρήτυθεν, οἱ Βοιωτοὶ ἐπὶ τῶν ἐχόντων τὴν μετοχὴν εἰς σ.

Εἴω: Γράφεται καὶ διὰ διφθόγγου, καὶ διὰ τοῦ ἰῶτα· τούτου ὁ ἀόριστος ἴον διὰ τοῦ ι· ἔτι δὲ ἀπὸ βαρυτόνων τὸ πληθυντικὸν[k] ἐὰν ἴω· τὸ πληθυντικὸν ἐὰν ἴωμεν, καὶ ποιητικῶς ἴομεν· τὸ ὁ μικρὸν διατί; καὶ λέγομεν ὅτι σχῆμα ἐστὶ Κορινθίων.

Ἔνισπε: (Il. B. 80.) Ῥῆμα χρόνου ἀορίστου, ἢ ἐνεστῶτος, καὶ παρατατικοῦ· ἁπλὴ δὲ λέξις αὕτη· ἴσπω ἐνίσπω· ὁ παρατατικὸς ἤνισπον, καὶ ἤνισπε· καὶ ἔνισπεν, ὡς ἤλαυνεν, ἔλαυνε· καὶ ὥσπερ ἔχω ἴσχον, οὕτω σπῶ ἴσπον· καὶ ὡς ἔσχον σχὲς, καὶ ἐπίσχες, οὕτως καὶ ἴσπον ἴσπες.

Εἴης: (Il. I. 57.) Βαρύτονον· καὶ τὰ μὲν πληθυντικὰ διὰ τοῦ ἰῶτα γράφεται, ὥσπερ ἀπὸ τοῦ ἴω, τοῦ διὰ τοῦ ἰῶτα, καὶ ὁ παρατατικὸς ἦν, τὸ πληθυντικὸν ἴμεν διὰ τοῦ ἰῶτα· ἀλλ᾽ ἐπὶ τοῦ παρατατικοῦ τῶν εἰς μι τὸ τρίτον ἴσαν· τὸ τρίτον τῶν πληθυντικῶν τῶν ἐνεστώτων ἶσι· καὶ τὸ Ἰωνικὸν ἴασι,

καί τ᾽ ἀγεληδὸν ἴασιν ἀπὸ κρήνης μελανύδρου. (Il. Π. 160.)

Εἶσιν: (Il. Γ. 61.) Ἐκ τοῦ εἶμι· τοῦτο δὲ παρὰ τὸ εἴω,

[f] Sic Cod. [g] Sic. [h] Cod. ἐρητύνειν. [i] Cod. ἐρητήσω.
[k] Sic Cod. leg. ὑποτακτικὸν cum Etym. M. p. 301, 28.

τὸ πορεύομαι· τοῦτο παρὰ τὸ ἔω, καὶ πλεονασμῷ τοῦ ἰῶτα, εἴω, καὶ ἐξ αὐτοῦ εἴωμι, καὶ ἐν συγκοπῇ εἶμι· καὶ τὰ μὲν ἐνεργητικὰ διὰ τῆς ει διφθόγγου γράφεται, τὰ δὲ πληθυντικὰ διὰ τοῦ ἰῶτα· ἀπὸ τοῦ ἴμεν, τοῦ διὰ τοῦ ι, τὸ ἀπαρέμφατον ἴμεναι· ὁ κανών· πᾶς πληθυντικὸς ἐνεργητικὸς ἐνεστῶτος χρόνου τροπῇ τῆς μεν εἰς ναι τὸ ἀπαρέμφατον ποιεῖ· κατὰ συγκοπὴν ἴμεν·

ἐπειὴ πολὺ φέρτερόν ἐστιν
οἴκαδ' ἴμεν σὺν νηυσὶ κορωνίσιν. (Il. Α. 169.)

Εἶεν: (Il. Β. 372.) Εἰμί· ὁ παρατατικὸς ἦν· ἡ μετοχὴ εἴς· τὸ εὐκτικὸν εἴην· τὸ πληθυντικὸν εἴημεν, καὶ συγκοπῇ εἶμεν, καὶ τὸ γ' εἶεν· ἀόριστος· ὡς δὲ γίνεται κατὰ συγκοπὴν

δοῖμεν δ' Ἀτρείδαο (Il. Ν. 378.)

εἰμὲν γὰρ ἀπὸ τοῦ εἴημεν ἐστί· γίνεται εἶεν· εἰ δὲ εἶμεν, κατὰ συγκοπὴν γίνεται τὸ τρίτον, ὡς τὸ κοσμηθείημεν κοσμηθεῖμεν.

Ἔνατος: (Il. Β. 313.) Δι' ἑνὸς ν· ὁ Ἡρωδιανὸς ψιλή· διατί; πρὸ τοῦ ἑνὸς ν ψιλοῦται· οἷον Ἐνύω· ἔνδιοι· ὁμοίως δὲ καὶ τὸ η χωρὶς τῶν συνδέσμων, καὶ εἰ μὴ ἐγκλίσεως εἴη· οἷον

ἤνις ἠκέστας. (Il. Ζ. 94.)

τὸ ἡνία, ἐπειδὴ παρὰ τὸ ἥσω μέλλοντα γίνεται, ὁμοίως τῷ ποιήσαντι ἐδασύνθη· πρόσκειται χωρὶς τῶν συνδέσμων, διὰ τὸ εἵνεκα καὶ ἕνεκα, ταῦτα γὰρ δασύνονται[1].

Ἑρκίον: (Il. Ι. 472.) Ἐκ τοῦ ἕρκος, τὸ περίφραγμα, ὅπερ παρὰ τὸ ἐρύκω, τὸ κατέχω καὶ κωλύω, ἐρύκω καὶ ἕρκος· παροξύνεται· τὰ γὰρ ἀπὸ μακρᾶς ἀρχόμενα ἔχει παροξυτονήμενα τὰ ὑποκοριστικά· οἷον, τυρὸν τυρίον· τεῖχος τειχίον· τὰ δὲ ἀπὸ βραχείας οὐκ ἔτι, ῥάκος ῥάκιον· φακὸς[m] φάκιον· σεσημείωται τὸ ἴχνιον, μὴ ποιοῦν τὴν ἄρχουσαν μακρὰν, ὡς ὑγρὸν σύμφωνον ἔχον· γίνεται δὲ παρὰ τὸ ἷγμαι ἴγνιον ἴχνιον[n], ὡς παίζω παίγνιον.

Ἐπτείχεον: (Il. Α. 129.) Τὰ εἰς ος ἀπὸ οὐδετέρων συντιθέμενα, ἀπὸ εὐθείων συντίθενται· οἷον, ξίφος ἄξιφος· ῥίγος

[1] Cf. Etym. M. p. 343, 14. [m] Cod. φακκός. [n] Cod. Εἴχνιον quasi initium novæ glossæ.

δύσριγος, πλὴν τοῦ εὐτείχεος, ὃ ἀπὸ γενικῆς συντίθεται· ὤφειλε δὲ ἡ σύνθεσις ἀπὸ εὐθείας εἶναι, γίνεται δὲ ἐκ τοῦ τεῖχος τείχεος, καὶ μετὰ τοῦ εὖ μορίου εὐτείχεος[o].

'Εφέστιος: (Il. B. 125.) Τὸ στι ι διατί; τὰ διὰ τοῦ ιος ἐπίθετα δασύνεται· τὸ ε ἐπιφερομένου τοῦ σ, ᾧ ὑποτέτακται ἀντίστοιχον, ψιλοῦται· ἐσθής· ἔσχατος· δασύνεται δὲ τὸ ἕστως· ἑσπόμεθα, καὶ ἑστίω, ἕστιος, καὶ ἐφέστιος· ἀντίστοιχα δέ εἰσι τὰ δασέα καὶ ψιλά[p].

''Εασι: (Il. Γ. 163.) 'Ρῆμα τῶν εἰς μι· εἰμὶ εἶς, εἰσί· τὸ πληθυντικὸν ἐμὲν, ἐστὲ[q] εἰσί· τὸ 'Ιωνικὸν ἔασιν.

Εἰῶσι: (Il. B. 132.) 'Ρῆμα τῇ ει διφθόγγῳ παραλήγεται· ἐστὶν ἐῶ τὸ συγχωρῶ β' συζυγίας τῶν περισπωμένων, ἐάομεν, ἐῶμεν, ἐάουσιν ἐῶσιν, καὶ πλεονασμῷ τοῦ ει, εἰῶσι,

καὶ οὐκ εἰῶσιν. (Il. P. 659.)

''Εμμεναι: (Il. A. 117.) 'Απαρέμφατον· ὁ ἐνεστὼς εἰμί· ὁ παρατατικὸς ἦν, τὸ πληθυντικὸν, ἦμεν· ἡ μετοχὴ, εἷς ἔντος· τὸ ἀπαρέμφατον εἶναι, καὶ Δωρικῶς ἔμμεναι.

'Εγχέσπαλος[r]: (Il. B. 131.) ''Ονομα ἐκ τοῦ ἔγχος[s], καὶ τοῦ πάλλω· διαθέσεως ἐνεργητικῆς· τὰ γὰρ εἰς ος σύνθετα, εἰς ἐνέργειαν καὶ πάθος ἀναλυόμενα, δύο τόνους ἐπιδέχονται.

'Ενιαυτός: (Il. B. 134.) Παρὰ τὸ ἐν αὐτῷ εἰληφέναι τοὺς χρόνους καὶ τοὺς μῆνας· τὸ νι ἰῶτα διατί· ὥσπερ τὸ ὁμοίϊος· οἱ δὲ παρὰ τὸ ἰαύω, τὸ διατρίβω, ὡς λέγει ὁ Φιλόξενος, καὶ ἐν συνθέσει ἐνιαύω, καὶ ἐξ αὐτοῦ ἐνιαυτός· ᾧ ὁ ἐνδιάτριπτος χρόνος[t]· καὶ ''Ομηρος·

ἔνθα Κύκλωψ ἐνίαυε πελώριος. (Od. I. 187.)

Εἵαται: (Il. B. 137.) 'Ρῆμα παρατατικὸν τῶν εἰς μι 'Ιωνικόν· οἱ μὲν ἀπὸ περισπωμένων φύσει μακρᾷ παραληγόμενοι ταύτην συστέλλουσι πρὸ τοῦ αται εἰς τὴν ὀφειλομένην συστολήν· ἕημι, τὸ παθητικὸν ἕεμαι, καὶ προεγράφη.

Εἵνεκα: (Il. A. 214.) Τὸ ι κατὰ πλεονασμόν· ποσὰ εἴδη

[o] Cf. Etym. M. p. 399, 3. [p] Cf. Etym. Gud. p. 224, 10. [q] Cod. ἐτέ. [r] Cod. ἐχέσπαλος. [s] Cod. ἔχος. [t] Cf. Etym. M. p. 342, 28.

τοῦ πλεονασμοῦ; η΄· πρόσθεσις· ἀναδίπλωσις· ἔκτασις· ἐπέκτασις· διαίρεσις· διπλασιασμός· παρέμπτωσις· παρένθεσις· προσθηκῇ φωνήεντος κατὰ τὸ μέσον οὐ ποιοῦντος συλλαβήν· οἷον, πλέοντος πλείοντος· ἐμέο ἐμεῖο· τὸ δὲ πάθος Ἰώνων· ἕνεκα τοῦ οὕνεκα διαφέρει· τὸ μὲν οὕνεκα σημαίνει τὸ διότι,

οὕνεκα καλὸν
εἶδος ἔπ' ἀλλ' οὐκ ἔστι βίη φρεσίν— (Il. Γ. 44.)

τὸ δὲ ἕνεκα τὸ χάριν σημαίνει·

ἕνεκα ῥιγεδανῆς Ἑλένης. (Il. Γ. 325.)

πάλιν τὸ ἕνεκα τοῦ χάριν διαφέρει· τὸ μὲν γὰρ ἕνεκα ψιλήν τινα αἰτίαν δηλοῖ· οἷον,

ἕνεκα Ἀλεξάνδρου καὶ Ἑλένης ἐστράτευσε Μενέλαος ἐπὶ Τροΐαν.

τὸ δὲ χάριν μετὰ αἰτίας· οἷον,

χάριν Μενελάου ἐστράτευσεν Ἀχιλλεὺς ἐπὶ Ἴλιον·

τουτέστι, χαριζόμενος τῷ Μενελάῳ.

Ἔτι: (Il. A. 96.) Τὸ τι ἰῶτα διατί; τὰ εἰς ἰῶτα λήγοντα ἐπιῤῥήματα συνεσταλμένα βαρύτονα, δισύλλαβα μὲν ὑπάρχοντα, διὰ τοῦ ἰῶτα γράφεται· οἷον, ἶφι· νόσφι· μέχρι· ἄχρι· ἦχι· ἄρτι· ἔτι.

Ἔνερθεν: (Il. Λ. 252.) Τὸ ὑπένερθεν δύο μέρη λόγου· ὑπὸ πρόθεσις, ἔνερθεν ἐπίῤῥημα τοπικὸν ἐκ τοῦ ἔνερος, ὃ σημαίνει τὸν νεκρὸν, ἐξ αὐτοῦ ἐνερόθεν καὶ συγκοπῇ ἔνερθεν.

Ἐνθάδε: (Il. A. 367.) Ἐκ τοῦ ἔνθα τοπικὸν ἐπίῤῥημα, ἐπεκτάσει τῆς δὲ, καὶ ὤφειλεν εἶναι ἔνθαδε, ἀλλὰ κανὼν ἐστὶν ὁ λέγων, ὅτι τὰ κατὰ φωνὴν παραχθέντα εἰς δε μηδὲν πλέον τοῦ πρωτοτύπου σημαίνοντα, πρὸ μιᾶς ἔχουσι τὸν τόνον· οἷον τοῖος τοιόσδε· ἔνθα ἐνθάδε· καὶ ἀποροῦσι τινὲς λέγοντες πόθεν γίνεται τὸ ἔνθα· καὶ λέγουσιν ὅτι ἐκ τοῦ ἔνθεν, καὶ δῆλον ἐντεῦθεν· τὰ εἰς θα δισύλλαβα ἐπιῤῥήματα οὐκ ἐκ μεταθέσεως ὑπῆρχε τοῦ ἔνθεν, ὤφειλεν ὀξύνεσθαι· οὐκ ἄρα ἐστὶ τὸ ἔνθεν ἐκ τοῦ ἔνθα.

Ἑλκέμεν: (Il. B. 152.) Ῥῆμα· καὶ τὰ εἰς ειν ἀπαρέμφατα οἱ Ἴωνες διὰ τοῦ εμεν προφέρουσι· δασύνεται· τὸ γὰρ ε πρὸ τοῦ λ ἐπιφερομένου τοῦ κ, ἢ τοῦ μ, δασύνεται· οἷον, ἕλκος·

ἕλμινς· ἕλκω, ὁ μέλλων ἕλξω· ὁ β' ἀόριστος εἷλκον. συνάρχεται γὰρ καὶ τῷ πρώτῳ ἀορίστῳ· καὶ Ἰωνικῶς ἕλκε, καὶ μετὰ τῆς ὑπὸ ὕφελκε, καὶ ἀναβιβάζει τὸν τόνον· πᾶς παρῳχημένος χρόνος τὸν προγινόμενον αὐτοῦ χρόνον κατὰ τὸ ἄρχον μέρος ἀποβαλὼν ἐν τῇ συνθέσει, προπαροξύνεται· δασύνεται δὲ ἐκ τῆς συναλιφῆς.

Εὑρέμεν: Τὸ ἀπαρέμφατον εὑρεῖν, καὶ οἱ Ἴωνες καὶ οἱ ποιηταὶ διαιροῦσιν εἰς εμεν.

Ἕκαστος: (Il. A. 606.) Ἐπιμεριζόμενον κλητικὴν οὐκ ἔχει· τὰ ἐπιμεριζόμενα κλητικὴν οὐκ ἔχουσιν· ἡ γὰρ κλητικὴ πρὸς παρόν ἐστι πρόσωπον ἀπότασις· τὰ δὲ ἐπιμεριζόμενα πρὸς ἀπόν· καὶ ποσαχῶς τὰ ἐπιμεριζόμενα; τετραχῶς· εἷς ἐκ δύο, ὡς ἕτερος· δύο καθ' ἕνα, ὡς ἑκάτερος· εἷς ἐκ πολλῶν, ὡς ἄλλος· πολλοὶ καθ' ἕνα, ὡς ἕκαστος[u].

Εὗρε: (Il. Δ. 89.) Ῥῆμα ἀόριστος β'· ὁ ἐνεστὼς οὐκ ἔστι ῥητὸς, ἀλλ' ἐξ ὑπομνήσεως τοῦ μέλλοντος καὶ τοῦ παρακειμένου, λέγεται καὶ ὁ ἐνεστὼς, ἐπεὶ οὐκ ἐστὶ ῥητὸς, ὡς οὐδὲ τὸ ἕω, τὸ ὑπάρχω, ἀλλ' ἐξ ὑπομνήσεως εἴπομεν τοῦ δευτέρου ἀορίστου ἐνεργητικοῦ, καὶ τοῦ ἕω ὑποτακτικοῦ· ἐπινοεῖται ὁ ἐνεστὼς τοῦ ἀορίστου β' καὶ τοῦ ὑποτακτικοῦ,

ὄφρα μὴ οἷος[x]
Ἀργείων ἀγέραστος ἔω. (Il. A. 119.)

Ἔειπε: Ψιλοῦται· τὸ ε πρὸ φωνήεντος πλεονάζον, ψιλουμένου μὲν αὐτοῦ, συμψιλοῦται· οἷον οἶκα ἔοικα· δασυνομένου δὲ, δασύνεται· οἷον ὥρων ἑώρων· ὁ δὲ Ἡρωδιανός· τὰ πλεονάσαντα φωνήεντα ἐν λέξεσι ταῖς ἀπὸ φωνήεντος δασυνομένου ἀρχομέναις μεταληπτικὰ γίνεται τοῦ δασέος πνεύματος· οἷον ἥνδανεν ἑήνδανεν[y].

Ἑσταότες: (Il. B. 320.) Ῥῆμα τῶν εἰς μι, ἢ ἀπὸ τῶν εἰς ω, ἑστήκω, ὁ παρακείμενος ἕστηκα, καὶ συστολῇ ἕσταα, ἑσταὼς, ἑσταότος· αἱ εἰς ως μετοχαὶ ἀπαθεῖς οὖσαι διὰ τοῦ ο κλίνονται, καὶ τὸ θηλυκὸν ἔχουσι διὰ τοῦ υια· οἷον τετυφότος

u Cf. Etym. M. p. 320, 11. x Cod. οἴη. y Cf. Etym. M. p. 317, 44.

τετυφυῖα; εἰ δὲ πάθος ἢ κλίσιν ἔχουσι διὰ τοῦ ω, τότε το θηλυκὸν εἰς α· οἷον, βεβῶτος βεβῶσα· γεγῶτος γεγῶσα.

'Εὐσέλμοιο: (Il. B. 170.) Ὄνομα σύνθετον ἐκ τοῦ εὔσελμος· τοῦτο ἐκ τοῦ εὖ μορίου καὶ τοῦ σέλμος· ὃ σημαίνει τὴν τῶν ἐρεσσόντων καθέδραν· ὥσπερ ἀπὸ τοῦ ἔρεισμα γίνεται κατὰ συγκοπὴν ἕρμα[z], σημαίνει δὲ τὸ στήριγμα, οὕτως ἐστὶ σελὶς, καὶ σημαίνει τὴν καθέδραν, καὶ σέλλα ἐξ αὐτοῦ, καὶ κλίνεται σελλίδος, καὶ ἐξ αὐτοῦ ῥῆμα σελίζω, καὶ κατὰ παραγωγὴν σέλισμα, καὶ συγκοπῇ σέλμα· καὶ τρέπεται τὸ α εἰς ος[a], ὡς σχῆμα εὔσχημος, καὶ σέλμα εὔσελμος[b].

'Ἐρωήσει: (Il. A. 303.) Παρὰ τὸ ῥῶ τὸ φθείρω· ἐξ αὐτοῦ ῥώω· ὡς γνῶ γνώω· ὅθεν τὸ ἐπερώσαντο· γίνεται ῥωή· ὡς ζῶ ζωή· πλεονασμῷ τοῦ ε ἐρωὴ, καὶ ἐξ αὐτοῦ ῥῆμα ἐρωῶ· ἢ παρὰ τὸ ῥῶ τὸ ὁρμῶ.

Ἔστω: (Il. A. 144.) 'Ῥῆμα προστακτικόν· εἰμὶ τὸ ὑπάρχω· ὁ παρατατικὸς ἦν· ἡ μετοχὴ εἷς ἔντος· τὸ προστακτικὸν ἔθι, καὶ τὸ γ' ἔτω, καὶ πλεονασμῷ τοῦ σ ἔστω.

Εἷς: (Il. A. 144.) Περισπᾶται· τὰ εἰς εις ὀνόματα εἶπε διὰ τὰς μετοχάς· οἷον τυφθείς· δαρείς· κοινολεκτούμενα εἶπε διὰ τὸ εὐγενὴς καὶ εὐσεβής· οἱ γὰρ Βοιωτοὶ διὰ τῆς ει διφθόγγου γράφονται· οὐδετέρου παρασχηματισμὸν, διὰ τὸ χαρίεντος· ὀξύνεσθαι οὐκ ὤφειλε διὰ τὸν κανόνα τοῦτον· βαρύνεσθαι οὐκ ὤφειλε· διότι τὰ μονοσύλλαβα, ἢ ὀξύνεται, ἢ περισπᾶται· οὐδέποτε βαρύτονα ἐξ ἀνάγκης περιεσπάσθη· γίνεται δὲ παρὰ τὴν ἕσιν καὶ ἄφεσιν, τὸ ἀπολελυμένον καὶ μεμονωμένον.

'Ἑνός: (Il. Θ. 234.) 'Ὁ κανών· τὰ εἰς ος ὀνόματα ἔχοντα οὐδετέρου παρασχηματισμὸν διὰ τοῦ ντ κλίνεται· ἢ τὰ εἰς εις μονοσύλλαβα ὄντα ἀρσενικὰ διὰ τοῦ δος κλίνεται· οἷον κτεὶς κτενός· δεὶς δενός· εἷς ἑνός· τὸ δὲ δεὶς ἰσοδυναμεῖ τῷ τὶς, ὅπερ μετὰ τῆς ου οὐδεὶς, καὶ μετὰ τῆς μη μηδείς· πρόσκειται μονοσύλλαβα διὰ τὰ ὑπὲρ δύο συλλαβάς· οἷον χαρίεις χαρίεντος· πρόσκειται ὀνόματα, διὰ τὰς μονοσυλλάβους μετοχάς· αὗται

[z] Cod. ἕμα. [a] Cod. ης. [b] Etym. M. p. 398, 14.

γὰρ διὰ τοῦ ντ κλίνονται· εἷς ἕντος· οὗ καὶ τὸ ἀφεὶς ἀφέντος· πρόσκειται ἀρσενικὰ διὰ τὸ κλεὶς κλειδὸς θηλυκόν· ὁ εἷς καὶ τὸ θηλυκὸν ἀπέλειψε· δύο γὰρ κανόνες εἰσὶν οἱ μαχόμενοι· ὁ μὲν εἷς λέγει, ὅτι οἱ ἀριθμοὶ κοινοὶ θέλουσιν εἶναι· οἷον, αἱ δύο, καὶ οἱ δύο· οἱ τρεῖς, καὶ αἱ τρεῖς· ἢ οὕτω· τὰ ἀριθμητικὰ ὀνόματα κοινὰ εἰσὶ τῷ γένει, καὶ ὁμοφωνοῦσι τὰ θηλυκὰ τοῖς ἀρσενικοῖς· οἷον οἱ πεντὲ, καὶ αἱ πεντέ· αἱ ἑπτὰ, καὶ οἱ ἑπτά· ὁ δὲ ἕτερος λέγει, ὅτι πᾶσα γενικὴ διὰ τοῦ ντ κλινομένη τὸ τέλος τῆς γενικῆς τρέπουσα εἰς α, καὶ τὴν παραλήγουσαν θέσει μακρὰν ποιοῦσα, τὸ θηλυκὸν ποιεῖ· ἐπ' ὀνομάτων· οἷον χαρίεις χαρίεντος χαρίεσσα· δαφνήεντος δαφνήεσσα· εἷς ἕντος· ὤφειλεν εἶναι τὸ θηλυκὸν ἕσα· τῶν οὖν δύο κανόνων μαχομένων· τοῦ μὲν ἑνὸς ἀπαιτοῦντος ὁμοφώνως τῷ ἀρσενικῷ· τοῦ δὲ ἑτέρου κατὰ παρασχηματισμὸν ἕσσα, ἀπέλειψε, καὶ ἐγένετο ὡς ἀπὸ τοῦ ἴος ἀρσενικοῦ, ὃ σημαίνει τὸν μόνον· τὸ θηλυκὸν ἴα, καὶ πλεονασμῷ τοῦ μ μία· καὶ κλίνεται μιᾶς[c]· καὶ λέγει ὁ κανὼν παρὰ τὸν τόνον· τὸ γὰρ μιᾶς καὶ ἰᾶς Ἰωνικὴν ἔχει τάσιν, ἐπειδὴ κανὼν ἐστὶν ὁ λέγων· ἐπὶ τῶν εἰς α βραχυκαταλήκτων εἰώθασιν οἱ Ἴωνες βαρύνειν τὰς λέξεις, ὡς καὶ ἡμεῖς· οἷον· ὄργυια[d]· ἄγυια· Πλάτεια· Θέσπεια· ὅταν δὲ γένηται ἡ τελευταῖα συλλαβὴ μακρὰ, Ἰωνικῷ ἔθει καταβιβάζεται ὁ τόνος· οἷον ἀγυιά· ὀργυιά· Θεσπειά· τοῦτο οὖν ἐστὶν εἰρημένον τῷ τεχνικῷ· τὸ μιᾶς γὰρ καὶ ἰᾶς· ἐπειδὴ γὰρ τὸ ἴα καὶ μία ἐν τῇ γενικῇ καὶ δοτικῇ μακροκαταληκτεῖ, τούτου χάριν τῷ Ἰωνικῷ ἔθει καταβιβάζεται ὁ τόνος· καὶ περιεσπάσθη· οἷον ἰᾶς ἰᾷ· μιᾶς μιᾷ· ὅθεν καὶ ἡ αἰτιατικὴ, ἐπειδὴ οὐκ ἐγένετο μακροκατάληκτος, οὐ κατεβίβασε τὸν τόνον, ἀλλὰ παροξύνεται ὁμοίως τῇ εὐθείᾳ· οἷον ἴαν μίαν· κατὰ ποσοὺς τρόπους τὸ εἷς διαφέρει τοῦ οὐδείς; κατὰ δ΄. πρῶτον μὲν ὅτι τὸ εἷς δασύνεται καὶ περισπᾶται· τὸ δὲ οὐδεὶς οὔτε δασύνεται, οὔτε περισπᾶται· δεύτερον· ὅτι τὸ μὲν εἷς ἀριθμητικὸν ἐστὶ, τὸ δὲ οὐδεὶς ἀόριστος· τρίτον· ὅτι τὸ μὲν εἷς οὔτε δυϊκὸν ἔχει, οὔτε πληθυντικόν· τὸ δὲ οὐδεὶς ἔχει δυικὸν

c Cod. μίας. d Cod. ἄργυια.

καὶ πληθυντικόν· οὐδενὲς, τῶν οὐδένων· τέταρτον· ὅτι τὸ μὲν εἷς τὸ θηλυκὸν μία· τοῦ δὲ οὐδεὶς ὁμοφώνως οὐδείς [e].

Ἐκολῴα: (Il. B. 212.) Ῥῆμα παρὰ τὸ κολωῶ· τὸ λω μέγα· διατί; ἐκ τοῦ κολῶ κολόων· ἐκ τοῦ κολοιός· γίνεται παρὰ τὸ κλῶ, τὸ κράζω. θορυβῶδες γὰρ τὸ ζῶον· καὶ κατὰ παραγωγὴν κλῳὸς, καὶ πλεονασμῷ τοῦ ο κολωός.

Εἴσεται: (Il. A. 548.) Ἔδοξεν, ἐφάνη· ἐκ τοῦ εἴδω, τὸ φαίνομαι,

τὸ δέ τοι κὴρ εἴδεται εἶναι. (Il. A. 228.)

ὁ μέλλων εἴσω· εἶσα· εἰσάμην, καὶ τὸ εὐκτικὸν εἰσαίμην, καὶ τὸ τρίτον εἴσαιτο [f].

Ἐπενήνοθεν: (Il. B. 219.) Ῥῆμα μέσου παρακειμένου· οἱ μὲν ὅτι τὸ θέμα ἐστὶν ἔθω, τὸ ἐξ ἔθους ἐπιμελοῦμαι, καὶ ἔθειρα ἡ θρίξ· καὶ μετὰ ἐν ἐνέθω· ὁ μέλλων ἐνέσω, ὁ παρακείμενος ἤνεκα, ὁ μέσος ἤνεθα· καὶ οἱ Ἀττικοὶ τὸ ε τοῦ παρακειμένου τρέπουσιν εἰς ο· ὡς τὸ πέπεμφα πέπομφα· οὕτως καὶ τοῦτο, ἤνεθα ἤνοθα· καὶ ὁ Ἀττικὸς ἐνήνοθα· ἔστι δὲ καὶ ἄλλως· ἔστιν ὄθω τὸ κινῶ, ὁ μέλλων ὄσω, ὁ παρακείμενος ὦκα, ὁ μέσος ὦθα, καὶ μετὰ τῆς ἐν προθέσεως, ἐνόθω, ἐνόσω, ἐνήνοκα, ἐνήνοθα, καὶ τὸ τρίτον ἐνήνοθεν.

Ἔχθιστος: (Il. A. 176.) Ἐκ τοῦ ἐχθρός· ἐτυμολογεῖται ἐκ τοῦ θορῶ, τὸ πηδῶ, καὶ ἐκθορῶ, ὁ μέλλων ἐκθορήσω ἔκθορος, καὶ συγκοπῇ ἐχθρός· ὁ ἔξω ἡμῶν ἐξερχόμενος.

Ἐκπάγλως: (Il. A. 268.) Ἐκ τοῦ ἐκπλήσσομαι, ἔκπαγλον [g] ῥηματικὸν ὄνομα, ἐν ὑπερβιβασμῷ, ἔκπαγλον γὰρ ἦν, καὶ ἐκπάγλως ἐπίῤῥημα.

Ἐξαίρετοι: (Il. B. 227.) Θηλυκόν· τὸ ἀρσενικὸν ἐξαίρετος· ἐκ τοῦ αἱρῶ, τὸ προαιροῦμαι· σησημείωται τὸ αἱρῶ δασυνόμενον· αἱρῶ οὖν αἱρετὸς, καὶ ἐξαίρετος· προπαροξύνεται· ἐπειδὴ τὰ διὰ τοῦ ετος ὑπὲρ δύο συλλαβὰς προπαροξύνεσθαι θέλει· οἷον ἀριδείκετος· ἀμαιμάκετος· ἐξαίρετος· παλινάγρετος· χωρὶς εἰ μὴ ἁπλᾶ ὄντα πρὸ τοῦ ε τὸ π ἔχει, ἢ ἀπὸ ῥήματος

[e] Cf. Etym. M. p. 304, 50. [f] Cod. εἴσετο. [g] Leg. ἔγπλαγον, vid. Etym. M. p. 323, 30.

συνθέτου γέγονε· πρόσκειται εἰ μὴ ἁπλᾶ ὄντα πρὸ τοῦ ε τὸ π ἔχει, διὰ τοῦ Ἰαπετός· ἢ ἀπὸ ῥήματος συνθέτου, διὰ τὸ ἐπαινέσω, ἐπαινετός· σεσημείωται τὸ ἀφυσγετὸς, ἡ ἀκαθαρσία[h].

Ἐλέγχεα: (Il. B. 235.) Ὄνομα οὐδέτερον· τὸ ἀρσενικὸν ὁ ἔλεγχος.

Ἔσσεται: (Il. A. 239.) Τετραχῶς προφέρεται· ἔσεται δι' ἑνὸς σ κοινῶς· ἔσσεται δὲ διὰ δύο σσ ποιητικῶς· ἐσεῖται Δωρικῶς· οἱ γὰρ Δωριεῖς ἐκβολὴν ποιοῦντες τοῦ σ πλεονάζουσιν τὸ ἰῶτα,

οὔ οἱ ἄρκιον ἐσσεῖται. (Il. B. 393.)

καὶ κατὰ συγκοπὴν ἔσται· τοῦ δὲ ἐσσεῖται ὁ κανών· ἐπὶ τῶν μέσων μελλόντων οἱ Δωριεῖς παρεντιθέντες τὸ ι προπερισπωμένως προφέρουσιν· οἷον πλευσεῖται· ῥευσεῖται· ἐσσεῖται· τὸ δὲ ἔσται διαφέρει τοῦ γενήσεται, ὅτι τὸ μὲν ἔσται ἐπὶ τῶν ὄντων τάσσεται, τὸ δὲ γενήσεται ἐπὶ τῶν οὐκ ὄντων· ὡς τὸ

γενήσεται τῷ πρεσβύτῃ[i] παῖδες.

οὐκ ὄντες γὰρ θέλουσι γενήσεσθαι.

Εἵματα: (Il. B. 261.) Ἐκ τοῦ ἕω τὸ ἐνδύομαι· εἶκα εἶμαι καὶ εἷμα, τὸ ἱμάτιον, καὶ δασύνεται, καὶ γράφεται διφθόγγῳ πρὸς ἀντιδιαστολὴν τῆς ἡμέρας,

ἤματα δ' αἱματόεντα. (Il. I. 326.)

Ἐξυπανέστη: (Il. B. 267.) Ῥῆμα εἰς μι· τὸ αὐτὸ ἐστὶ τὸ ἀνέστη τῷ ὑπεξανέστη· ἢ οὕτως· κανὼν ἐστὶν ὁ λέγων, ὅτι αἱ προθέσεις ἐπισυντιθέμεναι διεγείρουσι τὴν ἔμφασιν παρά τι πλέον, οἷον ἐστὶ τὸ

προπροκυλινδόμενος. (Il. X. 221.)

καὶ "παρκατάθηκε" καὶ "ἐξυπανέστη."

Ἔοργε: (Il. B. 272.) Ῥῆμα μέσου παρακειμένου· καὶ ὤφειλεν εἶναι ὁ ὑπερσυντελικὸς ἠόργειν[k]· ἀλλ' ἐπειδὴ κανὼν ἐστὶν ὁ λέγων, ὅτι οὐδέποτε λέξις εὑρίσκεται ἀπὸ τοῦ η ἀρχομένη ἐπιφερομένου τοῦ ο, χωρὶς εἰ μὴ ἐν διφθόγγῳ εἴη, ἢ κατὰ διάλεκτον· ἐν διφθόγγῳ εἶπε διὰ τὸ,

h Hæc pleniora sunt quam in Etym. M. p. 347, 19. i Cod. πρεσβύτει (ι superscr.). k ἑώργειν (ηό superscr.).

ἠοῦς[1] δὴ καὶ μᾶλλον ὑπερμενέα Κρονίωνα. (Il. Θ. 470.)

κατὰ διάλεκτον δὲ, διότι οἱ Αἰολεῖς τὴν ἠῶ λέγουσιν ἠόα· ὅμοιόν ἐστι τῷ ἐώλπειν, καὶ ἐώργειν· ἔσωθεν γὰρ γίνεται ἡ ἐπέκτασις[m].

Ἕρδομεν: (Il. B. 306.) Παρὰ τὸ ῥέζω, καὶ τροπῇ Δωρικῇ, ἢ ἐν ὑπερβιβασμῷ, ἔρδω.

Ἧκεν: (Il. A. 48.) Ἔπεμψεν· ἴω τὸ πέμπω, ἵημι, ἥσω, ἧκα ὁ ἀόριστος, καὶ πλεονασμῷ τοῦ ε ἕηκα.

Ἔσαν: (Il. A. 267.) Ῥῆμα παρατατικὸν τῶν εἰς μι, ἦν, ἦμεν, ἦτε, ἦσαν, καὶ συστολῇ τοῦ η ἔσαν.

Ἐπεσβόλος: (Il. B. 275.) Ἐκ τοῦ ἔπω, καὶ τὸ βάλλω· βαρύνεται· τὰ γὰρ παρὰ τὸ βάλλειν, μὴ μέτα προθέσεως συντιθέμενα, πρὸ μιᾶς ἔχουσι τὸν τόνον· ἐλαφηβόλος· ἐκηβόλος· εἶπε μὴ μετὰ προθέσεως, διὰ τὸ ἀμφίβολος· πρόβολος, ὁ πρόμαχος, ὁ προβεβλημένος.

Ἐτεόν: (Il. B. 300.) Δεῖ γινώσκειν ὅτι τὰ ἀπὸ διαφόρων πτώσεων εἰς ἐπιῤῥηματικὴν σύνταξιν μεταγόμενα, τὴν αὐτὴν γραφὴν ταῖς πτώσεσιν ἔχουσι· καὶ ἐκ πόσων πτώσεων μετάγονται τὰ ἐπιῤῥήματα φυλάττοντα τὸν αὐτὸν τόνον, καὶ τὴν αὐτὴν γραφήν; καὶ λέγομεν ὅτι ἐκ πάντων τῶν πτώσεων· ἢ γὰρ εὐθείας, ὡς τὸ

πρόφρων Δαναοῖσι (Il. Ξ. 71.)

καὶ ἐμάθομεν.

Εἰλέωσι: (Il. B. 294.) Ῥῆμα ὑποτακτικὸν ἐκ τοῦ εἰλῶ· τὸ ει δίφθογγος διατί; διότι εὑρέθη τὸ ε ἐν τῷ εὐλῇ, ὃ σημαίνει τὸν σκώληκα· γίνεται ἐκ τοῦ εἰλῶ, τὸ συστρέφω· εἰλὴ, καὶ τροπῇ τοῦ ι εἰς υ, εὐλή.

Εἴνατος: (Il. B. 295.) Ἐκ τοῦ ἔνατος κατὰ μεταβολὴν τοῦ ν εἰς ι· καὶ ἡ μὲν τῶν Ἀργείων διάλεκτος μεταβάλλει τὸ ἰῶτα εἰς ν· τὸ γὰρ σπείδω σπένδω λέγουσι· καὶ τὸ αἰεὶ αἰέν· ἡ δὲ Σικελῶν τὸ ἀνάπαλιν τὸ ν εἰς ἰῶτα μεταβάλλουσι· τὸ γὰρ ἐνάνυχες εἰνάνυχες[n] (Il. I. 466.) λέγουσι, καὶ τὸ ἔνδον ἔνδοι.

[1] Cod. ἠ.   [m] Cf. Etym. M. p. 351, 27.   [n] Etym. M. p. 302, 5. leg. ἐννάνυχον et εἰνάνυχον.

Ἑκατόμβας: (Il. B. 321.) Ἐκ τοῦ ἑκατόμβη· τοῦτο ἐκ τοῦ ἑκατὸν καὶ τοῦ βοῦς βοὸς, ἑκατόμβοος, καὶ τὸ θηλυκὸν, ἑκατομβόη, καὶ ἐν συγκοπῇ ἑκατόμβη· καὶ σημαίνει τὴν τελείαν θυσίαν.

Ἐλελιξάμενος: (Il. B. 316.) Μετοχὴ ἐκ τοῦ ἐλελίσσω· τοῦτο ἐκ τοῦ εἰλῶ, τὸ συστρέφω· γίνεται κατὰ παραγωγὴν εἰλίσσω, καὶ ἀφαιρέσει ἡ συστολῇ τοῦ ι, ἑλίσσω· καὶ δασύνεται, καὶ κατὰ ἀναδιπλασιασμὸν ἐλελίξω ἐλέλιξα, ἐλελιξάμην, ἐλελιξάμενος.

Ἐτύχθη: (Il. B. 155.) Ῥῆμα παθητικὸν, ἀόριστος β'· ὁ παρακείμενος τέτευγμαι, καὶ ὥσπερ ἀπὸ τοῦ πέφευγμαι, γίνεται ποιητικὸν πέφυγμαι, πεφυγμένος,

πεφυγμένοι κατὰ ἄστυ·

οὕτως καὶ ἀπὸ τοῦ τέτευγμαι, τέτυγμαι, ἀποβολῇ τοῦ ε· καὶ ὁ ἀόριστος ἐτύχθη· ἐκ τοῦ πέφυκται γίνεται φυκτὸς, καὶ ἄφυκτος, ὃν οὐ δύναταί τις διαλαθεῖν· ἔστιν οὖν ὁ ἐνεστὼς τεύχω· ἔστι καὶ περισπώμενον· ὁ παρακείμενος παθητικὸς τέτυγμαι· τὸ τρίτον τέτυκται, καὶ ῥηματικὸν ὄνομα τευκτὸς, καὶ ὥσπερ ἀπὸ τοῦ σιμὸς σιμαίνω, καὶ μαργὸς μαργαίνω, οὕτως καὶ ἀπὸ τοῦ τευκτὸς τευκταίνω, καὶ τεκταίνω, ἀποβολῇ τοῦ υ ὡς τὸ[p]

μὴ τέκταινε ἐπὶ σὸν φίλον κακά·

ὁ μέλλων τεκτανῶ[o], καὶ ὁ ἀόριστος ἐτέκτανα, καὶ Ἰωνικῶς ἐτέκτηνα, καὶ τὸ τρίτον ἐτεκτήνατο, καὶ ἀπὸ τοῦ τέτυκται γίνεται τευκτός.

Ἔτος: (Od. A. 16.) Παρὰ τὸ ἔω, τὸ ὑπάρχω, γίνεται ἔτος· διαφέρει ἔτος καὶ ἐτός· βαρυτόνως μὲν γὰρ τὸν χρόνον, ὀξυτόνως δὲ τὸν ἀληθῆ, ἐξ οὗ καὶ ἐτεὸς, καὶ κατὰ πλεονασμὸν τοῦ ε.

Εἰσόκεν: (Il. B. 332.) Ἐκ τῆς εἰς προθέσεως, καὶ τοῦ ο ἄρθρου ἀναφορικοῦ, καὶ τοῦ κεν συνδέσμου· ἔστι δὲ ἐπίῤῥημα χρόνου δηλωτικόν· καὶ ἀποροῦσι τινὲς ὅτι τὸ εἰσόκεν ἐν συνθέ-

o Cod. κτανῶ. p Cf. Etym. M. p. 755, 14.

σει ἐστὶν, ἢ ἐν παραθέσει· καὶ λέγομεν ὅτι ἐν παραθέσει· κανὼν γάρ ἐστιν ὁ λέγων· τὰ εἰς ε λήγοντα ἐπιῤῥήματα χρονικὰ θέλουσι ἔχειν πρὸ τοῦ ε τὸ τ· ἔνιοι δὲ λέγουσιν ὅτι ἐν συνθέσει ἐστὶν, οὐδέποτε γὰρ τοῦτο τὸ ἐπίῤῥημα χωρὶς τοῦ κεν συνδέσμου παρὰ τῷ ποιητῇ παραλαμβάνεται

εἰσόκεν ἢ ὑμεῖς Τροίαν εὔπυργον ἕλητε. (Il. H. 71.)

ἔστι δὲ εἰπεῖν, ὅτι αἱ προθέσεις παρατιθέμεναι τοῖς ὀνόμασιν ἔννοιαν ἔχουσαι τοπικὴν, ποιοῦνται τὴν σχέσιν· οἷον, οἴκου, ἐξ οἴκου· οἶκον, εἰς οἶκον· τὸν αὐτὸν τρόπον καὶ τὰ ἄρθρα τὰ σημαίνοντα τὴν ἀναφοράν· ἡ δὲ ἀναφορὰ ἐν τῷ χρόνῳ οὖσα, καὶ λαβοῦσα τὴν παράθεσιν τῆς προθέσεως, ποιεῖ σχέσιν χρονικήν· οἷον, ἐξ οὗ· ᾧ· ἐν ᾧ· ὃν οὖν τρόπον τὸ ἐξ οἴκου, ὅτε ἀποστῇ τῆς προθέσεως οὐκ ἔτι σχέσιν τοπικὴν σημαίνει, ὁμοίως καὶ τὸ εἰς οἶκον· τὸν αὐτὸν τρόπον καὶ τὸ εἰσόκεν, ἐὰν ἀποστῇ τὸ ἕτερον τοῦ ἑτέρου, ἔκστηται καὶ τὸ σημαινόμενον[q].

Ἐπιδέξια: (Il. B. 353.) Ἐπίῤῥημα μεσότητος· ἡ εὐθεῖα ἐπιδέξιος· διατὶ προπαροξύνεται; ἐπειδὴ τὰ εἰς ος ὀξύτονα ἐν τῇ συνθέσει προπαροξύνεται, εἰ μὴ παρασύνθετα εἴη· οἷον θεόδμητος· δουρίκλειτος· ἄκρατος· τερπικέραυνος· καὶ χωρὶς τῶν ἐπὶ ἔθνους· ἐκεῖνα γὰρ τὸν αὐτὸν τόνον φυλάττουσιν ἐν τῇ συνθέσει· οἷον Ἀχαιὸς φιλαχαιός· Βοιωτὸς φιλοβοιωτός· καὶ χωρὶς τοῦ κλειτὸς ἀγαγλειτός· καὶ χωρὶς τοῦ ἰατρὸς ἀρχιατρός· καὶ χωρὶς εἰ μὴ διὰ σημασίαν τινὰ φυλαχθῇ ἐν τῇ συνθέσει ἡ ὀξεῖα τάσις, ὡς τὸ λοιγὸς βροτολοιγός· ἵνα φυλαχθῇ ἡ ἐνέργεια· βροτολοιγὸς γάρ ἐστιν ὁ φθείρων τοὺς ἀνθρώπους· τούτου χάριν καὶ ὁ τόνος ἐφυλάχθη· ὁμοίως καὶ τὸ ἀθηρηλοιγός· συναπηνέχθη δὲ τούτοις κατὰ μετασχηματισμὸν τὸ τραπεζολοιχὸς, καὶ ὠξύνθη· κλίνεται οὖν ὁ ἐπιδέξιος τοῦ ἐπιδεξίου, καὶ τὰ ἐπιδέξια, καὶ ἐπιῤῥηματικῶς ἐπιδέξια, ὡς ἐνδέξια, καὶ φυλάττει τὸν αὐτὸν τόνον· κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι τὰ ἀπὸ ὀνομάτων εἰς ἐπιῤῥηματικὴν σύνταξιν μεταγόμενα, ὁμότονα τοῖς ὀνόμασι καθέστηκαν· οἷον ἐπιεικὲς,

[q] Cf. Etym. M. p. 305, 47.

ὡς ἐπιεικές. (Il. A. 547.)

συνεχές· ἀμπερές· διατρεκές· τὸ δὲ ἀληθὲς ἀντὶ τοῦ ἀληθῶς παρὰ Ἀττικοῖς οὐχ ὁμοτόνως· ὁμοίως καὶ τὸ ἐπανάγκες καὶ τὸ χάριεν· οἷον,

χάριεν διελέχθη οὐρανὸς[r]

ἀντὶ τοῦ χαριέντως.

Ἔϋξοον: (Il. B. 390.) Ὄνομα ἐκ τοῦ ξέω, καὶ μετὰ τοῦ μορίου τοῦ εὖ, εὔξοος· ἀναβιβάζει τὸν τόνον· τὰ εἰς ος ὀνόματα ἔχοντα τὸ εὖ μόριον κατ' ἀρχὴν ἅπαντα προπαροξύνεται· οἷον Εὔμαιος· εὔσκοπος· χωρὶς τῶν παρὰ τὸ ἔργον συγκειμένων· οἷον,

Οἵ τε[s] κατ' αἶσχος ἔχευε καὶ ἐσσομένῃσιν ὀπίσσω. (Od. Λ. 432.)
θηλυτέρῃσι γυναιξὶ, καὶ ἥ κ' εὐεργὸς ἔῃσιν. (Od. Λ. 432.)

Εὔχομαι: (Il. A. 43.) Καὶ ἐπεύχομαι ἀντὶ τοῦ πρὸς[t], ὡς καὶ ἐπιορκῶν, ἀντὶ τοῦ ὑπεράνω τῶν ὅρκων γινόμενος· καὶ ἐπιβλέπειν, ὑπεράνω τὴν διάνοιαν ἔχειν· ταῦτα ἀντὶ τῆς ὑπέρ· ἐκεῖ δὲ ἀντὶ τοῦ πρὸς, καὶ ἐπευχόμενος ἀντὶ τοῦ προσευχόμενος· καὶ ἐπὶ γόνασιν, ἀντὶ τοῦ πρὸς τοῖς γόνασι· γίνεται δὲ ἐκ τοῦ ἔχω πλεονασμῷ τοῦ υ· οἱ γὰρ εὐχόμενοι ἀξιοῦσιν ἔχειν ὧν βούλονται· τί διαφέρει εὐχὴ καὶ προσευχή; εὐχὴ λέγεται ἐπαγγελία τινὸς τῶν κατ' εὐσέβειαν ἀφιερομένων θεῷ· προσευχὴ δὲ αἴτησις μετὰ ἱκετηρίας τῷ θεῷ προσαγομένη· τὸ ἐνεργητικὸν δὲ οὐκ ἔστι· τότε γὰρ ἀπολιμπάνουσι τὰ ἐνεργητικὰ τά τε παθητικὰ, ἐν ᾧ ἂν ῥήματι ἐναντίως ἔχει τὸ σημαινόμενον τῷ τῆς φωνῆς χαρακτῆρι· οἷον ῥιγῶ· κάμνω· πυρέσσω· φρίσσω· πάσχω· ὁμοίως ἅλλομαι· εὔχομαι· ὀρχοῦμαι· ἱππάζομαι· φείδομαι, τύπον μὲν ἔχει παθητικὸν, σημαινόμενον δὲ ἐνεργητικόν.

Ἐγγυαλίζω: (Il. A. 353.) Ἔστι τὸ χωρῶ καὶ δέχομαι· τοῦτο κατὰ παραγωγὴν γύω, καὶ ἐξ αὐτοῦ γύα, τὰ μέλη· ἔστιν οὖν γῦον, καὶ κατὰ παραγωγὴν γυΐζω, καὶ πλεονασμῷ τῆς αλ

[r] Cod. οὖνός. Sed Etym. Gud. in ead. v. p. 199. habet ὁ ἄνθρωπος· fortasse leg. ὤνθρωπος.
[s] Cod ἦτε· mox om. καὶ ἐσσομ. ὀπ.
[t] Cod. πρός. (ὑπὲρ superscr.)

συλλαβῆς, ὡς τὸ εἴκω, τὸ ὁμοιῶ, εἴκιον καὶ ἐνίκιον, καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς ἐναλίγκιον· κυρίως δὲ ἐγγυαλίζειν, τὸ εἰς χεῖρας δοῦναι τινι.

Ἑταῖρος: (Il. A. 345.) Τὸ ται δίφθογγος διατί; τὰ εἰς ος καθαρὸν ἀπὸ πρωτοτύπου τῶν εἰς ος παρηγμένα, διὰ τῆς αι διφθόγγου γράφεται· οἷον λῆνος ληναῖος· δρόμος δρομαῖος· καὶ οὕτω παρὰ τὸ ἔθος ἐθαῖος, καὶ πλεονασμῷ τοῦ ρ ἐθαῖρος καὶ τροπῇ τοῦ δασέος εἰς ψιλὸν ἑταῖρος, οἱονεὶ ὁ συνήθης καὶ φίλος· τὸ δὲ ἕτερος ἐκ τοῦ ἑταῖρος.

Ἐνοπῆι: (Il. Γ. 2.) Ἡ κλαγγὴ, καὶ ἐνοπὴ ἐπιῤῥήματα εἰσὶ ποιότητος, ὡς τὸ σιγῇ· γίνεται δὲ παρὰ τὸ ὄψ, ὃ σημαίνει τὴν φωνὴν, καὶ γράφεται διὰ τοῦ ο μικροῦ· τοῦτο δὲ παρὰ τὸ ἔπω, τὸ λέγω· λοιπὸν ἐκ τῆς ὀπὸς γενικῆς γίνεται μετὰ τῆς ἐν προθέσεως ἐνοπῇ.

Ἕκαστος: (Il. A. 606.) Τί σημαίνει ἕκαστος; ἀντὶ τοῦ Ἕλληνες καὶ οἱ βάρβαροι· εἴδους τῶν ὑποπεπτωκότων ἐπιμεριζομένων· καὶ ποσαχῶς τὰ ἐπιμεριζόμενα εἴρηται.

Ἔλαφος: (Il. A. 225.) Παρὰ τὸ ἕλκειν τοὺς ὄφεις· φασὶ γὰρ ὅτι ἀπερχόμενος καὶ τῷ κέρατι αὐτοῦ προστρίψας τῷ φωλεῷ, λαμβάνοντες ἐκεῖνοι ἐκ τῆς ἀναθυμιάσεως τοῦ κέρατος ἐξέρχονται.

Ἐπί: Πρόθεσις ἐστὶ παραλαμβάνουσα ἢ σημαίνουσα ῥῆμα· ἔστι δὲ ἰδίωμα τοῦ ποιητοῦ τὸ λέγειν, ὅτι ὥσπερ τὰ ῥήματα πολλάκις ἐλλειπτικὰ εἰσὶ τῶν προθέσεων, ὡς τὸ

> ἔρχομαι εἴ τί τοι ἔγχος ἐνὶ κλισίῃ. (Il. N. 256.)

καὶ

> ἔρχομαι ὄφρ' Ἀχιλῆι μῦθον ἐνίψω. (Il. Λ. 838.)

ἀντὶ τοῦ ἀπέρχομαι· οὕτω καὶ αἱ προθέσεις ἐλλειπτικαὶ εἰσὶ τῶν ῥημάτων σημαίνουσαι ῥῆμα· οἷον,

> ἐπὶ οὔ τοι ἔπι δέος. (Il. A. 515.)

καὶ

> οὕνεκα καλὸν
> εἶδος ἔπ' ἀλλ' οὐκ ἔστι βίη. (Il. Γ. 45.)

ἀντὶ τοῦ ἔπεστι·

ἐπεὶ οὔτι πάμπαν ἔνι φρένες[u]. (Il. Ψ. 104.)

ἀντὶ τοῦ ἔνεισιν.

Ἐών: (Il. Α. 131.) Μετοχὴ ἐστὶ β' ἀορίστου χρόνου, διότι οὐδέποτε ἐνεστῶτος μετοχὴ ὀξύνεται, πλὴν τοῦ ἑκών· καὶ οὐδέποτε β' ἀορίστου μετοχὴ βαρύνεται, πλὴν τοῦ πέφνων· ὥστε ἐὼν ἀόριστος β' ἐστί.

Ἐπιπλώς: (Il. Ζ. 291.) Μετοχὴ ἀορίστου α· ὁ ἐνεστὼς ἐπιπλώω βαρύτονον διὰ τοῦ ω μεγάλου, ὡς τὸ ζώω καὶ γνώω, ἐξ οὗ καὶ τὸ ἐγνώσθη· οὕτως οὖν ἐστὶ καὶ τὸ πλώω· γίνεται ἐκ τοῦ πλέω πλόω διὰ τοῦ ο μικροῦ, καὶ κατ' ἐπαύξησιν τοῦ ο εἰς ω ποιητικὸν, γίνεται πλώω βαρύτονον· ἐπειδὴ τὰ κατ' ἐπαύξησιν τοῦ ο εἰς ω γινόμενα ῥήματα, εἰ μὲν καθαριεύουσι βαρύνεται· οἷον, ζώω· πλώω· εἰ δ' οὐ καθαριεύουσι περισπῶνται· οἷον, νωμῶ· στρωφῶ· ἐκ τοῦ πλώω ὁ ἀόριστος ἔπλωσα, καὶ μετὰ τῆς ἐπὶ προθέσεως ἐπέπλωσα, καὶ ἡ μετοχὴ ἐπιπλώσας, καὶ ἐν συγκοπῇ ἐπιπλώς.

Ἐριήρας[x]: (Il. Γ. 47.) Ἄγαν εὐαρμόστους, ἤγουν ἑαυτῷ φίλους, τουτέστιν ἅρπαγας καὶ πλεονέκτας καὶ μοιχούς· γίνεται παρὰ τὸ ερι ἐπιτατικὸν μόριον, καὶ τὸ ἀρῶ τὸ ἁρμόζω.

Ἕθεν: (Il. Α. 114.) Ποίου εἴδους; πρωτοτύπου· οἱ μὲν νέοι ἐκ τοῦ σοῦ κατὰ διάλυσιν, σέο σέοθεν, κατὰ συγκοπὴν καὶ ἀποβολὴν τοῦ σ, ἕθεν· ὁ δὲ Ἡρωδιανὸς ἐκ τοῦ ἐμέ· σέ· ἕ· καὶ κατ' ἐπέκτασιν τῆς θεν.

Ἕαται: (Il. Γ. 134.) Ῥῆμα τῶν εἰς μι παθητικὸν ἐνεστῶτος· εἴωθεν ὁ ποιητὴς ἐπὶ τοῦ κεῖνται καὶ εἶνται· ἕεμαι καὶ κράσει εἶμαι, ἧνται[y], καὶ Ἰωνικῶς ἕαται· ὁ κανών· εἰ μέντοι ἀπὸ περισπωμένων φύσει μακρᾷ παραληγόμενοι, ταύτην συστέλλουσι πρὸ τοῦ αται· καὶ ἑξῆς· οὕτως κεῖνται καὶ κέαται, καὶ πλεονασμῷ τοῦ ἰῶτα κείαται· καὶ κατακείαται.

Ἐγχείησιν: (Il. Β. 818[z].) Ὁ κανών· αἱ τοιαῦται δοτικαὶ ἢ ἐπεκτεταμέναι εἰσὶν, ἢ ἀνεπέκτατοι· ἡ εὐθεῖα ἐγχεία,

[u] Corr. ἀτὰρ φρένες οὐκ ἔνι πάμπαν. [x] Cod. ἐριήσας. [y] Cod. ἦν ἔνται. [z] Cod. ἐχείησιν et deinceps ἐχεία.

καὶ ὤφειλε προπαροξύνεσθαι· τὰ γὰρ διὰ τοῦ εια ἐπὶ πραγμάτων ταττόμενα προπαροξύνεται· οἷον Ἀμάλθεια· ἔστι δὲ καὶ αἲξ ἡ θρεψαμένη τὸν Δία· ὑπώρεια· τὸ δὲ ἐγχεία ποιητικῶς ἐξετάθη· τὸ ἐγχεία γίνεται ἐκ τοῦ ἔγχος ἐγχέα· ὡς ἰτέα καὶ συκέα· καὶ πλεονασμῷ τοῦ ἰῶτα ἐγχεία· τὸ χει δίφθογγος διατί; διότι ἀνεφάνη τὸ ε ἐν τῷ ἔγχεος ὥσπερ τὸ ἐλεγχείη·

Πουλυδάμας μέν μοι ἔπειτ' ἐλεγχείην ἀναθήσει. (Il. X. 100.)

οἱ δὲ Ἀττικοὶ ἐκτείνοντες τὸ α, ὡς ἐν τῷ ἱέρεια καὶ ἱερεία, ἐναλλαγὴν μὲν τοῦ τόνου ποιοῦσι, φυλάττουσι δὲ τὴν γραφήν· οἷον, ἔγχεια, καὶ ἐλεγχεία[a].

Ἔπω: Σημαίνει δύο· τὸ λέγω καὶ τὸ ἀκολουθῶ· διαφέρει κατὰ τρόπους δύο· ὅτι τὸ μὲν ἔπω, τὸ λέγω, ψιλοῦται, τὸ δὲ ἀκολουθῶ δασύνεται· καὶ ὅτι τοῦ μὲν ἔπω, τὸ λέγω, τὰ ἐνεργητικὰ εἴρηνται, τὰ δὲ παθητικὰ οὔ· τοῦ δὲ ἀκολουθῶ τὰ παθητικὰ, οἷον, ἕπομαι, καὶ εἱπόμην, καὶ ποιητικῶς ἑπόμην· τὸ δὲ ἐνεργητικὸν οὐχί· τὸ δυϊκὸν ἑπόμεθα, καὶ τὸ τρίτον ἑπέσθην· ἀμφιέπω δὲ καὶ περιέπω.

Ἐμεῖο: (Il. A. 174.) Ἐκ τοῦ ἐμοῦ· τὸ δὲ ἐμοῦ ποίου εἴδους; πρωτοτύπου· κατὰ πόσους τρόπους διαφέρει τὸ πρωτότυπον τοῦ παραγώγου; κατὰ τρεῖς· ὅτι τὸ μὲν ἐμοῦ τὸ πρωτότυπον γίνεται κατὰ διάλυσιν, ἐμέο καὶ ἐμεῖο, καὶ ἐμεῦ· τὸ δὲ παράγωγον οὐδαμῶς· καὶ ὅτι τὸ μὲν πρωτότυπον ἐγκλίνεται, καὶ τὸ κατάρχον φωνῆεν ἀποβάλλει· οἷον, "ἤκουσέ μου·" τὸ δὲ παράγωγον οὔτε ἐγκλίνεται, οὔτε τὸ κατ' ἀρχὴν φωνῆεν ἀποβάλλει· τὸ δὲ ἐμεῖο ἐκ τοῦ ἐμὸς, ἐμοῦ· ἔστι δὲ ἡ ἀντωνυμία παράγωγος εἴδους τῶν παραγώγων κτητικῶν· σημαίνει δὲ κτητικὰ καὶ κτήματα· διαλύσει τῆς ου διφθόγγου ἐμέο Ἰωνικῶς· ἐκ δὲ τοῦ ἐμέο συναιρέσει τοῦ ε εἰς τὴν ευ δίφθογγον ἐμεῦ, ἀποβολῇ τοῦ ε μευ· ὡς ἐν τῷ

κέκλυτέ μευ. (Il. Γ. 86.)

αἱ γὰρ πρωτότυποι ἀντωνυμίαι ἐγκλινόμεναι τὸ κατ' ἀρχὴν φωνῆεν ἀποβάλλουσι.

[a] Cf. Etym. M. p. 313, 16.

Ἔκπεσον: (Il. Λ. 179.) Πέτω τρίτης συζυγίας τῶν βαρυτόνων παράγωγον πεταίω, ὡς λιλῶ λιλαίω, ἐν συγκοπῇ πταίω· ἐκ τοῦ πέτω ῥήματος ὄνομα πετὴς, καὶ προπετὴς, ὁ προπίπτων τῇ διανοίᾳ· ὁ παρακείμενος πέπτηκα, καὶ μεταβολῇ τοῦ η εἰς ω πέπτωκα, ὡς ὤχηκα ὤχωκα· τοῦ πέτω ὁ ἀόριστος ὤφειλεν εἶναι ἔπετον· Ἀλκαῖος κεχρῆται,

ἔπετον Κυπρογεῆας[b] παλαμίῃσιν.

ὡς ἁμαρτῶ καὶ ὀλισθῶ, ἥμαρτον καὶ ὤλισθον· μεταβολὴ δὲ γέγονε τοῦ τ εἰς σ.

Ἐπί: Πρόθεσις· ἥτις τῇ δοτικῇ πτώσει συντασσομένη τὴν ἐπάνω σχέσιν δηλοῖ· "ἐπὶ τῷ ὄρει· ἐπὶ τῇ Αἴτνῃ." ὥσπερ ἐκ τοῦ ἐναντίου ἡ ὑπὸ τὴν κάτω σχέσιν· καὶ ἀμφότερα παρὰ τῷ ποιητῇ

ὑψοῦ ἐπὶ ψαμάθοις (Il. A. 486.)

οὕτως ἡ ἐπάνω σχέσις· ἡ δὲ ὑποκάτω

ὑπὸ δ' ἕρματα μακρὰ τάνυσσαν. (Il. A. 486.)

τὸ δὲ

ἡ μὲν ἐπ' ἐσχάρῃ ἧστο. (Od. Z. 52.)

ἀντὶ τοῦ παρὰ ἑστήν· ὁμοίως καὶ τὸ

θεῖναι ἀεννάης ἐπὶ γούνασιν. (Il. Θ. 92.)

ἀντὶ τοῦ παρά· ἕστηκε γὰρ τὸ Παλλάδιον· ἀλλαχοῦ μέντοι ἐκ παραλλήλου τέθεικε τὴν ἐπί· ὅπου μὲν ἔχουσαν τὸ ἴδιον σημαινόμενον· ὅπου δὲ ἰσοδυναμοῦσαν τῇ παρὰ,

Ὄσσαν ἐπ' Οὐλύμπου μέμασαν[c] θέμεν· αὐτὰρ ἐπ' Ὄσσῃ
Πήλιον εἰνοσίφυλλον. (Od. Λ. 315.)

τὸ γὰρ Ὄσσαν ἐπ' Ὀλύμπῳ, ἀντὶ τοῦ παρ' Οὐλύμπον, ὁ γὰρ Ὄλυμπος κατὰ τὸν ποιητὴν συνῆπται τῷ οὐρανῷ· οὐ χρεῖα δὲ ἑτέρου ὕψους τῷ Ὀλύμπῳ· δεῖ δὲ ὕψος γίνεσθαι ἵνα φθάνῃ μέχρις τοῦ Οὐλύμπου· ἐπισυντίθεται αὖ τῇ Ὄσσῃ τὸ Πήλιον, ἵνα διὰ τοῦτο ἐπὶ τὸν Ὄλυμπον, καὶ διὰ τοῦ Ὀλύμπου ἐπὶ τὸν οὐρανόν· ἐὰν γὰρ νοήσωμεν τὴν Ὄσσαν ἐπὶ τῷ Ὀλύμπῳ, με-

[b] MS. κυπρο. (γν superscript) Etym. M. p. 666, 51. tacito poetæ nomine, ἔπετον κυπρογενῆας. [c] Cod. μαίμασαν.

λήσει διὰ τῆς Ὄσσης ἄνοδος εἰς τὸν οὐρανὸν νοεῖσθαι, ὅπερ ἐναντίον παρὰ τῷ ποιητῇ· ἔστι δὲ ἡ πρόθεσις τῶν ἀντιστρεφομένων,

ᾧ ἔπι πολλ' ἐμόγησα. (Il. A. 162.)

ἔστι δὲ καὶ τῶν ῥῆμα σημαινούσων,

ἐπεὶ οὔτι ἔπι δέος. (Il. A. 515.)

ἀντὶ τοῦ ἔπεστι· ἔστι δ' ὅτε ἕνεκα ἐπιτάσεως ἐκπαραλλήλου κεῖται· ἐπίκουρος· ἐπίκτητος· ἐπίτροπος· ἔστι δ' ὅτε καὶ ἐν συνθέσει τὸ ἰῶτα εἰς τὸ η τρέπεται· ἐπήβολος· οὐ γὰρ ῥητὸν ἐπίβολος, καὶ ἐπιετανός· ἔτος γὰρ ἐτανὸς, καὶ ἐπηετανός· οὐ γὰρ παρὰ τὸ ταναὸς, ὥς τινὲς, ἐπεὶ πλειόνων οὗτοι διδόασι πάθη· ἐπιταναὸς καὶ ἐπιετανὸς καὶ ἐπηεταναός· παρὰ τὴν ἐπὶ γέγονε καὶ τὸ ἐπίσσα· σημαίνει δὲ τὴν νεωτάτην τὴν ἐπὶ πάσαις γινομένην· ὡς παρὰ τὸ μετὰ μετάσσα,

χωρὶς δὲ μετάσσαι. (Od. I. 221.)

οὐ γὰρ ἐκ τοῦ μέσαται, ὥς τινὲς, καὶ ὁ ἐπεὶ σύνδεσμος συντίθεται· οὐ δὲ ἀντωνυμία μετὰ προθέσεως· κἀνταῦθα πάλιν ἐξαίρετος ἡ σύνθεσις τῆς ἐπὶ ἐν τῷ ἐπέκεινα, καὶ ἔπειτα δὲ, ἐκ τῆς ἐπὶ, καὶ τοῦ εἶτα· καὶ ἡ σύνθεσις μετεποίησε τὸν ὁρισμόν· τὰς γὰρ ἀντωνυμίας μετέστησεν εἰς ἐπίῤῥημα.

Ἔστωρ[d]: (Il. Ω. 272.) Ὄνομα προσηγορικὸν ἁπλοῦν ἀρσενικὸν τῷ εἴδει ῥηματικόν· ἀπὸ γὰρ τοῦ ἐνίεσθαι· ἀπὸ δὲ τοῦ ἵημι πολλὰ ῥηματικὰ ἐξέπεσε κατὰ διαφόρους χρόνους, ἥσω ἦχος ὁ ἐνιέμενος· ἀπὸ τοῦ ἥσω ἧμα

ἠδ' ὅσσον δύναμις τε[e] καὶ ἥμασιν. (Il. Ψ. 891.)

ἀπὸ τοῦ ἥσω καὶ ἥμων

καὶ ῥ' ἥμονες ἄνδρες ἀνέσταν. (Il. Ψ. 886.)

καὶ ὡς ἀπὸ τοῦ τίθεται θέτης, καὶ νομοθέτης, γίνεται θετὴρ, καὶ ἀπὸ τοῦ ἕται ἕτης, καὶ ἀφέτης, καὶ ἀφέτηρ· καὶ ἀγωνοθέτης ἀγωνοθέτηρ, καὶ ἀμαλλοδέτης ἀμαλλοδέτηρ· ὡς ἀπὸ τοῦ αὐτοκράτης αὐτοκράτωρ· ἀφέτης ἀφέτωρ[f],

οὐδ' ὅσσα λάϊνος οὐδὸς ἀφήτορος. (Il. I. 404.)

ωρ

[d] Cod. ἔστορ. [e] Edd. δυνάμει τε. [f] Cod. ἀφετήρια.

οὕτως ἔτης ἔτωρ, καὶ πλεονασμῷ τοῦ σ ἔστωρ[g]· πολλάκις γὰρ πλεονάζει τὸ σ· ὡς ἐν τῷ φερέσβιος καὶ Περσεφόνη· τὰ δὲ εἰς ωρ ἅπαντα δισύλλαβα διὰ τοῦ ο μικροῦ κλίνεται· σεσημείωται παρὰ τῷ ποιητῇ τὸ μήστωρ, ὅτι ἐπὶ μὲν τοῦ κυρίου διὰ τοῦ ο,

Μήστορα τ' ἀντίθεον. (Il. Ω. 257.)

ἐπὶ δὲ τοῦ ἐπιθετικοῦ διὰ τοῦ ω μεγάλου,

μήστωρα φόβοιο. (Il. Z. 97.)

ἔστι δὲ ἔκτασις.

Ἐπόρουσεν: (Il. Γ. 397.) Ὡς πηδῶ πιδύω· κινῶ κινύω· οὕτω καὶ ὄρω, τὸ ὁρμῶ, ὀρύω, καὶ ἐπενθέσει τοῦ ο, ὡς ἐν τῷ εἰλήλουθα· τὸ γὰρ κοινὸν Ἀττικὸν ἐλήλυθα· καὶ

ἀμφὶ δέ μιν γαλόῳ· (Il. X. 473.)

γάλῳ γάρ, καὶ ἐξ Ἀθόω Ἄθῳ γάρ· ἐν δὲ τῷ λαγωὸς οὐκ ἐπένθεσις τοῦ ο, ἀλλὰ δισσὴ ἡ χρῆσις· λαγὼς γὰρ καὶ λαγωός· οὐχ ὡς Τρύφων δὲ οἴεται ταῦτα Βοιωτῶν εἰσὶ διάλεκτοι· ἐκεῖνοι γάρ φασι τῷ υ προνέμουσι τὸ ο· ὑμῖν οὑμῖν· κύνες κοῦνες.

Ἕρματα: Νῦν αἰτιατικὸν, εἴδους ῥηματικοῦ, παρὰ τὸ εἴρω ἕρμα· τὸ δ' αὐτὸ καὶ ἔρεισμα· ἢ παρὰ τὸ ἔρεισμα κατὰ συγκοπὴν ἕρμα· καὶ διατὶ τὸ μὲν ἔρεισμα ψιλοῦται, τὸ δὲ ἕρμα δασύνεται; τὰ βραχέα φωνήεντα καταλήγοντα εἰς ρω, ἐπιφερομένου τοῦ μ, δασύνονται· οἷον, ὅρμος· ὁρμή· ἅρμα· Ἑρμῆς· τῇ συντάξει οὖν τῶν συμφώνων δασύνεται· εἰ δὲ ἐκ τοῦ ἔρεισμα ἐστὶν, ἀντιπίπτει[h] τὸ ὅρμενον ἐκ τοῦ ὀρρομένου[i]

ὅρμενον ἐξαίφνης. (Il. P. 738.)

καὶ τὸ ἅρμενον ἐκ τοῦ ἅρμος, καὶ τὸ ἁρμοῖ οὖν δασύνεται· εἴτε οὖν παρὰ εἴρω, ἢ παρὰ τὸ ἔρεισμα, δασύνεται.

Ἐπιπλώς: Τοῦτο παρὰ τὸ πλῶ· πολλὰς δὲ ἔχει παραγωγάς· πλέω, πλείω, πλῶ, ἀφ' οὗ πλωτὸς,

πλωτῇ ἐνὶ νήσῳ. (Od. K. 3.)

τούτου ὁ ἀόριστος ἔπλωσα, ἡ μετοχὴ πλώσας,

πόντον ἐπιπλώσας. (Il. Γ. 47.)

κατ' ἀποκοπὴν ἐπιπλὼς,

ἐπιπλὼς εὐρέα πόντον. (Il. Z. 291.)

[g] Cod. ἔστορ. [h] Cod. ἀντὶ τοῦ πίπτει τό. [i] Sic.

τὸ θηλυκὸν οὐκ ἔχει, διὰ τὸ μὴ εἶναι τὴν γενικὴν, ἢ παρὰ τὸ πλῶ γίνεται παράγωγον πλῶμι, ἐξ οὗ ἐπέπλων, ἐπεπλὼς,

τούνεκα γὰρ καὶ πόντον ἐπεπλώς. (Od. Γ. 15.)

ἐπέπλων οὖν ἐπιπλοὺς, καὶ τροπῇ διαλέκτου ἐπιπλώς· εἰώθασιν γὰρ οἱ Λάκωνες τὴν ου δίφθογγον τρέπειν εἰς ω· εἴτε δὲ τροπῇ, εἴτε ἀποκοπῇ, κεκώλυται καὶ ἡ κλίσις, καὶ τὸ θηλυκόν.

Εὐρέα:

ἐπιπλώς[k] εὐρέα πόντον. (Il. Ζ. 291.)

ὄνομα ἐπίθετον νῦν ἀρσενικόν· πτώσεως αἰτιατικῆς· ἔστι γὰρ οὐδέτερον πληθυντικὸν

ἐπ᾽ εὐρέα νῶτα θαλάσσης. (Il. Β. 159.)

ἴσως δέ ἐστι παρασύνθετον· εἰ γὰρ τὸ εὖρος παρὰ τὸ εὑρεῖν καὶ φέρεσθαι εἴπομεν, καὶ τὸ εὐρὺς ἐξαυτοῦ δηλονότι παρασύνθετον, ὡς ἀπὸ τοῦ συνθέτου ὀξύνεται τὸ εὐρύς· τὰ εἰς υς τριγενῆ δισύλλαβα ὀξύνεται· τὸ θῆλυς οὐκ ἀντίκειται· οὐ δύναται γὰρ εἶναι τὸ ἀρσενικὸν τῆς τῶν γυναικῶν φύσεως κατηγοροῦν· ὥστε οὐκ ἄντικρυς ἀντιπίπτει τὸ Λίβυς καὶ πρέσβυς, μονογενῆ ὄντα· καὶ τὸ μὲν Λίβυς διὰ τοῦ υ κλίνεται, Λίβυος· τὸ δὲ πρέσβυς διὰ τοῦ ε· τὸ μέντοι

ἀποσχὼν θήλειας ἵππους. (Il. Ε. 269.)

ὡς πρὸς τὸ θῆλυς ἀνέγνωσται· ἐὰν δὲ θηλέας ἐκ τοῦ θηλείας·

Ἔστιν:

ἔστι πόλις Ἐφύρη (Il. Ζ. 152.)

ῥῆμα ὁριστικὸν ἐνεργητικόν· ἁπλοῦν· χρόνου ἐνεστῶτος· συζυγίας πρώτης τῶν εἰς μι· προσώπου τρίτου· ἀπόλυτον καὶ ὑπαρκτικόν· Δωρικὸν δὲ οὐκ ἔστιν· ἐπεὶ τὰ Δώρια τὸ φατὶ, καὶ τὸ τίθητι, πρὸ τοῦ τ καθαρά εἰσι· τοῦτο δὲ οὐχί· τὸ δὲ φατὶ ἐκ τρίτου ἑνικοῦ· πάλιν τὰ εἰς τι πληθυντικὰ Δώρια ἔχει πρὸ τοῦ τ σύμφωνον τὸ ν[l], φαντὶ, λέγοντι· τοῦτο δὲ οὔ· ὥστε οὐ Δώριον· καὶ ὅτι τὰ Δώρια τὸ ν οὐ προλαμβάνουσι· φατὶν οὐ λέγουσιν, οὐδὲ τίθητιν· τὸ δὲ ἔστιν προλαμβάνει τὸ ν· τὰ δὲ εἰς τ Δώρια ὀνόματα προλαμβάνει τὸ ν· εἴκοσι, εἴκατι, εἴκατιν· ἀλλ᾽ ἐπιρρήματα οὐχί· ἀλλ᾽ εἰ Δωρίδος λέγεις αὐτὸ, δὸς τὸ κοινὸν,

[k] Cod. ἐπὶ πλούς. [l] MS. τὸ π.

τὸ δὲ τ ἔχει· ἐπειδὴ τὸ δεύτερον πρόσωπον προσέλαβε τὸ σ, ὅπερ ἦν χαρακτηριστικὸν τοῦ τρίτου προσώπου· ἑνικῷ γὰρ ἑνικὸν οὐ συνεμπίπτει· ἑνικὸν δὲ πληθυντικῷ· ἔλεγον ἐγώ· καὶ ἔλεγον ἐκεῖνοι· μονῆρες δέ ἐστι κατὰ τὴν σύνταξιν· πρόθεσις γὰρ ἐὰν συνταγῇ τρίτῳ προσώπῳ, καὶ τῷ πρώτῳ καὶ τῷ δευτέρῳ συντάσσεται· τούτῳ δὲ συνταγεῖσα ἡ ἐξ πρόθεσις, πρώτῳ καὶ δευτέρῳ συντάσσεται οὐδαμῶς· ἐν δὲ τῷ

Μυρμιδόνων ἔξ εἰμι. (Il. Ω. 397.)

καὶ

τεῶν δ' ἔξ εἰσι τοκήων. (Il. Ω. 387.)

οὐ τοῦ ῥήματος ἡ πρόθεσις, ἀλλὰ τῆς γενικῆς, λέγω δὴ τῶν Μυρμιδόνων, καὶ ἐκ τοκήων· ὅτε δὲ ἀρκτικόν ἐστιν, ἀναβιβάζει τὸν τόνον·

ἔστι πόλις Ἐφύρη. (Il. Z. 152.)

ὑποτασσομένη δὲ ὀξύνεται· καὶ ὅτε τῇ ου ἀποφάσει ὑποτάσσεται ἀναβιβάζει·

οὐκ ἔστιν οὐδὲ ἔοικεν·

ἀμφίβολον τὸ

ἡ δέ τοι οὐ θνητὴ ἀλλ' ἀθάνατον κακόν ἐστιν. (Od. M. 118.)

καὶ Ὅμηρος[m]·

ἀλλὰ μάλα Σκύλλης σκοπέλῳ πεπλήμενος εἶναι[n]. (Od. M. 108.)

τούτου γὰρ ἀπαρέμφατον Δωριστὶ πλῆσθαι, ἐνεστῶτος ὡς ἡρῆσθαι· Ἡσίοδος·

δῶρα θεῶν μακάρων πλῆσθαι χθονὶ

ἢ κατ' ἀφαίρεσιν τοῦ παρακειμένου, ὡς τὸ

δέχθαι ἄποινα. (Il. A. 23.)

καὶ

πρὶν βλῆσθαι Μενέλαον. (Il. Δ. 115.)

τὸ πέπλημαι Ἀττικὸν, καὶ Δωρικὸν πέπλαμαι· ἐκ τοῦ πλῶ παράγεται πλῆμι, ὅθεν τὸ ἔπλην, δεύτερος ἀόριστος, οὗ τὸ εὐκτικὸν πλώην, καὶ τὸ μέσον πλώμην, καὶ τὸ τρίτον τῶν πληθυντικῶν, πλῶιντο, καὶ τὸ Ἰωνικὸν, καὶ Δωρικὸν καὶ Αἰολικὸν,

m Hæc ad aliam glossam videntur spectare, fortasse ἔπληντο.

n Edd. πεπλήμενος ὦκα.

πλώιατο· ὡς πύθοιντο, πυθοίατο· κεχαροίατο· μαχοίατο· ἀπὸ δὲ τοῦ πλῶ, τοῦ σημαίνοντος τὸ πληρῶ, πλήθω παράγωγον. ὡς νῶ νήθω· σῶ σήθω.

πλήθει γὰρ δή μοι νεκύων. (Il. Φ. 218.)

σελήνην τε πλήθουσαν. (Il. Σ. 484.)

καὶ παρ' Αἰολεῦσι πλήχω· τὸ δὲ πλήθω, τὸ πλησιάζω, Ἀττικὸν πλάθω· ἐκ τοῦ πλῶ καὶ τὸ πλάζω, ὡς τὸ κράζω· τὸ πλάζω ἐκ τοῦ πλήσσω Αἰολικοῦ· οὕτω γὰρ καὶ Ἀρίσταρχος τὸ Ὁμήρου ἀνέγνω ἐκτεταμένως,

ἔνθα δύο νύκτας, δύο τ' ἤματα κύματι πηγῷ
πλάζετο. (Od. E. 389.)

ἀντὶ τοῦ ἐπλήσσετο· καὶ γάρ φησιν ἐπιφέρων Ὅμηρος ἐξηγεῖται·

καὶ τὸ μὲν ὡς ὑπάλυξε· παλιῤῥόθιον δέ μιν αὖτις
πλῆξεν· (Od. E. 430.)

ἡ μέντοι κοινὴ ἀνάγνωσις συστέλλει τὸ α, ἐκδεχομένη τὸ ἐπλανᾶτο· ἐπιφέρει γὰρ οὕτω,

κακὰ πολλὰ παθὼν ἀλόω κατὰ πόντον· (Il. E. 377.)

ἐπὶ μέντοι τοῦ Ἀχίλλεως,

πλάζ' ὤμους καθύπερθεν. (Il. Φ. 269.)

τὸ ἔπλησσε δῆλον Αἰολικῆς· τοῦ πλῶ ὁ μέλλων πλήσσω, ἐξ οὗ πλήτης καὶ τειχεσιπλήτης[o], ὡς βήτης καὶ δασπλήτης, ἐκ τῆς δα ἐπιτάσεως, καὶ πλεονασμῷ τοῦ σ· γίνεται δὲ παθητικὸν πλῆτο φασὶν, ἐξ οὗ τὸ ἄπλατος παρὰ τὸ πλητὸς, καὶ τὸ πλήσιος· τὸ δὲ πλατὸς ἐν συστολῇ διὰ τοῦ ε ἄπλετος, ἐκ τοῦ πλῶ, τὸ πληρῶ· ὁ ὑπερσυντελικὸς παθητικὸς ἐπεπλήμην, ἐπέπλητο·

πλῆτο ῥόος κελάδων. (Il. Φ. 16.)

τῶν δὲ καὶ ἀργύφεον πλῆτο σπέος. (Il. Σ. 50.)

σύνηθες δὲ ὁ ποιητὴς, τὸν διπλασιασμὸν ἀποβάλλει· ὡς τὸ

δέκτο δέπας. (Il. O. 88.)

ἐπὶ δὲ τοῦ πλῶ, τὸ πλησιάζω,

αὖτις δ' ἐξοπίσω πλῆτο χθονί. (Il. Ξ. 438.)

καὶ τὸ πληθυντικὸν

[o] Cod. τείχεσι πλήτης.

τοῦ δὲ προτέρῃ κεφαλὴ στόμα τε ῥῖνές τε
οὔδεϊ πλῆντ' ἤπερ κνῆμαι. (Il. Ξ. 468.)

καὶ

ἔπληντ' ἀλλήλῃσι. (Il. Δ. 449.)

μετὰ τῆς κατ' ἀρχὴν τοῦ ε αὐξήσεως· οὐκ οὖν ὑπερσυντελικὸς ἐστὶ, καὶ οὐ παρατατικός; τὸ δὲ πλῶ ἐκ τοῦ πέλω, ἐξ οὗ καὶ τὸ πελάζω, καὶ τὸ πέλας, ὡς κέλω κλῶ· παρὰ τὸ πλῶ πλὴν, καὶ ἔμπλην, σημαίνει τὸ ἐγγύς·

Βοιωτῶν δὲ ἔμπλην, ἐπ' ἀρίστερα. (Il. Β. 526.)

τὸ δὲ ἁπλοῦν τὸ πλὴν, ὃ σημαίνει τὸ χωρὶς, κατ' ἀντίφρασιν ἐξηνέχθη.

Ἐγώνη: Δωριέων ἡ διάλεκτος προλαμβάνουσα τὸ ν· καὶ τὴν συ ἀντωνυμίαν τὺν λέγουσι μετὰ τοῦ ν· ὃ προσθέσει τοῦ η γίνεται τύνη, καὶ ἐγώνη· ἢ δὲ ὁ ποιητὴς ἐκκλίνων τὴν χασμῳδίαν τῶν φωνηέντων εἶπε τὸ ἐγὼν μετὰ τοῦ ν.

Ἑκυρός: (Il. Γ. 172.) Ἐτυμολογεῖται παρὰ τὸ ἑαυτῷ τὴν νύμφην ἄγειν· γίνεται ἐκ τοῦ δέχω, δεχύω, δεχυρὸς, ὡς ἔσχω, ἰσχύω, ἰσχυρός· καὶ ἀποβολῇ τοῦ δ καὶ τροπῇ τοῦ χ εἰς κ· ἢ παρὰ τὸ κύρω, τὸ ἐπιτυγχάνω, κυρὸς, καὶ ἑκυρός· σημαίνει τὸν πενθερόν.

Ἐών: (Il. Α. 131.) Μετοχὴ χρόνου ἀορίστου β', διότι οὐδέποτε ἐνεστῶσα μετοχὴ ὀξύνεται, πλὴν τοῦ ἑκών· καὶ οὐδέποτε δευτέρου ἀορίστου μετοχὴ βαρύνεται, πλὴν τοῦ πέφνων· ὥστε τὸ ἐὼν β' ἀόριστος.

Ἐπίκουρος: (Il. Γ. 188.) Ἡ ἐπὶ πρόθεσις σημαίνει τὸ δέον καὶ πρέπον· πρέπει γὰρ καὶ προσήκει τοῖς νέοις πολεμεῖν καὶ συμμαχεῖν· διαφέρει σύμμαχος καὶ ἐπίκουρος· ἐπίκουρος λέγεται ἡ τῶν πολεμουμένων βοηθεία· σύμμαχος δὲ ὁ τῶν πολεμούντων, ὡς Ἀχιλλεὺς Ἑλλήνων.

Ἑλίκωπας: (Il. Γ. 234.) Ἡ εὐθεῖα ἑλίκωψ· γίνεται ἐκ τοῦ Ἑλίκη[p], ὃ σημαίνει τὴν μεγάλην ἄρκτον· δύο δὲ ἄρκτοι, καὶ ἡ μὲν μεγάλη καλεῖται Ἑλίκη[q]· πρὸς ἣν ἀποβλέποντες καὶ ἀπευθύνονται[r] τὴν πόρευσιν ἐποιοῦντο, ὡς ἐκ τούτου κληθῆναι ἑλίκωπας· ἡ δὲ μικρὰ Κυνόσουρα.

[p] Cod. ἐλίην. [q] Cod. ἐλίη. [r] Leg. ἀπευθύνοντες cum Etym. Gud. p. 181, 50.

ˈΕἼΣΚΩ: (Il. Γ. 197.) ˈΕκ τοῦ εἴδω, τὸ ὁμοιῶ· ὁ μέλλων εἴσω, καὶ πλεονασμῷ τοῦ κ, εἴσκω, καὶ μετάγεται εἰς ἐνεστῶτα, ἐπειδὴ τὸ κ οὐκ ἔστι χαρακτηριστικὸν βαρυτόνου μέλλοντος· βαρυτόνου εἶπε, διὰ τὸ πλακῶ· καὶ ἐν διαλύσει ἐΐσκω· μέλλοντα οὐκ ἔχει· διαλύεται· ἐπειδὴ οὐδέποτε ἡ ει δίφθογγος πρὸ τοῦ κ εὑρίσκεται.

ˈΕΡΥΞΑΝ: (Il. Γ. 113.) ˈΕρύκω, τὸ κωλύω, καὶ γίνεται παρὰ τὸ ἕρκος ἑρκύω, καὶ ἐν ὑπερβιβασμῷ ἐρύκω· ἔνθεν γίνεται καὶ ἔρεισμα τὸ ἀσφάλισμα καὶ τειχίον,

ἔρυμα χροός. (Il. Δ. 137.)

καὶ ἕρκος, καὶ τροπῇ ἕρκυς· σημαίνει δὲ τὸ δίκτυον, ὃ τίθεται εἰς θήραν λεόντων ἢ ἄλλων τινῶν.

ʺΕΦΑΝ: (Il. Γ. 161.) Οἱ Βοιωτοὶ ἐπὶ τῶν μὴ ἐχόντων τὴν μετοχὴν εἰς σ ὀξυτόνων, ἔβημεν ἔβαν· οὕτως ἔφαν[s] ἐκ τοῦ φημὶ, ὁ παρατατικὸς ἔφην, τὸ πληθυντικὸν ἔφαμεν· ἀλλ' ἐπὶ τοῦ παρατατικοῦ τῶν εἰς μι καὶ ἡ παραλήγουσα· καὶ τὸ τρίτον ἔφασαν, καὶ Βοιωτικῶς ἔφαν.

ˈΕΛΙΚΆΩΝ: (Il. Γ. 123.) Δασύνεται· τὸ ε πρὸ τῆς λι συλλαβῆς δασύνεται· ἑλίσσω· ἕλιξ· τὸ δὲ ἑλικμῶντο ψιλοῦται· ˈΕλικάονος ὁ κανών· τὰ εἰς ων βαρύτονα χρόνῳ ἐκτεταμένῳ παραληγόμενα τρέπουσι τὸ ω ἐπὶ τῆς γενικῆς· Μαχάονος· ˈΙκετάονος.

ˈΕΡΑΤΕΙΝΉ: (Il. Γ. 239.) ˈΟ κανών· πᾶν τοίνυν εἰς ο μετὰ συμφώνου· τὸ τει δίφθογγος διατί; τὰ μέντοι εἰς νος ὀξύτονα· ἐκ τοῦ ἐρατὸς, ὃ σημαίνει τὸν ἐπιθυμητόν· τοῦτο παρὰ τὸ ἐρῶ τὸ φιλῶ.

ˈΕΟΥΣΗΣ: (Il. Γ. 201.) β' ἀόριστος· τὸ ῥῆμα ἔω, σημαῖνον τὸ ὑπάρχω· ὁ μέλλων ἔσω, ὁ β' ἀόριστος ἦον, ἡ μετοχὴ ἐών· κατὰ συναίρεσιν ὤν· καὶ τὸ θηλυκὸν ἐοῦσα καὶ ἐούσης· καὶ οὖσα, καὶ πλεονασμῷ τοῦ ι οὐσία.

ˈΕΠΙΤΡΟΧΆΔΗΝ: (Il. Γ. 213.) Τὸ συντόμως καὶ ταχέως, ἐκ τοῦ τροχὸς τροχάδην· τὰ γὰρ ἀπὸ ὀνομάτων τῶν εἰς ος γινόμενα ἐπιῤῥήματα, διὰ τοῦ α ἐκφέρονται· οἷον νόμος νομάδην·

[s] Cod. ἔβαν.

σπόρος σποράδην· τρόχος τροχάδην· τὸ δὲ παμπήδην ἐκ τοῦ πάμπαν.

Ἐριβῶλαξ: (Il. A. 155.) *Ὄνομα θηλυκὸν εἰς τὸ βω περισπώμενον· τὰ εἰς αξ λήγοντα ἀρσενικὰ φύσει μακρὰ παραληγόμενα ἐκτείνουσι τὸ α· οἷον, Φαίαξ· οἴαξ· θώραξ· τὰ δὲ θηλυκὰ συστέλλουσι· γίνεται ἐκ τοῦ ερι ἐπιτατικοῦ, καὶ τοῦ βῶλος, ὃ σημαίνει τὴν εὔγειον καὶ λιπαρὰν γῆν.*

Ἔντεα: (Il. Γ. 339.) *Παρὰ τὸ ἐντὸς περιλαμβάνειν τὸ σῶμα.*

Ἐρυσσάμενος: (Il. A. 190.) *Μετοχὴ μέσος ἀόριστος β´ ποιητικῶς δύο σσ· τὸ θέμα ἐρύω· γίνεται ἐκ τοῦ ἕλω, ἑλύω, καὶ τροπῇ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον ἐρύω· ὁ παρατατικὸς εἴρυον, ὁ παράκειμενος εἴρυκα, εἴρυμαι, Ἰωνικῶς εἰρύαται· ἢ παρὰ τὸ εἴρυμι, ὁ παθητικὸς εἴρυμαι, εἴρυται, καὶ Ἀττικῶς εἰρύαται.*

Ἔστε: (Il. B. 301.) *Ῥῆμα ἐγκλίσεως προστακτικῆς· τὸ ῥῆμα εἰμί· ἡ μετοχὴ εἷς, ἔντος· τὸ προστακτικὸν ἔθι ἔτω, καὶ πλεονασμῷ τοῦ σ ἔστω· καὶ τὸ πληθυντικὸν ἔστε βαρυτόνως· τὰ εἰς τε λήγοντα προστακτικὰ ὁμοιοκατάληκτα ὄντα, τοῖς ὁριστικοῖς ὁμότονα καθεστήκασιν· οἷον ἤγετε ἄγετε· ἐλέγετε λέγετε· ἐπίτασιν οὖν ἔχει τὸ ἔστε· τὸ μὲν ὁριστικὸν ὀξύνεται· τὸ δὲ προστακτικὸν βαρύνεται· ὁμοίως φασὶ καὶ φατέ.*

Ἐγώ: (Il. A. 26.) *Ἀσύναρθρον· διότι τὰ ἄρθρα ἀναφορὰν δηλοῦσιν· ἀναφορὰ δέ ἐστιν ἐγνωσμένου καὶ ἀπόντος τινὸς ἀναπόλησις· ἡ δὲ ἀντωνυμία πρώτην δεῖξιν δηλοῖ· ἐναντία δέ ἐστιν ἡ δεῖξις τῇ ἀναφορᾷ.*

Ἐγκέφαλος: (Il. Γ. 300.) *Παρὰ τὸ ἐγκεῖσθαι τῇ κεφαλῇ· τί δέ ἐστιν ἐγκέφαλος; λευκὸς καὶ μαλακὸς ὥσπερ ἐξ ἀφροῦ τινὸς πεπηγώς, θερμὸς καὶ ὑγρός.*

Ἐτωσιόν: (Il. Γ. 368.) *Ἐπίρρημα μεσότητος· τὸ τω μέγα διατί; ἐκ τοῦ ἔω, τὸ ὑπάρχω· ἐτεὸς, ἀληθὴς, μετὰ τοῦ στερητικοῦ α, ἀέτος· ἡ εὐθεῖα τῶν πληθυντικῶν ἀέτοι ἀέτων· ἀετώσιος, καὶ ἀφαιρέσει, ἐτώσιος· κανὼν γάρ ἐστιν ὁ λέγων· αἱ ἀπὸ γενικῶν πληθυντικῶν ὀνομάτων διὰ τοῦ ιος γινομένων παρα-*

γωγαὶ διχῶς σχηματίζονται· καὶ διὰ τοῦ ο καὶ διὰ τοῦ ν· καὶ ἡ μὲν τῶν Ῥηγίνων διάλεκτος διὰ τοῦ σ· οἷον ἀέτων ἀετώσιος· ἡ δὲ τῶν Αἰολέων διὰ τοῦ ν· οἷον· ἑλίκη ἑλίκης Ἑλίκων Ἑλικώνιος· ἀνέμων ἀνεμώνιος[t].

Ἔσπετο: (Il. Γ. 376.) Ποίου εἴδους τοῦ πλεονασμοῦ; παρεμπτώσεως· καὶ τί ἐστι παρέμπτωσις; πλεονασμὸς συμφώνου κατὰ τὸ μέσον οὐ ποιοῦντος συλλαβάς· οἷον πόλις πτόλις· ἕπετο ἕσπετο.

Εἰροκόμῳ: (Il. Γ. 387.) Ἐκ τοῦ εἶρος, ὃ σημαίνει τὸ ἐρίον,

ἰδνοφερὸν[u] εἶδος ἔχουσα

γίνεται ἐκ τοῦ ἔῤῥω, τὸ κάμνω, ἔῤῥος, καὶ τροπῇ τοῦ ἀμεταβόλου εἰς ἰῶτα, εἶρος, τὸ μετὰ ταλαιπωρίας ἐργαζόμενον· τὰ δὲ ἀπὸ ῥήματος παρηγμένα σύνθετα πρὸ μιᾶς ἔχουσι τὸν τόνον· εἰ δὲ ἀπὸ ὀνόματος, προπαροξύνεται· οἷον, ἱπποκόμος· ἱεροκόμος· γίνεται δὲ ἐκ τοῦ εἶρος, καὶ τοῦ κομῶ, τὸ ἐπιμελοῦμαι, ἡ τῶν ἐρίων ἐπιμελουμένη.

Εἰσαμένη: (Il. Ε. 785.) Εἴδω, εἴσω, ἔεισα· ψιλοῦται· τὸ ε πρὸ φωνήεντος πλεονάσαν, ψιλουμένου μὲν αὐτοῦ, συμψιλοῦται· δασυνομένου δὲ, δασύνεται.

Εἵμασιν: (Il. Γ. 392.) Ἐκ τοῦ εἷμα· τοῦτο ἐκ τοῦ ἕω, τὸ ἐνδύομαι· εἷμα τὸ ει δίφθογγον· διατί; κατὰ διάλεκτον· οἱ γὰρ Αἰολεῖς ἔμβα λέγουσι, καὶ τὸ σπείρω σπέῤῥω· παρὰ τὸ εἷμα καὶ λευχείμων· τὸ δὲ ἱματίζω, καὶ ἱματισμὸς, καὶ ὅσα παρὰ τὸ ἱμάτιον, διὰ τοῦ ἰῶτα γράφεται.

Ἔρεθε: (Il. Γ. 414.) Ἐκ τοῦ εἴρω, τὸ λέγω· ἐρεθίζω δὲ ἐκ τοῦ ἔρις, ἐρίζω, καὶ ἐρεθίζω· ἢ παρὰ τὸ ἐρέθω, ὡς λέπω λεπίζω· ἐρεθισμὸν δὲ λέγουσι τὸν τῶν ἐχθρῶν ἔπαινον· ἢ παρὰ τὸ ἐρῶ, τὸ λέγω, ἐρέθω, ἐρεθίζω.

Ἔκπαγλα[v]: (Il. Γ. 415.) Κανών ἐστιν ὁ λέγων· ὅσα ἐν ὁμοφωνίᾳ καθέστηκε πάλιν οὐδετέρων ὀνομάτων μετάγεται εἰς ἐπιῤῥηματικὴν σύνταξιν[x].

[t] Cf. Etym. Gud. p. 216, 26. [u] Leg. ἰοδνεφὲς εἶρος. Od. Δ. 135. [v] Cod. ἔκπλαγλα. [x] Leg. πληθυντικῶν.

Ἑκηβόλος: (Il. A. 96.) Τοῦτο ἐκ τοῦ ἑκὰς, καὶ τοῦ βάλλω· ἑκαβόλος, καὶ ἑκηβόλος· ἑκὰς δὲ τὸ πόῤῥω, παρὰ τὸ ἥκω, τὸ παραγίνομαι· πόῤῥωθεν γάρ τις παραγίνεται, ἐξ οὗ καὶ δασύνεται τὸ ἑκάς.

Ἔπεισι: (Il. A. 29.) Παρὰ τὸ εἶμι τὸ πορεύομαι· τὸ τρίτον εἶσιν, ὡς τίθημι, τίθησι, τίθητι· καὶ μετὰ τῆς ἐπὶ προθέσεως, ἔπεισι· τὸ δὲ εἶμι παρὰ τὸ ἔω, τὸ περιπατῶ, ὡς βῶ, βεβείω, καὶ κῶ κέω κείω, καὶ ἐξ αὐτοῦ εἶμι.

Ἐνὶ οἴκῳ: (Il. A. 30.) Ὀρθοτονεῖται ἡ ἐν πρόθεσις· ἔστι δὲ κατὰ πλεονασμὸν τοῦ ἰῶτα· ἰστέον δὲ ὅτι τότε ἀναστρέφονται αἱ προθέσεις ὅτε λείπει ῥῆμα· γίνεται γὰρ ἀντὶ ῥήματος· οἷον·

πάρ' ἔμοιγε. (Il. A. 174.)
παρὰ γὰρ θεοί εἰσι καὶ ἡμῖν. (Il. Γ. 440.)
ἔνι τοι φρένες οὐδ' ἠβαιον. (Od. Φ. 288.)

καὶ ὅτε μεταξὺ δύο ὀνόματα τεθῇ· ἔστι δὲ καὶ ἡ σύνταξις αὕτη· οἷον,

ξύλοχον κατὰ βοσκομενάων. (Il. O. 691.)

πρότερον δὲ τὸ ὄνομα,

Ξάνθῳ ἐπὶ δινήεντι. (Il. E. 479.)
νηῶν ἄπο καὶ κλισιάων. (Il. N. 723.)

καὶ ὅτε ὑποτέτακται τινὶ ἀμέσως· οἷον ἐπὶ, ἀντὶ τοῦ ἔφη· καὶ ὅτε εὑρέθη ἐπὶ τέλους ὀνόματος·

Ἀρτέμιδι ξύν. (Od. O. 409.)

εἰ δὲ μὴ οὕτως ἔχει, ὁμοτονεῖται, καὶ φυλάττει τὸν ἴδιον τόνον· τὸ δὲ ἐνὶ ὀρθοτονεῖται μετὰ ὀνόματος, ἵνα μὴ ἀναστρεφομένη σημαίνῃ ῥῆμα.

Ἔδδεισε: (Il. Ψ. 425.) Δείω τὸ φοβοῦμαι, ἐξ οὗ καὶ δέος· ὡς κλείω, τὸ δοξάζω, κλέος· δείω, καὶ ὁ μέλλων δείσω, ἔδεισα, καὶ πλεονασμῷ τοῦ δ ἔδδεισα· ἢ ὡς ἀπὸ περισπωμένου δειδῶ, δειδήσω, ἐδείδησα· ἐν ὑπερβιβασμῷ τοῦ α καὶ ἀποβολῇ τοῦ η.

Ἐέλδωρ: (Il. A. 41.) Ἔλδω τὸ ἐπιθυμῶ, πλεονασμῷ τοῦ ε, ἐέλδωρ· ἢ παρὰ τὸ ἕλω, τὸ ἑλκύω, ἕλωρ, καὶ ἕλδω, καὶ ἕλδωρ.

ἘΝΝΗ͂ΜΑΡ: (Il. Α. 53.) Κἂν παρὰ τὸ ἦμαρ ὄνομα συντέθῃ, οὐκ ἔστιν ὄνομα ἀλλ' εἰς ἐπιῤῥηματικὴν καὶ ἄκλιτον μετέπεσε σύνταξιν, καὶ σημαίνει χρόνον τινὰ ἢ καιρόν· τοιοῦτον ἐστὶ τὸ ἐξῆμαρ, καὶ αὐτῆμαρ καὶ πανῆμαρ· δεῖ γινώσκειν ὅτι οὐδὲν τῶν εἰς αρ συντιθεμένων διὰ τοῦ ἰῶτα γράφεται· οἷον αὐτῆμαρ ἐξῆμαρ· τὸ δὲ ἦμαρ ἀεὶ μετὰ ἀκλίτων τάττεται· ἐχρῆν δὲ αὐτὸ προπαροξύνεσθαι, ὡς παρ' οὐδετέρου συγκείμενον, ἀλλ' ὁ τόνος παραλλάγῃ, ἐπεὶ καὶ ξένη ἡ σύνθεσις· τὰ δὲ ἀπὸ τοῦ ἦμαρ συντιθέμενα ἐπιῤῥήματα προπερισπῶνται· οἷον, ἐξῆμαρ· ἐννῆμαρ.

ἙΚΑΤΗΒΕΛΈΤΑΟ: (Il. Α. 75.) Αἰολικὴ γενικὴ παρὰ τὸ ἵημι· ὁ παθητικὸς παρακείμενος ἕμαι, ἕσαι, ἕται· ἕτης καὶ μετὰ τοῦ βέλους βελέτης, καὶ μετὰ τῆς ἑκη, ἑκηβελέτης, καὶ πλεονασμῷ τοῦ ατ ἑκατηβελέτης.

ΕἾΝΑΙ: (Il. Α. 91.) Ἐνεστὼς καὶ παρατατικὸς ἀπαρεμφάτου τῶν εἰς μι ἐκ τοῦ εἰμί· εἷς, ἕντος, ἕναι, καὶ πλεονασμῷ τοῦ ι εἶναι· εὑρέθη δὲ πλεονασμὸς καὶ ἐν τῷ α' τῶν πληθυντικῶν τοῦ ὁριστικοῦ·

τοῖοι εἱμὲν

καὶ γίνεται δι' ἐκείνου τὸ εἶναι διὰ τοῦ ἰῶτα· ἵνα φυλάξῃ τὴν παραλήγουσαν τῶν πληθυντικῶν· ἀλλὰ συνεξέδραμε τῷ ὅμου αὐτὸ εἶναι, ὅπερ ἐν συνθέσει γίνεται ἐξεῖναι καὶ παρεῖναι· ἔστι δὲ ἕτερον εἶναι β' ἀορίστου ἐκ τοῦ ἵημι· ὁ β' ἀόριστος ἧν καὶ ὀφείλει τὸ ἀπαρέμφατον εἶναι διὰ τὴν παραλήγουσαν τοῦ α τῶν πληθυντικῶν τοῦ ὁριστικοῦ· ἢ ἧναι διὰ τοῦ ἐκεῖθεν κανονίζεται, τουτέστι τοῦ τρίτου προσώπου τοῦ η· τῶν οὖν δύο κανόνων μαχομένων· τοῦ μὲν ἑνὸς ἀπαιτοῦντος τὸ[y] ε· τοῦ δὲ ἑτέρου τὸ[z] η· ἐγένετο φυλάττων τὸν μακρὸν χρόνον τοῦ η· τὴν δὲ παραλήγουσαν τοῦ ἑμέν· τοῦτο δὲ δασύνεται καὶ ἐν συνθέσει, ἀφεῖναι καὶ καθεῖναι.

ἙΛΙΚΏΠΙΔΑ: (Il. Α. 98.) Τὴν ἀξιοθέατον[a] καὶ εὐμορφοτάτην, πρὸς ἣν ἅπας ἑλίσσει[b] τοὺς ὦπας, διὰ τὸ κάλλιστον εἶδος· ἢ μελανόφθαλμον· ἑλικὸν δὲ τὸ μέλαν κατὰ διάλεκτον.

[y] Cod. τοῦ ε. [z] Cod. τοῦ η. [a] Cod. ἀξιωθέατον. [b] Aliter Etym. M. p. 297, 28. cum nostro facit Etym. Gud. p. 164, 30.

ˈΕἴκτην: (Il. A. 104.) Μέσου ὑπερσυντελικοῦ· τρίτου προσώπου τῶν δυϊκῶν, κατὰ διάλυσιν τῆς ει διφθόγγου· τὸ θέμα εἴκω, τὸ ὁμοιῶ· ἐξ οὗ καὶ εἰκών· ὁ μέσος ὑπερσυντελικὸς εἴκειν· τὸ τρίτον τῶν δυϊκῶν εἰκείτην, καὶ ἐν συγκοπῇ τῆς ει διφθόγγου εἴκτην, κατὰ διάλυσιν ἐΐκτην.

Εἴκελος: (Il. N. 330.) ˈΩς παρὰ τὸ σθένω, Σθένελος, καὶ ἀπὸ τοῦ πέμπω, πέμπελος· οὕτως καὶ ἀπὸ τοῦ εἴκω, εἴκελος· τὸ ἁπλοῦν διφορεῖται, τὸ δὲ σύνθετον ἀεὶ διὰ διφθόγγου.

ˈΕτοιμάσατε: (Il. A. 118.) Παρασκευάσατε· παρὰ τὸ οἶμος, ὃ σημαίνει τὴν ὁδὸν, καὶ τὴν ἐπὶ πρόθεσιν ἔποιμος, ὁ ἐπὶ τὴν ὁδὸν ὢν παρασκευασμένος, τροπῇ τοῦ π εἰς τ.

ˈΈμμορε: (Il. A. 278.) Παρὰ τὸ μορῶ, τὸ ἐπιτυγχάνω, μορήσω· ὁ β′ ἀόριστος ἔμορον, πλεονασμῷ τοῦ μ ἔμμορον· τὸ δεύτερον ἔμμορες, καὶ τὸ τρίτον τῶν πληθυντικῶν ἔμμορον, οὐκ ἐμμόρασιν.

ˈΕκπαγλότατ᾽: (Il. A. 146.) ˈΕκ τοῦ πλήσσω, ὁ μέλλων πλήξω, ὁ β′ ἀόριστος ἔπλαγον, καὶ ἐν ὑπερθέσει ἔπαγλον[c] μετὰ τῆς ἐξ ἐξέπλαγον· συγκοπῇ ἔκπλαγον, καὶ ὄνομα ἐξ αὐτοῦ ἔκπαγλος[d]· καὶ τὸ ὑπερθετικὸν ἐκπαγλότατος.

ˈΕπιειμένε: (Il. A. 149.) Μετοχὴ πτώσεως κλητικῆς· τὸ θέμα ἕω, ῥηματικὸν ὄνομα ἑτὴς, πλεονασμῷ τοῦ σ ἑστὴς, καὶ τροπῇ τοῦ τ εἰς θ, ἐσθής· τοῦ ἕω ὁ μέλλων, ἕσω, ὁ παρακείμενος εἶκα, ὁ παθητικὸς εἶμαι, ἡ μετοχὴ εἰμένος, καὶ ἐπιειμένος.

ˈΕπέσσυται: (Il. Z. 361.) Παθητικὸν παρακείμενον τῶν εἰς μι· ἔστι τὸ ῥῆμα σῶ τὸ ὁρμῶ· ἐκ τούτου παράγωγον σύω, ἐξ αὐτοῦ σῦμι, ὁ μέλλων σύσω, ὁ παρακείμενος σέσυκα, τὸ παθητικὸν σέσυμαι, τὸ τρίτον σέσυται, καὶ ἐν ὑπερθέσει τοῦ ε ἔσσυται· πάλιν ἐκ τοῦ σῶ γίνεται παράγωγον σεύω, ὁ ἐνεστὼς παθητικὸς κατὰ τὸ τρίτον πρόσωπον τῶν παθητικῶν, σεύονται.

ˈΕμεῖο: (Il. A. 174.) Ἀττικῶς ἐμέο· ˈΙωνικῶς ἐμεῖο· καὶ ἐμεῦ Δωρικῶς· ἔστι δὲ ἀντωνυμία σημαίνουσα τὸ ἐμοῦ· διὰ τῆς ει διφθόγγου· ἔστι γὰρ ἐμοῦ· σοῦ· οὗ· αὗται κατὰ διά-

[c] Cod. ἔπαλον. [d] Cod. ἔκπλαγος.

λυσιν γίνεται, ἐμέο· σέο· ἕο· καὶ ἐπειδὴ αἱ διαλελυμέναι γενι- καὶ οὐδέποτε τὰ β′ φωνήεντα ἔχουσι μακρὰ ἢ βραχέα, ἀλλὰ τὸ μὲν ἓν μακρὸν, τὸ δὲ ἕτερον βραχύ· οἷον Ἀτρείδεω· Πηλεί- δεω· Ὠκεανοῖο· ποταμοῖο· ἐπιπλεονάζει τὸ ι· ἐμεῖο· σεῖο· εἷο.

Εἰδῆις: (Il. Α. 185.) Ὑποτακτικὸν μέσου παρακειμένου· εἴδω τὸ γινώσκω· ὁ μέλλων εἴσω· ὁ παρακείμενος οἶδα· ἡ με- τοχὴ εἰδὼς, εἰδότος, καὶ τὸ εὐκτικὸν εἴδοιμι, καὶ τροπῇ τῆς μι εἰς ην, εἰδοίην καὶ εἰδοίης· καὶ τὰ ἔχοντα τὸ εὐκτικὸν εἰς ην περισπῶσι τὸ ὑποτακτικὸν, καὶ γίνεται εἰδῶ εἰδῇς.

Ἐναρίζοι: (Il. Α. 191.) Φονεύοι· παρὰ τὸ ἐναρίζω· καὶ τὸ εὐκτικὸν ἐναρίζοιμι· τὸ ἐναρίζω παρὰ τὸ ἐναίρω, τὸ φονεύω· τοῦτο παρὰ τὸ εὔω, τὸ φονεύω, ὅθεν καὶ Ἐνυὼ ἡ πολεμικὴ θεὸς, καὶ Ἐνυάλιος.

Ἐναρίζει: Σημαίνει τρία ἡ λέξις· τὸ σκυλεύω, καὶ τὸ φονεύω, καὶ τὸ ὑπολαμβάνω· ἔναρα δὲ ἐκ τοῦ αἴρω, τὸ λαμ- βάνω· τὰ βασταζόμενα· ἢ παρὰ τὸ ἀρῶ, τὸ ἁρμόζω· οἱονεὶ ἃ ἥρμοσται τοῖς σώμασιν, ὡς ἐπὶ θώρακος καὶ περικεφαλαίας.

Εἰρύσασθαι: (Il. Α. 216.) Μέσου ἀορίστου πρώτου· πα- θητικὴ ἀπαρέμφατος· τὸ θέμα ἐρύω, ἐρύσατο, καὶ Ἰωνικῷ πλε- ονασμῷ εἰρύσατο· δεῖ δὲ γινώσκειν ὅτι ὥσπερ γέγονε τὸ ἀρτύω, ἐκ τοῦ ἀρτῶ, καὶ πλεονασμῷ τοῦ υ· καὶ ἀπὸ τοῦ μνῶ, μνύω, καὶ πλεονασμῷ τοῦ η, μηνύω, οὕτω καὶ τὸ ἐρύω παρὰ τὸ ῥῶ, ὃ σημαίνει τὸ ἰσχύω, ἐπενθέσει τοῦ υ ῥύω, καὶ πλεονασμῷ τοῦ ε ἐρύω, οἷον, δυνάμει ἑλκύω· ἢ παρὰ τὸ ἐρῶ, τὸ λέγω· ἐρύω ἐρύσω, ἐρύσατο, καὶ πλεονασμῷ τοῦ ι εἰρύσατο.

Ἔλεψε: (Il. Α. 236.) Παρὰ τὸ λέπω, ἐξ οὗ καὶ λέπος, καὶ λεπτὸς, καὶ λέπυρον, τὸ τῶν καρύων ἔλυτρον[e]· ἢ παρὰ τὸ λεπῶ πρώτη τῶν περισπωμένων, ἐλέπησα· καὶ τὸ γ′ ἐλέπησε, κατὰ συγκοπὴν τοῦ η, καὶ κράσει τοῦ πο εἰς ψ, ἔλεψε.

Ἐοικώς: (Il. Α. 47.) Γίνεται ἐκ τοῦ εἴκω· οὗ ὁ μέσος πα- ρακείμενος, εἶκα καὶ ἔεικα, καὶ ἔοικα· ὁ μέσος ὑπερσυντελικὸς, ἐώκειν· καὶ ὤφειλεν εἶναι ἠοίκειν· κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι οὐδέποτε λέξις Ἑλληνικὴ εὑρίσκεται ἀπὸ τοῦ η ἀρχομένη[f],

[e] Cod. ἔλοτρον sed recte Etym. M. p. 328, 30. [f] Cod. ἀρχομένου.

ἐπιφερομένου τοῦ ο, χωρὶς εἰ μὴ ἐν διφθόγγῳ εἴη, ἢ κατὰ διάλεκτον· πρόσκειται εἰ μὴ ἐν διφθόγγῳ διὰ τὸ ἠοῦς καὶ ἠοῖο

πρωῒ δ' ὑπ' ἠοῖο[g]. (Il. Θ. 530.)

πρόσκειται κατὰ διάλεκτον, διὰ ἠῶ, διαλύουσι γὰρ αὐτὸ οἱ Ἴωνες, καὶ λέγουσιν ἠόα· κατὰ τοῦτον τὸν κανόνα ἐγένετο ὑπερβιβασμὸς τοῦ χρόνου, καὶ τὸ μὲν ε ἐφυλάχθη διὰ τοῦ ο· τὸ δὲ ο ἠμείφθη εἰς ω μέγα, καὶ γέγονε ἐώκειν· ὅμοιον ἐστὶ τὸ ἑώρταζον, καὶ ἐώργειν, καὶ ἐώλπειν[h].

Ἐνθάδε: (Il. A. 367.) Γίνεται ἐκ τοῦ ἔνθα τοπικοῦ ἐπιῤῥήματος, ἐπεκτάσει τῆς δε· καὶ ὤφειλεν εἶναι ἔνθαδε· ἀλλὰ κανὼν ἐστὶν ὁ λέγων, ὅτι κατὰ φωνὴν παραχθέντα εἰς δε, μὴ πλέον τοῦ πρωτοτύπου σημαίνοντα, πρὸ μιᾶς ἔχουσι τὸν τόνον· οἷον τῆμος τημόσδε· τοῖος τοιόσδε· ἔνθα ἐνθάδε· τηνίκα τηνικάδε· καὶ ἀποροῦσι τινὲς λέγοντες πόθεν γίνεται; καὶ λέγουσι ὅτι ἐκ τοῦ ἔνθεν· πόθεν δῆλον; ὅτι τὰ εἰς θα δισυλλαβὰ ἐπιῤῥήματα οὐκ ἐκ μεταθέσεως ὄντα τοῦ τε, ὀξύνεσθαι θέλουσιν· οἷον, διχθά· τριχθά· τετραχθά· εἰ οὖν τὸ ἔνθα οὐκ ἐκ μεταθέσεως ὑπῆρχε τοῦ ἔνθεν, ὤφειλεν ὀξύνεσθαι· οὐκ ἄρα τὸ ἔνθεν ἐκ τοῦ ἔνθα[i].

Ἐϋτείχεα: (Il. Π. 57.) Ὡς παρὰ τὸ εἶδος εὐειδής, οὕτω παρὰ τὸ τεῖχος εὐτειχής· ὀξύνεται· τὰ γὰρ παρ' οὐδετέρων εἰς ος ληγόντων συντεθέντα δισύλλαβα, μὴ τῷ η παραληγόμενα, πάντα ὀξύνεται ἐπιθετικά· εἶδος εὐειδής· βάθος ἀγχιβαθής· λέχος ἀγχιλεχής· Ἀντίμαχος·

τὸ ῥά οἱ ἀγχιλεχὲς κρέματο περὶ πάσσαλον αἰεί·

πυρσεχής· εὐρυσθενής· εὐγενής· ἐγκρατής· πρόσκειται μὴ τῷ η παραληγόμενα διὰ τὸ εὐμήκης· εὐήθης· πρόσκειται δισύλλαβα, διὰ τὸ εὐμεγέθης· εὐστελέχης· ἐπίστησον τοῖς παρὰ τὸ ἔτος·

ὄτριχας, οἰέτεας (Il. B. 765.)

γὰρ ἀνέγνωμεν, καὶ εἰναέτες γὰρ καταράπτομεν· ὄτριχα δὲ σημαίνει ὁμοιοτρίχους· οἰέτεας δὲ ὁμήλικας· καὶ ἄλλως· ὅσοις κυρίοις εἰς ης λήγουσι βαρυτόνοις συνθέτοις παράκειται ἐπιθε-

[g] Leg. ἠοῖοι. [h] Cf. Etym. M. p. 351, 7. [i] Cf. Etym. M. p. 331, 33.

τικά, ταῦτα ὀξύνεται· Διογένης διογενής· Πολυνείκης πολυνεικής· Εὐρυσθένης, εὐρυσθενής· οὐ μάχεται τὸ Εὐμένης οὐ γὰρ πάντως τὰ μὲν κύρια ἀεὶ βαρύνεται, τὰ δὲ ἐπιθετικὰ ὀξύνεται, ἀλλὰ εἴπου βαρύνεται τὸ κύριον, τὸ ἐπιθετικὸν ὀξύνεται· εἰ οὖν ἔστιν Εὐτείχης ὄνομα κύριον παρὰ Ἀλκμᾶνι,

Εὐτείχη τ' ἄνακτ' Ἀρήϊον

καὶ ὤφειλεν εἶναι τούτῳ τῷ λόγῳ Εὐτείχεα· πόθεν οὖν ἡ τετριμμένη βαρεῖα τάσις; τὰ εἰς ος οὐδέτερα συντιθέμενα ἀπὸ εὐθείας συντίθεται· ξίφος ἄξιφος· ῥίγος δύσριγος· ἔνια δὲ συντίθεται καὶ ἀπὸ γενικῆς, ὡς ἅρμα ἅρματος εὐάρματος· ἀλλὰ τοῦτο μὲν ἀπὸ ἑτέρας καταλήξεως· παρεθέμεθα δὲ αὐτὸ πρὸς τὸ δεῖξαι, ἐπὶ[k] καὶ ἀπὸ γενικῆς γίνονται συνθέσεις.

Ἐφύρη: (Il. B. 659.) Ὄνομα κύριον θηλυκὸν τὸ τέλος Ἰακόν, καὶ τὸ αἴτιον ὅτι τὸ ρ μακρὸν α αἰτεῖ· Ἥρα· πήρα· Ἐφύρα· καὶ καθόλου τὰ εἰς ρη Ἰακά ἐστι, χωρὶς τοῦ Ἐφύρη παρὰ τῷ Θουκυδίδῃ[l]· οὐ γάρ ἐστιν Ἐφύρα, καὶ κόρη παρὰ Ἀττικοῖς, καὶ Κύρη· ἔστι δὲ κρήνη ἐν Κυρήνῃ· καὶ τὸ ἀθάρη· τὰ δὲ εἰς ρα δισύλλαβα τῷ υ παραληγόμενα βαρύνονται· οἷον λύρα· θύρα· σεσημείωται τὸ πυρά.

Ἔσκε: (Il. Γ. 180.) Ῥῆμα ὁριστικὸν χρόνου παρατατικοῦ ἐκ τοῦ εἰμί· ὁ παρατατικὸς εἶν, καὶ Ἀττικῶς τροπῇ τοῦ ε εἰς η, καὶ ἀποβολῇ τοῦ ἰῶτα ἦν· ἀπέβαλε δὲ τὸ ἰῶτα ὡς μονοσύλλαβον, καὶ μὴ ἔχον τι μιμήσασθαι· πενταχῶς τὸ ῥῆμα τοῦτο παρὰ τῷ ποιητῇ·

ἦν δέ τις ἐν Τρώεσσι· (Il. E. 9.)
ἵνα σφ * * * * θέμις τ' εἴην·
ἐπεὶ οὐ κομιδὴ κατὰ νῆας ἦεν· (Od. O. 232.)
τὼς μὲν ἔην μαλακός. (Od. T. 234.)

καὶ ἐν Ἰακῇ παραγωγῇ ἔσκεν· τὸ γὰρ ἐπὶ τοῦ πρώτου προσώπου χαίρεσκον· ῥίπτασκον, ποιητικά, οὐκ Ἰακά· καὶ ὁ μὲν ποιητὴς τὴν ἄρχουσαν συστέλλει ἐν τῷ ἔσκεν, ὁ δὲ Ἀλκμὰν φυλάττει·

ἦσκέ τις σκαφεὺς ἀνάσσων,

[k] Leg. vid. ὅτι. [l] Lib. i. 46.

τινὲς δύο μὲν φασὶ, ἧς ἀντὶ τοῦ ἦν Δωρικῶς, καὶ κε σύνδεσμος· οἱ Δωριεῖς ἢ μετὰ τοῦ νυ λέγουσιν, ἢ τροπῇ τοῦ ε εἰς κα.

Ἐόν:

ὥς ποτ' ἐόν. (Il. Ψ. 643.)

ἔω ἔσω, ὁ παρατατικὸς ἦον, καὶ συναρχομένως ἐόν.

Ἐρίγδουπος: (Il. Η. 411.) Ὄνομα ἐπιθετικὸν σύνθετον· πλεονάζει τὸ γ, ὡς ἐν τῷ ἄγνοια· ἀνάγκη· καὶ σύριγξ καὶ σάλπιγξ.

Ἐπίσκοπος·

καὶ ἐπίσκοπος ἦσιν ὁδαίων. (Od. Θ. 163.)

ὄνομα ἐπιθετικόν· τινὲς ἀνέστρεψαν τὴν ἐπὶ, ἀλλὰ κατὰ παραβολὴν ἐστὶ ἡ ἐπὶ, ὡς τὸ

βοῶν ἐπιβουκόλος ἀνήρ· (Od. Γ. 422.)

ἄμεινον δὲ ἡγεῖσθαι αὐτὸ σύνθετον· παρὰ τὸ σκοπῶ γίνεται σκόπελος, καὶ σκέπω ῥῆμα πρῶτον, εἶτα σκέπτω· ἀπὸ τοῦ σκέπω, σκόπος· ἀφ' οὗ τὸ σκοπῶ, σκοπιᾶσθαι· καὶ σκοπιαζέμεν (Il. Κ. 40.) ἀπὸ τοῦ σκοπιάζω.

Ἐξ: Πρόθεσις ἐφαρμόζουσα γενικῆς· οὐδέποτε δὲ τὸ ξ ἐν παραθέσει τρέπεται, ἀλλ' ἐν συνθέσει· παρὰ Βοιωτοῖς λέγεται ἐς, συμφώνου ἐπιφερομένου· ἐὰν δὲ καθαρεύῃ εἰς δύο σσ· Ἔσσαρχος ποταμός· τὸ δὲ παρὲξ, ἐὰν δύο μέρη λόγου, ὀξύνεται[m].

παρὲξ μέγα τειχίον αὐλῆς. (Od. Π. 165.)

εἰ δὲ ἓν, βαρύνεται·

πάρεξ τοῦ ἐθνικοῦ ἔθνους[n]·

καὶ συντάσσεται γενικῇ· παρ' αὐτὴν δὲ τὸ ἐκτὸς, καὶ ἐξὸ ῥῆμα παρὰ Δωριεῦσιν, ἀντὶ τοῦ ἔξεστιν.

Ἐριννύς: (Il. Ι. 567.) Παρὰ τὸ τὴν ἀρὰν ἀνύειν, τουτέστιν ἁλίσκειν· τὸ δὲ α εἰς ε καὶ εἰς ι μετατίθεται· κρατρὺς, κρίσσων, καὶ κιθάρα, ὀνόματι παρὰ τὸ καθαρός· ἦν γὰρ καθάρα κιθάρα λεγομένη, οὕτως καὶ ἐν τῷ ἐριννύς· ὀξύνεται· τὰ εἰς υς λήγοντα ἐκτεταμένα θηλυκὰ, ὀξύνεται· κλιτύς· ἀλεωτύς· ῥυσ-

[m] Cod. ὀξύνονται (ε supra). [n] Leg. Σκυθικοῦ ἔθνεος Herod. IV. 46.

τακτύς· πλὴν τοῦ ὀσφὺς καὶ ὀφρύς· τὸ ἄγνυθες σημειῶδες κατὰ κλίσιν.

Ἔρχετ: (Il. Z. 280.) Ῥῆμα παθητικὸν τῇ φωνῇ πρωτότυπον· τὸ κοινὸν ἔρχου, Ἰωνικῶς ἐρχέο, καὶ συναλιφῇ ἔρχευ[o], ὡς ὄρσευ· πίθευ· βαρύνεται· τὰ τῇ ερ συλλαβῇ παραληγόμενα βαρύνεται· τέρπω· θέρμω, ἐξ οὗ καὶ

θέρμετο δ' ὕδωρ. (Il. Σ. 348.)

εἰ μὴ προκατάρχῃ ὄνομα, ὡς τὸ κερδῶ, ἐκ τοῦ κέρδος· ὡς ἄλγος ἀλγῶ· κράτος κρατῶ.

Ἐπεί: (Il. A. 57.) Σύνδεσμος αἰτιολογικός· ἔστι δὲ καὶ παραπληρωματικός· σεσημείωται ὅτι μόνος σύνδεσμος μετὰ τῆς ἐπὶ συντέθειται· ἔστι δὲ καὶ ἐπίρρημα·

ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσε. (Od. A. 3.)

διὸ καὶ διπλῇ Ἀρίσταρχος ἐτίθει· πρὸς τὸ

ἐπεὶ λίπε δῶμα Καλυψοῦς[p]. (Od. Θ. 452.)

ἔστι δὲ ἐπίρρημα καὶ σύνδεσμος κατὰ φωνὴν συνεμπίπτοντα· ὄφρα, καὶ ὅμως, τότε, ἵνα, καὶ ἕως, καὶ ἀμφοτέρων σημαντικόν· τὸ ὅμως παρήλλαξε μόνον.

Ἔπεφνε: (Il. E. 69.) Β' ἀόριστος· οὐ ζητητέον τὸ θέμα· ὡς οὐδὲ τὸ ἔφαγον· ἔδραμον· φῶ, φένω, ἔφενον, καὶ ἐπέφενον διπλῷ, καὶ ἔπεφνον.

Ἐπιμίξ: (Il. Λ. 525.) Σύνθετον, παρὰ τὸ μίσγω, ἐπιμίξω ἐπιμίξ· τὰ εἰς ξ λήγοντα ἐπιρρήματα πάντα ὀξύνεται πλὴν τοῦ πέριξ· ὅμοιόν ἐστι καὶ τὸ ἅπαξ, καὶ τὸ πάρεξ· τοῦτο δὲ παρὰ τῷ ποιητῇ ὀξυτόνως, καὶ ἰσοδυναμεῖ, ἢ πλησιότητι, ἢ τῇ ἔξω φορᾷ· τὸ δὲ πάρεξ χωρισμὸν δηλοῖ· ὥστε ὅταν ἔχει προθέσεως ἔννοιαν, ὀξύνεται· ἥτις ἐστὶν ἀντὶ τῆς παρὰ, καὶ δηλοῖ πλησιότητα, ἢ ἀντὶ τῆς ἐξ, καὶ δηλοῖ τὴν ἔξω φοράν· εἰ δὲ ἐπίρρημα, βαρύνεται· ὁμοίως καὶ τὰ εἰς δον ἐπιρρήματα ὀξύνεται, πλὴν τοῦ ἔνδον.

Εὗρεν: (Il. A. 498.) Εὑρῶ σημειῶδες κατὰ τόνον. τὰ γὰρ τῇ ευ διφθόγγῳ παραληγόμενα βαρύνεται· κεύθω· φεύγω· εἰ δὲ

[o] Cod. ἄρχευ. [p] Cod. καλύψει.

ὄνομα προϋπάρχῃ περισπᾶται· ἐρευνῶ· τὸ εὑρῶ ὄνομα οὐκ ἔχει· ἐκ τούτου εὑρίσκω καὶ εὑρισκάνω.

Ἔασιν: (Il. B. 131.) Εἰμὶ, εἰσὶν, ἔασιν· τὸ Ἰωνικὸν ἐπὶ τοῦ δευτέρου οὐκ ἔστι.

Ἐγώ: (Il. A. 26.) Οἱ Αἰολεῖς ἔγω· Ἀττικοὶ ἔγωγε· Δωρικῶς ἐγώνη, καὶ ἐγών.

Ἔτι: (Il. A. 96.) Ἐπίῤῥημα ἐπιτάσεως δηλωτικὸν, ἢ παρατάσεως· εἰ γὰρ εἴπομεν,

τρέχοντός τι καὶ ἔτι δραμεῖν

ἐπίτασις· ἡ δὲ

νυκτὸς οὔσης ἔτι νὺξ,

παράτασις· τὰ δὲ εἰς ι συνεσταλμένα βαρύνεται· νόσφι· ἶφι· διὸ καὶ τὸ πρῶϊ.

Ἐτώσιος: (Il. Γ. 368.) Ὄνομα παρώνυμον· ὁ διὰ τοῦ ωσιος τύπος Ῥηγίνων ἐστὶν, ὁ δὲ διὰ τοῦ ωνιος Αἰολέων· οἷον ἀνεμώνιος· Φιλόξενος, ἀήτων ἀητώσιος.

Εἴσατο

εἴσατο δ' ἔκτοσθεν ῥινὸς πολιοῖο. (Il. K. 334.)

παρὰ τὸ ἕω, ἐξ οὗ καὶ ἑανὸς, ὡς πείθω πιθανός· ἄγω ἀγανός[q]· ἐξ αὐτοῦ καὶ τὸ εἷμα καὶ ἐσθὴς, καὶ παράγωγον ἑννύω

αὐτὴ δ' ἀργύφεον φάρος μέγα ἕννυτο νύμφη. (Od. E. 230.)

καὶ διατὶ ἀπὸ παραγώγου τοῦ ῥήματος; τὸ γὰρ ε καταλῆγον εἰς ν, συμφώνου ἐπιφερομένου, ψιλοῦται· ἐννέα καὶ ἔνδον· ἀντιπίπτει δὲ ἡ ἐντὸς γενικὴ ἀφεὶς ἀφέντος· ἀλλ' ἔχει τὸ πνεῦμα τῆς εὐθείας πλεονασμῷ τοῦ ἰῶτα· εἵσατο, καὶ τοῦ σ· ἕσσατο.

Ἐπεί: (Il. A. 57.) Σύνδεσμος παρασυναπτικός· ἐν γὰρ τῷ παρασυνάπτειν ὑπισχνεῖται τι καὶ αἴτιον· ὁ μὲν γὰρ εἰ συναπτικὸς, καὶ ἐν δισταγμῷ ἐστίν· "εἰ παρεγένου ἔγραψας·" ὁ δὲ ἐπεὶ βεβαιωτικός· "ἐπεὶ παρεγένου ἔγραψας·" σύνθετον δὲ ἐστὶ μονῆρες· οὐδεμία γὰρ ἀντωνυμία μετὰ μέρους λόγου συντίθεται, πλὴν τοῦ ἔπειτα, καὶ ἐπέκεινα· καὶ οὐδὲν ἐπίῤῥημα μετὰ προθέσεως, πλὴν τοῦ κάτω.

[q] Cod. ἀγαρός.

Ἔδυν: (Il. Λ. 263.) Δύω καὶ δύνω· ἀπὸ τοῦ δύω, δῦμι, ὁ δεύτερος ἀόριστος ἔδυν· ἀπὸ γὰρ τῶν εἰς μι μακροκαταλήκτων εἰσί· τὸ δὲ δύσω καὶ εἰς ἐνεστῶτα ἐνεπέμφθη· ἐξ οὗ τὸ

δύσετο δ' ἠέλιος. (Od. Λ. 12.)

Εἴσω·

ἔβη δόμον Ἄϊδος εἴσω. (Od. Λ. 626.)

ἐπίῤῥημα δηλωτικὸν τῆς εἰς τόπον σχέσεως· τὰ γὰρ παρὰ πρόθεσιν εἰς ω λήγοντα ἐπιῤῥήματα τὰς δύο σχέσεις ὑπομένει· "κάτω ἄπιθι· ἄνω πορεύομαι· ἄνω σε μένω· ἔξω ἀπέρχομαι·" οὐ κυρίως δὲ ἐνθάδε κεῖται· τὰ γὰρ ἐπιῤῥήματα φιλεῖ ῥήμασι συντάσσεσθαι· δύναται οὖν κεῖσθαι ἀντὶ, ὡς τὸ

Ἴλιον εἴσω. (Il. Α. 71.)

τὰ δὲ εἰς ω ἐπιῤῥήματα φιλεῖ βαρύνεσθαι· σεσημείωται δύο, ἐπισχερῶ καὶ ἰὼ, ὀξύτονα ποιητικά· εἰ δέ που περισπαθήσεται τὰ εἰς ω, Δώρια ἐστί· μόνον οὖν παραφυλακτέον τὸ ἁρμῶ ὅπερ ἐστὶ καὶ ἁρμοῖ, οὐ Δώριον[r]· ταῦτα δὲ τὴν μὲν τῶν ῥημάτων σύνθεσιν παραιτεῖται, ὀνόμασι δὲ συντίθεται, ἀνωφερής.

Ἐξ: Πρόθεσις, ταύτην ἔχει διαφοράν· ἢ γὰρ γένεσιν, ἢ τόπον, ἢ αἰτίαν σημαίνει· γένεσιν μὲν "ἐξ Ἀπολλωνίου·" τόπον δὲ "ἐξ οἴκου·" αἴτιον δὲ "ἐξ οὗ μοι ταῦτα ἐγένετο·" σημειοῦται ἰδικῶς ὅτι μόνη[s] ἐκ προθέσεων εἰς[t] διπλοῦν ἔληξεν.

Ἐόντε: (Il. Ε. 609.) Χρόνου ἐνεστῶτος· καὶ ἀλόγως ὀξύνεται, ὡς κιὼν καὶ ἑκών· τῆς δὲ ἐὼν μετοχὴ τὸ ὁριστικὸν κατὰ τὸν ἐνεστῶτα χρόνον οὐκ ἔστι σύνηθες Ἕλλησιν· ὁ δὲ παρατατικὸς ἦον καὶ ποιητικῶς ἐόν· ὡς δὲ λαβὼν, ἐὰν λάβω· καὶ φαγὼν, ἐὰν φάγω· οὕτως, ἐὼν, ἐὰν ἔω,

Ἀργείων ἀγέραστος ἔω· (Il. Α. 119.)

ἔῃς, ἔῃ· ὁ μὲν ποιητὴς οὐδέποτε ἐπὶ τῆς μετοχῆς τὸ ε παραλείπει.

[r] Cf. Etym. M. p. 144, 47. [s] Cod μήνη. [t] Cod. εἰ.

Ἔπληντο[u].

ἔπληντ' ἀλλήλοισιν. (Il. Δ. 449.)

ἔστι πλῶ συζυγίας δευτέρας· σημαίνει δὲ τὸ πλησιάζω νῦν. ἐξ οὗ τὸ πέπλημι, καὶ Ὅμηρος,

ἀλλὰ μάλα Σκύλλης σκοπέλῳ πεπλημένος εἶναι, (Od. M. 108.)

καὶ εἴρηται ἔμπροσθεν[x].

Ἐϋρυφυές: (Od. Δ. 604.) Ὄνομα ἐπιθετικὸν οὐδέτερον σύνθετον πτώσεως εὐθείας παρὰ τὸ εὐρυφυής· ὁ μετασχηματισμός· τὰ δὲ εἰς νος ὀξύτονα συντιθέμενα ἐκβάλλει τὸ σ· ὠκὺς ὠκύμορος· ταχύποτμος· βαρυήκοος· εὐρυάγυια· σημειῶδες τὸ

Πολύμνιά τ' Οὐρανίη τε· (Hesiod. Theog. 78.)

τὸ γὰρ ἀκόλουθον Πολυήμνια[y]· πρόσκειται ὀξύτονα διὰ τὸ ἥμισυς, τοῦτο γὰρ συντιθέμενον ὅλην ἐκβάλλει τὴν ἐσχάτην συλλαβήν· ἡμικύκλιος· ἡμίθεος· κατ' ἀρχὴν μὲν σύγκειται τὸ εὐρὺ, κατὰ δὲ τὸ τέλος τὸ φύω ῥῆμα· ὃ καὶ γέγονε φῦμι, ὡς ἐκ τοῦ δευτέρου ἀορίστου δῆλον τοῦ ἔφυν, μετοχῆς τε τῆς φύς·

εἰ γὰρ τεκνώσεις παῖδ' ἀποκτενεῖ σ' ὁ φύς.

τῷ προσφὺς ἐχοίμην ὡς νυκτερίς.

ἀφ' οὗ οὐδετέρον τὸ φύτον·

τὸν μὲν ἐγὼ θρέψασα φύτον ὥς. (Il. Σ. 57.)

ἀφ' οὗ ἡ φύσις·

καί μοι φύσις αὐτὸ ἔδειξεν.

ἀφ' οὗ τὸ

φῦμα μηρίων μεταξύ.

Ἀρχίλοχος· παρ' οὗ τὸ εὐφυὴς κοινὸν ἀρσενικοῦ καὶ θηλυκοῦ· ἀρσενικοῦ μὲν,

τοῖοί τε Μενέλαε μιάνθην αἵματι μηροὶ
εὐφυέες. (Il. Δ. 146.)

θηλυκοῦ δὲ,

εὐφυέα μεγάλην. (Il. Φ. 243.)

τὸ δὲ εὐρυφυὲς ἐστὶ καὶ οὐδέτερον καὶ κλητικὸν ἀρσενικοῦ,

u Cod. ἔπλητο. x Vid. supra, p. 148. y Leg. Πολυύμνια.

ὥστε ἡ γενικὴ ἦν εὐρυφυέος· ἡ δὲ εὐρυφυοῦς κατὰ πάθος· τὰ γὰρ ἰσοσύλλαβα κατὰ γενικὴν ἐν αἰτιατικῇ ἔχει τὴν συνέμπτωσιν τοῦ οὐδετέρου· οἷον καλὸς καλοῦ· τὸν καλὸν, τὸ καλόν· φίλος φίλου· φίλον, τὸ φίλον· τὰ δὲ περιττοσυλλαβοῦντα κατὰ τὴν γενικὴν, ἐν κλητικῇ συνέμπτωσιν ἔχει· ταχὺς ταχέος, ὦ ταχὺς, τὸ ταχύ· μέλας μέλανος, ὦ μέλαν, τὸ μέλαν· ἐπεὶ οὖν κατὰ τὴν κλητικὴν ἡ συνέμπτωσις εὐρυφυὴς, ἡ γενικὴ εὐρυφυέος ἄρα καὶ εὐρυφυοῦς κατὰ πάθος.

Ἔπεφνε: (Il. E. 69.) Ῥῆμα ὁριστικὸν χρόνου ἀορίστου β'· οὐ γάρ ἐστιν, ὡς τινὲς, παρατατικοῦ· οὐδὲ γάρ ἐστιν ὁριστικὸν τὸ πέφνω, πέφνεις, πέφνει, ἀλλ' ὑποτακτικὸν πέφνω, πέφνῃς, πέφνῃ· ὡς ἔμαθον, ἐὰν μάθω· ἔφαγον, ἐὰν φάγω· ἔπεφνον, ἐὰν πέφνω· καὶ πῶς οὐκ ὠξύνθη τούτου ἡ μετοχὴ πέφνων, ὡς φαγών· μαθών· ἀλλὰ πέφνων; αἱ γὰρ εἰς μνων λήγουσαι μετοχαὶ μετ' ἐπιπλοκῆς συμφώνου, ἢ βαρύνονται, ἢ περισπῶνται· οὐδέποτε δὲ ὀξύνεται· οἷον τέμνων· κάμνων· ὑμνῶν· μεριμνῶν· τούτῳ κανόνι βαρύνεται τὸ πέφνων· γέγονε δὲ παρὰ τὸ φῶ τὸ φονεύω· ἀφ' οὗ τὸ φημὶ, τὸ ἐπὶ τοῦ ἀναιρῶ, οὗ ὁ παθητικὸς παρακείμενος πέφαμαι, τὸ τρίτον πέφαται,

ἢ πέφατ' ἢ καὶ ἔπειτα πεφήσεται. (Il. O. 140.)

καὶ ὡς ἀπὸ τοῦ βίβημι βάτος, καὶ

ἄβατός ἐστι πόλις. (Il. Z. 434.)

καὶ ἵστημι στατὸς,

ὡς δ' ὅτε τις στατὸς ἵππος. (Il. Z. 506.)

οὕτω φημὶ φατὸς, καὶ ἐν συνθέσει ἀρηΐφατος,

ἄνδρες ἀρηΐφατοι. (Od. Λ. 41.)

παρὰ τὸ φῶ, τὸ φένω, συγκοπῇ φνῶ, διπλασιασμῷ πέφνω, ὁμοίως τὸ κέκλω[z].

Ἐπιθήματα: (Il. Ω. 228.) Ὄνομα προσηγορικὸν πτώσεως αἰτιατικῆς· οὐκ ἔστι δὲ ἔκτασις τοῦ ε· πάντες γὰρ πεζολόγοι ἐπιθήματα καὶ ἀναθήματα λέγουσι· τὸ δὲ

τιθήμενον ἔντεα

ἔκτασις· οὐ γὰρ πεζολόγοι λέγουσι τιθήμενον· καὶ πῶς τῆς

[z] Eadem sed decurtata habet Etym. M. p. 355, 53.

παραληγούσης συλλαβῆς τοῦ παρακειμένου παραληγούσης τοῦ οὐδετέρου γινομένης· οἷον ἔξυσμαι ξῦσμα· πέπυσμαι πῦσμα· νενόημαι νόημα· κέκραμαι κρᾶμα· πέπομαι πόμα· δέδομαι δόμα· τὸ ἐπίθημα ἀπὸ τοῦ τέθεμαι, μὴ ἐπίθεμα ἦν· ὅτι οὐκ ἀπὸ τῶν εἰς μι; ἀλλ' ἀπὸ τοῦ τιθῶ γίνεται, καὶ γὰρ ἀπὸ τοῦ δίδημι δέμα, ἀπὸ δὲ τοῦ διδῶ δῆμα, καὶ ὑπόδημα, ὥσπερ ἀπὸ τοῦ βιβῶ βῆμα· ἀπὸ δὲ τοῦ βίβημι, ἐπεὶ ὁ παρακείμενος βέβαμαι, τὸ οὐδέτερον βάμα, ὃ ἐν ἐκτάσει βῆμα, ὃ οἱ Στωϊκοὶ σύμβαμα.

Ἐξελάσαιμι: (Od. Σ. 29.) Τετάρτης συζυγίας τῶν βαρυτόνων· ἀπὸ τούτου περισπωμένως ἐλῶ, δευτέρας συζυγίας, ἥτις ἐὰν ἔχῃ τὸ λ, καὶ διὰ τοῦ α συνεσταλμένου ἐπὶ τοῦ μ, καὶ διὰ τοῦ η· κλῶ κλάσω· κολλῶ κολλήσω· χλῶ χλήσω, ὅπερ καὶ χολέσω· τοῦτο δὲ τὸ ῥῆμα καὶ τρίτης ἐστὶν

ὥς ἐμε νῦν ἐχόλωσε. (Il. Σ. 111.)

διὰ τοῦ α ἐλῶ ἐλάσω, καὶ παράγωγον εἶναι ἐλάζω, ὡς γελῶ γελάσω· ὁ ἀόριστος ἤλασα, ἐξ οὗ τὸ ἐλάσαιμι· ἐκ τοῦ ἐλῶ, ἄλλο παράγωγον ἐλάυνω, ὅπερ ἄχρι τοῦ παρατατικοῦ κλίνεται, καὶ εἰς μι ἔλημι, ὁ παθητικὸς ἔλαμαι, ἔλαται· ἔνθεν ῥηματικὸν ὄνομα ἔλατος, καὶ ἱππήλατος· ἐκ τούτου καὶ ἐλατήρ· ὅτι δὲ τὸ ἐλάζω θέμα ἐστὶ δῆλον, καὶ τὸ ῥάζω, ἐκ τοῦ ῥῶ, τὸ ῥέω· ἐξ οὗ τὸ ἐῤῥάδαται καὶ

ῥάσσατέ τ' ἐνὶ θρόνοισι. (Od. Υ. 150.)

καὶ

περιῤῥηδὴς δὲ τραπέζῃ. (Od. Χ. 84.)

καὶ τὸ παρὰ τῷ ποιητῇ

ἐν δὲ θρόνοι[a] περὶ τοῖχον ἐρηρέδατ' ἔνθα καὶ ἔνθα. (Od. Η. 96.)

ὡς ἀπὸ τοῦ φράζω πεφράδαται.

Ἔκβαλε: (Il. Ε. 39.) Χρόνου ἀορίστου β' ποικίλαι φωναὶ τοῦ θέματος ἐκ τῶν κινημάτων συνιστάμεναι· τὸ βάλλω κοινὸν, τὸ βαλλίζω παρὰ Σώφρονι, τὸ βλῶ καὶ βλῆμι ἐκ τῶν κλίσεων·

ἔβλητ' ἐν πρώτοισι. (Il. Λ. 675.)

[a] Cod. θρόνοις.

βλῆτο γὰρ οὔτι κάκιστος. (Il. Δ. 518.)

βλήμενος ἠὲ τυπείς. (Il. Ο. 495.)

βλῆσθαι ἢ παρὰ βουσὶν ἢ ἀργεννῆς[b] ὀΐεσσιν.

εἴπερ γάρ κε βλῇς πονεύμενος. (Il. Ν. 288.)

τὸ βάλλω βαρύτονον· πάλλω· θάλλω· σφάλλω· βάλλω.

῎Εγχος: (Il. Γ. 360.) ῎Ονομα ῥηματικὸν παρὰ τὸ ἔχω ἔχος, καὶ ἔγχος, πλεονασμῷ τοῦ γ· ἠρέμα οὖν παρετυμολογεῖ ῞Ομηρος παρατιθεὶς τὸ ῥῆμα·

ἔγχος ἔχ' ἑνδεκάπηχυ. (Il. Θ. 494.)

πλεονάζει δὲ τὸ γ, ὡς καὶ ἐν τῷ λόγχῃ, παρὰ τὸ λόχος λόχη, καὶ λόγχη· ἡ εἰς λόγον ἐπιτήδειος· καὶ τὸ γλίχεσθαι παρὰ τὸ λίαν ἔχεσθαι· λίχεσθαι, καὶ γλίχεσθαι· καὶ τὸ γλαμᾶς παρὰ Ἀττικοῖς, λαμᾶς γάρ· καὶ παρὰ τὸ κερῶ, ἀφ' οὗ καὶ τὸ

κερόωντό τε οἶνον. (Od. Θ. 470.)

καὶ συγκοπῇ κρῶ, διπλασιασμῷ κικρῶ, πλεονασμῷ τοῦ γ κιγκρῶ· ἀφ' οὗ παρὰ τῷ Σώφρονι[c],

ἐγκίκρα ὡς εἴω

καὶ τὸ βράχω· παρὰ τὸ βοράχω γίνεται βοράχος, δίυγρος γὰρ ὁ τόπος· παρὰ τὸ χῶ μονοσύλλαβον, τὸ σημαῖνον τὸ χαίρω, χαλῶ· οἱ γὰρ χαιρόμενοι[d] ἐν ἀνέσει, διπλασιασμῷ καγχαλῶ· πλεονασμῷ τοῦ γ· καὶ τὸ ἔλεγχος ὁ ἕλην ἐν ἑαυτῷ ἔχων καὶ λαμπρίας τοῦ ψεύδους· καὶ τὸ ἀγρὸς, ἀρῶ γὰρ τὸ ἀροτριῶ, ἄρος· καὶ τὸ ὀργὴ, παρὰ γὰρ τὸ ὄρω ἐστὶ, τὸ σημαῖνον τὸ ὁρμῶ,

τοῦ δ' ὠρίνε τε θυμόν. (Il. Ι. 591.)

ὄρινε δὲ κῆρ 'Οδύσηος. (Od. Ρ. 216.)

ὀρὴ καὶ ὀργή.

Ἐπί: Πρόθεσις συντασσομένη πτώσει γενικῇ· δοτικῇ· αἰτιατικῇ· ἀντιστρεφομένη·

ᾧ ἔπι πολλ' ἐμόγησα. (Il. Α. 162.)

καὶ ῥῆμα πολλάκις σημαίνει ἐν τῇ ἀναστροφῇ·

ἐπεὶ οὔ τι ἔπι δεός. (Il. Α. 515.)

παραλαμβάνεται δὲ ἀντὶ τῆς παρά· ὅτε δοτικῇ συντάσσεται τὴν

[b] Cod. ἀργμν.

[c] Etym. M. p. 423, 24. Σ. ἐν Θυννοθήρᾳ.

[d] Cod. χαιρόμενοι (ἡδο above).

ἐπάνω σχέσιν δηλοῖ· “ἐπὶ τῷ ὄρει· ἐπὶ τῷ ἅρματι· ἐπὶ τῇ γῇ·” καὶ ἀντὶ τῆς παρὰ,

ποιμαίνων δ' ἐπ' ὄεσσιν. (Il. Z. 25.)

οὐ δηλοῖ ἐνταῦθα τὴν ἰδίαν σχέσιν, ἀλλ' ἀντὶ τῆς παρὰ κεῖται,

ἡ μὲν ἐπ' ἐσχάρῃ ἧστο. (Od. Z. 52.)

παρὰ γὰρ τῇ ἐσχάρῃ· ἰστέον δὲ ὅτι ἡ ἐνὶ πλεονάσασα τὸ ι οὐδὲν ἧττον ἐπλέονασεν “ἐνὶ θύρῃσιν καὶ ἡ ἐς, εἰς· ἡ ὑπὲρ ὑπεὶρ,”

ὑπεὶρ ἅλα τ' ἠϊόνας τε. (Il. Ω. 13.)

ἡ δὲ ἐπὶ οὐκ ἔλαβεν τὸν ἔσωθεν πλεονασμόν· τότε γὰρ πρόθεσις πλεονάζει τὸ ι, συμφώνου ἐπιφερομένου, ὅτε τὸ σύμφωνον ἡμίφωνόν ἐστιν· ἡ ἐπὶ ἄφωνον ἔχουσα σύμφωνον οὐκ ἔδεξατο πλεονασμόν.

Ἐάφθη: (Il. N. 543.) Ῥῆμα ὁριστικὸν ἐνεργητικὸν τρίτου προσώπου χρόνου ἀορίστου· Ἀμμώνιος μὲν οὖν παρὰ τὸ ἰῶ φησὶν, ἐάθη, καὶ πλεονασμῷ τοῦ φ ἐάφθη· ὡς ἐν τῷ σίφλος, σίλλος γὰρ, καὶ παρὰ τὸ σύρω, συρετὸς, καὶ συρφετός· οἱονεὶ ἐκ τῆς σεσυρμένης ὕλης οὐσία· ἀλλὰ τὸ ἰῶ ῥῆμα τὴν ἀπὸ ἐμψύχων ἀφαίρεσιν σημαίνει·

οὐκ ἐάσουσιν ἐμοὶ δοῦναι· (Od. Φ. 223.)

οὐδ' εἴα κλαίειν. (Il. H. 427.)

οὐ δὲ μὲν οὐδ' ἔμ' ἴασκεν·

ἀφίησι γάρ τις τινί· τό δ'

ἐπ' αὐτῷ ἀσπὶς ἐάφθη. (Il. Ξ. 419.)

ὑπό τινος· Ἀρίσταρχος οὖν ἔπω τι ὑποτίθεται ῥῆμα, ἀφ' οὗ τὸ ἕπομαι· ὁ παθητικὸς ἀόριστος εἵφθην, τὸ τρίτον, εἵφθη, καὶ κατὰ διάστασιν, ἰάφθη δασέως· ἐπιφέρει οὖν αὐταῖς λέξεσιν· “οἷον, ἐπεπέσθην καὶ ἐπηκολούθησεν·” ἔστιν οὖν πρώτης συζυγίας τῶν βαρυτόνων· πῶς δὲ ἡ ει δίφθογγος εἰς τὸ ε καὶ α διῃρεῖται· καὶ φησὶν Τρύφων ὅτι καὶ τὸ ταχεῖς ταχέως ἐγένετο· ὅπερ ἀδύνατον· τὸ γὰρ ταχεῖς ἐκ τοῦ ταχέως συνείληπται· τὸ δὲ ε καὶ α ἐκ τοῦ η διαιρεῖται· οἷον ἥγη ἐάγη·

ἐν καυλῷ δ' ἐάγη· (Il. N. 162.)

ἥλη·

Αἰνείας δ' ἐάλη· (Il. Υ. 278.)

ἤνασσε·

καὶ πλείστοις ἔνασσε λεοῖς[e].

οὕτως οὖν ἤφθη ἐάφθη ὤφειλε· καὶ γὰρ τὰ ἀπὸ τοῦ ε ἀρχόμενα ῥήματα, καὶ εἰς τὸ η κινεῖται, καὶ εἰς τὴν ει δίφθογγον· ἐλέγχω ἤλεγχον· καὶ ἕρπω εἷρπον· εἰ οὖν ἕπω, ὤφειλε τὸ παθητικὸν διὰ τοῦ η, ἤφθην, καὶ ἐν διαστάσει ἐάφθη· ἀλλ' οὐ πάντα τὰ ἀπὸ τοῦ η ἀρχόμενα εἰς ε καὶ α διίστανται, ἀλλ' ὧν τὰ θέματα ἀπὸ τοῦ α ἄρχεται ἢ η, οὐκ ἀπὸ τοῦ ε· ἕπω δὲ τὸ θέμα· εἰ δὲ ει δίφθογγος ἐὰν διίστηται, ἢ εἰς δύο εε διίσταται· οἷον εἷρτο·

αὐτὰρ ἠλέκτροισιν ἔερτο· (Od. O. 459.)

εἰργείη·

παίδος ἐέργη νῆα·

ἢ εἰς ε καὶ ἰῶτα· οἷον ἐΐσκω·

ἀρνειῷ μὲν ἐΐσκω ἔγωγε. (Il. Γ. 197.)

ἐχρῆν ἢ ἐέφθη, ἢ ἐΐφθη· ἀλλ' ἐστὶ μονῆρες τὸ πάθος, καὶ οὐδὲν αὐτῷ ὅμοιον.

Ἐν: Ἡ ἐν κατὰ μὲν συνήθειαν συντάσσεται δοτικῇ, κατὰ δὲ Ἀττικοὺς γενικῇ, κατὰ δὲ Βοιωτοὺς καὶ αἰτιατικῇ· οὕτως γὰρ ἔχει καὶ τὸ παρὰ Πινδάρῳ,

ἴδετε δ' ἐν χορὸν Ὀλύμπιοι[f],

καὶ παρὰ τῷ ποιητῇ ἐὰν ἀναγνῷς ἐνδεξιὰ ὀξυτόνως, τὴν τῶν Βοιωτῶν δέδωκας σύνταξιν· ἐὰν δὲ προπαροξύνῃς, ἕνα μέρος λόγου ποιεῖς· γίνεται γὰρ ἀντὶ τοῦ ἐνδεξίως· ἔστιν δὲ καὶ ἡ τῆς γενικῆς σύνταξις παρὰ τῷ ποιητῇ

ἕταροι δέ τοι οἵδ' ἐνὶ Κίρκης. (Od. K. 282.)

καὶ παρὰ τῷ Ἀράτῳ,

ἐν[g] Διὸς εἰλεῖται,

λέγεται δὲ ἡ πρόθεσις διχῶς καὶ ἐν καὶ ἐνί· καὶ ζητοῦσι ποία ἐστὶν ἐντελής, καὶ ποία κατὰ πάθος· καὶ λέγουσι τινὲς ὅτι ἐνὶ

[e] MS. λεοῖς (α above).

[f] Hoc init. est dithyrambici Carm. servati a Dion. Hal. Comp. Verb. t. II. p. 41. Huds. Vid. præterea Philol. Mus. No. IV. p. 112.

[g] Cod. ἐν (ζ above).

ἐστὶ, γενομένη δὲ ἐν, κατὰ πάθος ἐστίν· οὐδέποτε φησὶν πρόθεσις πλεονάσασα τὸ ι ἀναστρέφεται, διὸ ἡ κατὰ, καὶ ἡ παρὰ, γενόμεναι καταὶ καὶ παραὶ, οὐκ ἀναστρέφεται·

ᾧ ἔνι κούρη. (Od. Z. 15.)

ἐντελὲς ἄρα ἦν, οὐ κατὰ πλεονασμόν· καὶ ὅτι φασὶν αἱ πλεονάσασαι τὸ ι προθέσεις, οὐ γίνονται ῥήματος σημαντικαὶ, ἡ δὲ ἐνὶ σημαίνει ῥῆσιν·

ἔνθ' ἔνι μὲν φιλότης. (Il. Ξ. 16.)

καὶ αὐὼς[h] παθητικοῦ

ἔνι τοι φρένες οὐδ' ἠβαιαί. (Il. Ξ. 141.)

οὐκ ἔστι κατὰ πλεονασμόν· καὶ ὅτι φησὶν οὐδέποτε πρόθεσις δύο λαμβάνει πλεονασμούς· εἴρηται δὲ καὶ εἰνί·

αὐτοῦ δ' εἰνὶ θύρῃσιν. (Od. I. 417.)

οὐκ ἔστι κατὰ πλεονασμόν· ἐδισυλλάβησεν, ἀλλὰ φυσικῶς οὕτως εἶχεν· ἔστι δ' ἀνασκευάσαι τὰ εἰρημένα· ἔστιν οὖν τὸ πρῶτον· αἱ πλεονάσασαι τρίχρονοι προθέσεις οὐ ποιοῦσιν ἀναστροφήν· ἡ παρὰ οὖν καὶ ἡ κατὰ γενόμεναι παραὶ, καταὶ, τριχρονοῦσι, καὶ διὰ τοῦτο οὐκ ἀναστρέφονται· ἡ δὲ ἐν ἐὰν γένηται ἐνὶ, οὐκ ἔτι ῥῆμα σημαίνει, οὐδέποτε γὰρ αἱ πλεονάζουσαι ἐσήμαινον· καὶ τοῦτο δὲ εὐαπόλυτον· ἐπειδὴ γὰρ παρηκολούθει ταῖς ἀναστρεφομέναις τὸ καὶ ῥῆμα σημαίνειν, ἀναστρέφεται δ' αὕτη, κατὰ τοῦτο καὶ ῥῆμα ἐσήμαινε· πῶς δὲ οἱ δύο πλεονασμοί; λέγομεν ὅτι ὁ μὲν εἷς πλεονασμὸς τῆς προθέσεως ἐστὶν, ὁ δὲ ἕτερος ποιητικός· ὡς κενὴ κεινή· ἔστι δὲ κανὼν ὁ λέγων· ὅτι αἱ πρόθεσεις θέλουσι πλεονάζειν μᾶλλον τὸ ἰῶτα, οὐ μὲν ἐλλείπειν· ἡ ἐνὶ τοίνυν τὸ ι ἐπλεόνασεν, οὐχ ἡ ἐν ἀπέβαλλεν· παρὰ τὴν ἐν πρόθεσιν γίνεται τὸ ἐντός· καὶ ὡς παρὰ τὴν ὑπὲρ ὑπέρτερος, οὕτως παρὰ τὴν ἐν, ἔντερον· ἰστέον δὲ ὅτι ἡ ἐνὶ ὁπότε σημαίνει ῥῆμα τὸ ι τρέπει εἰς ο παρὰ ταῖς διαλέκτοις· ζητοῦσι δὲ ὅτι ἡ ἐπεὶ ἡ ἐνὶ διχρονεῖ κατὰ τοῦτο ἀναστρέφεται, πῶς ἡ πρὸς γενομένη ποτὶ, καὶ αὕτη πλεονάσασα, καὶ ἔτι διχρονοῦσα, οὐκ ἀναστρέφεται; καὶ λέγομεν ὅτι Δω-

[h] Fors. leg. αὖθις.

ρικὴ ἐστὶ πρόθεσις· Δωριεῖς δὲ ἥδονται τῇ ὀξείᾳ· ἡ δὲ ἀναστροφὴ διαλέκτῳ ἐναντία.

Ἐκρέμω: (Il. O. 18.) Ἀπὸ τῆς κρέμημι δευτέρας συζυγίας τῶν εἰς μι· τὸ παθητικὸν κρέμαμαι, ὁ παρατατικὸς ἐκρεμάμην, ἐκρέμασο· καὶ Ἰωνικῶς ἀφαιρέσει τοῦ σ ἐκρέμαο, καὶ συναλιφῇ τοῦ αο εἰς ω μέγα, ἐκρέμω· καὶ διατὶ οὐ γέγονεν ἀπὸ τῆς δευτέρας συζυγίας τῶν εἰς μι· ὡς ἀπὸ τοῦ κρεμάω κρεμῶ; ἐπειδὴ τὰ ἀπὸ περισπωμένων δεύτερα πρόσωπα τοῦ παρατατικοῦ περισπῶνται· ἐβοώμην ἐβοῶ· τὸ δὲ ἐκρέμω παροξύνεται.

Εἷς: (Il. A. 144.) Οὐδὲν εἰς εις μονοσύλλαβον περισπᾶται εἰ μὴ τὸ εἷς· ἀλλ' οὐδὲ ὑπὲρ μίαν συλλαβήν. τοῦτο δὲ τὸ εἷς προλαμβάνον τὸ ε βαρύνεται ἕεις· τούτου τὸ θηλυκὸν ἐνέλιπε, μόνως γὰρ ἀρσενικὸν σημαίνει γένος· οἱ γὰρ ἀριθμοὶ θεματικοὶ ἕως τοῦ ρ, ἢ κατὰ τρία γένη συνεμπίπτουσιν, ἢ κατὰ δύο· οὐδέποτε δὲ ἴδιον ἀρσενικὸν ἔχουσι· οἱ ὀκτὼ, αἱ ὀκτὼ, τὰ ὀκτώ· κατὰ δύο δὲ, οἱ τέσσαρες, αἱ τέσσαρες, τὸ δὲ οὐδέτερον τέσσαρα· τούτου τὸ οὐδέτερον ἕν· φυλάττουσι δὲ τοῦ εἷς τὴν δίφθογγον καὶ Αἰολεῖς, καὶ Δωριέων οἱ παλαιότεροι· παρὰ γὰρ Ῥινθῶνι ἐτράπη·

οὐδ' ἧς κύων·

ἀντὶ τοῦ οὐδὲ εἷς.

Εὐρυπύλοιο: (Il. B. 677.) Σύνθετον παρὰ τὸ εὐρὺς καὶ τὸ πύλη· πρότερον δὲ περὶ τῆς κατὰ τὸ τέλος συνθέσεως λεκτέον· εἶτα περὶ τῆς κατ' ἀρχήν· τέσσαρα σχήματα ἀποτελεῖται ἀπὸ τῶν εἰς η θηλυκῶν· ἢ γὰρ φυλάσσει τὸ τέλος· μάχη Ἀνδρομάχη· ἢ τρέπεται εἰς ος· φωνή· εὔφωνος· ἢ τὸ σ προλαμβάνει· γυνὴ μισογύνης· ἡ δὲ κατ' ἀρχὴν σύνθεσις οὕτως· τὰ εἰς υς ὀξυνόμενα κατ' ἀποβολὴν τοῦ σ συντίθεται, καὶ φυλάσσει τὸ υ· οἷον, ταχύποτμος· βραδυήκοος·

πολυάρνι Θυέστῃ· (Il. B. 106.)

εὐρυάγυια Μυκήνη· (Il. Δ. 52.)

σεσημείωται τὸ Πολύμνια ἐπὶ τούτου, καὶ τὸ κύριον καὶ τὸ προσηγορικὸν ἐξέθλιψε τὸ υ·

Πολύμνια παντερπὴς κόρα·
Πολύμνιά τ' Οὐρανίη τε. (Hesiod. Theog. 78.)

Ἐς: Πρόθεσις συντασσομένη πτώσει γενικῇ, καὶ αἰτιατικῇ· παρὰ δὲ τῷ ποιητῇ, συμφώνου μὲν ἐπιφερομένου, ἐκβάλλειν τὸ ἰῶτα λέγεται· φωνήεντος δὲ ἐπιφερομένου, φυλάττει·

ἀλλ' ἐς μὲν Μενέλαον. (Od. Γ. 317.)
ἐσβάντες κνήμας τ' ἠδὲ λόφον. (Il. Κ. 573.)
εἰς Ἀγαμέμνονα δῖον. (Il. Η. 312.)
εἰς ἐμὰ δέμνια βάντες[i]. (Od. Θ. 296.)

μάχεται τὸ

οἴδ' αἶψ' εἴσβαινον. (Od. Ι. 103.)

εἰ μὴ ἄρα οὐκ ἦν παράθεσις ἀλλὰ σύνθετον· ἀμφίβολον τὸ

εἰς ὄρος, ἢ εἰς κῦμα. (Il. Ζ. 347.)

ἀναγινώσκεται γὰρ καὶ ἐς κῦμα· συνεμπίπτει δὲ ἡ ἐς καὶ ἄλλῃ Βοιωτικῇ προθέσει τῇ ἐξ,

ἐς Μουσῶν,

ἀντὶ τοῦ, ἐκ Μουσῶν· ἂν δὲ φωνῆεν ἐπιφέρηται διὰ δύο σσ,

ἐσσ' Ἀρχιπτολέμου.

Ἔνιπτε: Κακολόγει·

μή με γύναι χαλεποῖσιν ὀνείδεσι θυμὸν ἔνιπτε. (Il. Γ. 438.)

ἔπω ἐστὶ ῥῆμα, τὸ λέγω· πλεονασμῷ σ ἔσπω, καὶ μετὰ τῆς ἐν προθέσεως ἐνέσπω, καὶ τροπῇ τοῦ ε εἰς ἰῶτα, ἐνίσπω· ἐξ οὗ καὶ ἐνισπῶ περισπώμενον· ἀφ' οὗ τὸ ἐνισπήσειν· τοῦ ἐνίσπω ὁ παρατατικὸς, ἤνισπον, ἤνισπες, ἤνισπε, καὶ τὸ προστακτικὸν ἔνισπε· τὸ δὲ ἔνισπες, ἵνα σημαίνῃ τὸ ἀκόλουθον, σπὲς ἐστὶ ῥῆμα ὀξυνόμενον προστακτικὸν, καὶ ἔνισπες.

Ἐπισμυγερῶς: (Od. Γ. 195.) Ἐπίῤῥημα μεσότητος· οὐδὲν δὲ εἰς ως ἐπίῤῥημα σύνθετον, μάλιστα δὲ παρὰ πρόθεσιν, ὥστε τὸ ἐπισμυγερῶς δύο ποιεῖς μέρη, παρελκούσης τῆς ἐπί· ὁμοίως τῷ

βοῶν ἐπιβουκόλος ἀνήρ. (Od. Γ. 422.)

ὅθεν τὸ ἁπαξαπλῶς καὶ σύνθετον· ἀλλὰ κατὰ παράθεσιν· τὸ δὲ

[i] Edd. τὼ δ' ἐς δέμνια βάντε.

ἅπαξ βαρύνεται· τὰ γὰρ εἰς αξ ἐπιῤῥήματα ὀξύνεται· οἷον ὀκλάξ· ὀδάξ· εὐράξ· σεσημείωται τὸ ἅπαξ βαρυνόμενον· διὸ ἐν τῇ συντάξει μεταλαμβάνει τὸν ἴδιον τόνον, ἁπαξάπαντες· ἁπαξαπλῶς· κεκοιμισμένου τοῦ τόνου.

Εἴβεις:

τέρεν κατὰ δάκρυον εἴβεις. (Il. Π. 11.)

λείβω, τὸ στάζω, καὶ κατὰ πάθος γίνεται εἴβω· ὥσπερ ἀπὸ τοῦ γαῖα κατὰ ἀφαίρεσιν τοῦ γ, αἶα· πρῶτον ἄρα τὸ λείβω, τοῦ εἴβω· ἰστέον δὲ ὅτι οὐδέποτε εἴβειν τέθειται ἐπὶ τοῦ σπένδειν· τὰ δ' ἄλλα ὁμοίως·

δάκρυα λεῖβον. (Il. N. 88.)
καταλείβεται ὕδωρ·

καὶ τὸ

κατειβόμενον Στυγὸς ὕδωρ. (Il. O. 37.)

ὥσπερ δὲ παρὰ τὸ γαῖα μὲν ἐγίνετο σύνθετον γαιήοχος, καὶ παράγωγον, οὐδὲ δὲ παρὰ τὸ αἶα, οὕτως καὶ ἐπὶ τούτων οὐδὲν μὲν κίνημα παρὰ τὸ εἴβω· παρὰ δὲ τὸ λείβω λιβάς· λοιβή· λέβης· λίβανος καὶ λιβανωτός· καὶ ὃν τρόπον τὸ αἶα οὐδέποτε κατ' ἀρχὴν ἔχεις στίχου παρὰ τῷ ποιητῇ, τὸ δὲ γαῖα, οὕτως οὐδέποτε τὸ εἴβεις ἐν ἀρχῇ στίχου[k] ἀλλὰ τὸ λείβω[l].

Ἕρδοι:

μὴ νυκτὶ θοῇ ἀποθύμια ἔρδοι. (Il. Ξ. 261.)

παρὰ τὸ ῥέζω· ὑπερθέσει τοῦ ε, καὶ τροπῇ τοῦ ζ εἰς δ, ἔρδω· γίνεται δὲ ὑπέρθεσις ὥσπερ σπείρω, σπόριον, ὄσπριον· νόθος νοθεῖον καὶ ὀθνεῖον· μείρω μέμαρκα, μέμορα, μέμορε, ἔμμορε· ἔρδω, ὁ μέλλων ἔρξω, οὐ διὰ τοῦ σ, ὡς ᾄδω ᾄσω· ἐπεὶ ἀπὸ τοῦ ῥέζω γίνεται· δασύνεται τὸ ερ· ἡ ερ συλλαβὴ μὴ ἐπιφερομένου δασέος, ἢ τοῦ γ, ἢ διπλασιασμοῦ τοῦ ρ, δασύνεται· οἷον ἕρνος· ἕρκος· ἕρπω· Ἕρμης· οὕτως οὖν καὶ ἕρδω· πρόσκειται μὴ ἐπιφερομένου δασέως, διὰ τὸ ἔρχομαι· τοῦ γ δὲ, διὰ τὸ ἔργον· διπλασιασμοῦ δὲ τοῦ ρ, διὰ τὸ ἔῤῥω· τὸ

μή μιν ἀποέρσειε μέγας ποταμός. (Il. Φ. 329.)

k Cod. στίχω. l Cod. λείω.

Αἰολικῶς ψιλοῦται· μεμπτέος Ἀρίσταρχος δασύνων τὸ ἄρσαντες, ὀφεῖλον ψιλοῦσθαι Αἰολικῶς.

Εἵατο: (Il. Γ. 149.) Ἀπὸ θέματος τοῦ εἶναι· ὅπερ ἄλογόν ἐστι μακρᾶ παραληγόμενον[m]· σημαίνει τοίνυν τότε εἶμαι τὸ κεῖμαι· ἔστι δὲ τὸ μὲν ἐντελέστερον ἕεται, ὅπερ γίνεται ἀπὸ τοῦ ἕω, ἔνθεν παράγεται τὸ ἕζω, ἀφ᾽ οὗ τὸ ἕζομαι καὶ καθέζομαι· ὥσπερ δὲ βέλεϊ βέλη γίνεται, καὶ ἱππέες ἱππεῖς, οὕτως ἕεμαι ἧμαι· καὶ ἔστι κατὰ πάθος· καθόλου γὰρ τὰ ῥήματα ἐὰν ἀπὸ φύσεως μακρᾶς ἄρχηται, ἐν τῇ συνθέσει οὐκ ἀναβιβάζει τὸν τόνον· χρῶμαι καταχρῶμαι· θεῖναι καταθεῖναι· βῆναι περιβῆναι· εἰ τοίνυν τὸ ἧμαι ἐν τῇ συνθέσει οὐκ ἐτήρησε τὸν τόνον, ἐγένετο δὲ κάθημαι, οὐ φύσει ἔχει μακρὰν τὴν ἄρχουσαν, ἀλλὰ πεπονθυῖαν· ἧμαι οὖν καὶ ὁ παρατατικὸς ἥμην, ἧσο, ἧτο, Ἰακῶς ἕατο, καὶ ποιητικῶς εἵατο.

Ἔσσευα: (Il. Ε. 208.) Τὰ διὰ τοῦ ευω ῥήματα πάντα βαρύνεται· βασιλεύω· ἱππεύω· σεύω ἔσσευα· τὸ

ἐδεύησε δ᾽ οἰήϊον[n] ἄκρον ἱκέσθαι. (Od. I. 483.)

οὐκ ἀπὸ περισπωμένου τοῦ δεύω γέγονεν, ἀλλ᾽ ἐδέησεν· ἔστι καὶ πλεονάσαντος τοῦ υ, ἐδεύησε· τὸ ἐρευνῶ περισπώμενον οἱ Αἰολεῖς ἀποβάλλοντες τὸ ν βαρύνουσιν, ἐρεύω διὰ τὸν τρόπον τοῦ ευω βαρύνεται· ἐν μέντοι τῷ ἔσσευα ἐνδεῖ τοῦ σ· πολλάκις δὲ ἐπὶ ταύτης τῆς διφθόγγου ἐνδεῖ τὸ σ,

ἀλευάμενοι νίφα λευκήν.[o]

χεύαν ἀντὶ τοῦ χεύσαν· γέγονε δὲ ἀναδιπλασιασμὸς τοῦ ἑνὸς σ, ὡς ἐν τῷ

ὁ δ᾽ ἄρ᾽ ἔθορε μέσσος,

τὸ δὲ παρακείμενον ῥῆμα δύο πάθη ἀναδέδεκται παρὰ τὸ αὐτὸ στοιχεῖον· ὅτε γὰρ ἔνδεια γέγονε τοῦ σ, καὶ ἀναδιπλασιασμὸς ὅμοιος τούτῳ, ἔσσευσα ἔσσευα.

Ἐγγύς: (Il. Γ. 344.) Τὰ εἰς υς λήγοντα ἐπιῤῥήματα ὀξύνεται· ἐγγύς· μεσσηγύς· οὐκ ἀντίκειται τὸ ἄντικρυς· ἀποβολῇ οὖν τὸ σ ἀπέβαλε καὶ τὸν τόνον,

[m] Cod. παραληγομένη. [n] Cod. οἴκιον. [o] Hesiod. Op. II. 153. ubi edd. ἀλευόμενοι.

ἀντικρὺ δ' ἀν' ὀδόντες. (Il. E. 74.)

γίνεται δὲ τὸ ἔγγυς παρὰ τὴν γῆν, καθῶς ἐστὶ καὶ ἐν τῇ ποιητικῇ μαθεῖν διαλέκτῳ

μεσσηγὺς Σιμόεντος. (Il. Z. 4.)

τουτέστιν ἐν τῇ μεταξὺ γῇ ἰών.

Ἔσται: (Il. A. 136.) Ἐκ τῆς συζυγίας τῶν βαρυτόνων· ἔω ὁ μέλλων ἔσω, ὁ μέσος μέλλων ἔσομαι, ἔσῃ, ἔσεται, καὶ ἐν συγκοπῇ ἔσται· τετραχῶς εἴρηται παρὰ τῷ ποιητῇ· ἔσεται δι' ἑνὸς σ·

ὡς ἔσεταί περ. (Il. A. 211.)

κατὰ διπλασιασμὸν τοῦ σ,

ἔσσεται ἢ ἠὼς ἢ δειλή[p]. (Il. Φ. 111.)

πλεονασμῷ τοῦ ἰῶτα

οὔ οἱ ἄρκιον ἐσσεῖται. (Il. B. 393.)

καὶ κατὰ συγκοπὴν ἔσται· οὐκ ἔστι δὲ δ' συζυγίας τῶν εἰς μι, ὥς τινες οἴονται· οὐ γὰρ παρὰ τὸ εἰμί· τούτου γὰρ ὁ μέλλων, εἴσω, τὸ μέσον[q] εἴσομαι.

Ἕκαστος: (Il. A. 106.) Ὄνομα ἐπιμεριζόμενον ἀρσενικὸν παράγωγον· τὰ δὲ εἰς στος λήγοντα ὑπὲρ δύο συλλαβὰς, εἰ μὴ ὑπερθετικὰ εἴη, διὰ τὸ κάλλιστος· τάχιστος· ὅθεν παρὰ τὸ οἰκτίζω οἰκτιστὸς ὀξυτόνως, τὸ δὲ

οἴκτιστον δὴ κεῖνο ἐγὼ ἴδον[r]. (Od. M. 258.)

ὑπερθετικοῦ εἴρηται τρόπῳ· τὸ ἕκαστος βαρύνεται· ἢ ὅτι ἔχει ἔννοιαν ὑπερθετικοῦ, ἢ ὅτι τὰ ἐπιμεριζόμενα πάντα βαρύνεται· ἕκαστος· ἑκάτερος· διαφέρει ἕκαστος ἑκατέρου· τὸ μὲν γὰρ ἑκάτερος ἐπὶ δύο, τὸ δὲ ἕκαστος ἐπὶ πολλῶν.

Ἐν: Πρόθεσις ἐφαρμόζουσα ταῖς τρισὶ πλαγίαις· οὐδέποτε δὲ πρόθεσις φθάσασα τριχρονῆσαι ἀναστρέφεται, ὡς ἡ ἀμφὶ, καὶ ἡ ἀντί· ὅθεν καὶ ἡ ἐνὶ, ἕως μὲν ἐστὶ δίχρονος ἀναστρέφεται, ἐὰν δὲ γένηται εἰνὶ, ἐπεὶ τρίχονος, οὐκ ἀναστρέφεται· οὐδέποτε δὲ πρόθεσις κατὰ παράθεσιν συνδέσμου συντάσσεται· ὅθεν ἐπὶ τοῦ

[p] Edd. δείλης. [q] Cod. μέσος. [r] Edd. οἴκτιστον δὴ κεῖνο ἐμοῖς ἴδον ὀφθαλμοῖσι.

ἐν δ᾽ ἔπεσ᾽ ὑσμίνῃ

τὸ ἀκόλουθον ἐστὶν ἐνέπεσε δέ· λύουσι γὰρ οἱ ποιηταὶ καὶ μετατιθέασι τὰς λέξεις· τὸ ἐνδεξιὰ εἰ μὲν ἀναγνῶμεν ὀξυτόνως, ἐστὶ τὸ καλούμενον Βοιωτικὸν σχῆμα· Βοιωτοὶ γὰρ τὴν ἐν πρόθεσιν συντάσσουσιν αἰτιατικῇ

ἴδετ᾽ ἐν χορὸν Ὀλύμπιοι

Πίνδαρος[s] ἐὰν δὲ ἐνδέξια προπαροξυτόνως, ἐστὶ ἐπιῤῥηματικὸν, ὡς ἂν εἰπεῖν, ἐνδεξίως· ἀναλογώτερα ἡ ἐν τῆς ἐνί· αἱ ἐπὶ τέλει τῶν προθέσεων προσιοῦσαι ῥήσεις ταῖς ἀπὸ συμφώνου ἀρχομέναις[t] φυλάσσουσι τὸ τέλος· βαίνω καταβαίνω· φέρω καταφέρω· εἰ οὖν ἐν τῇ συνθέσει ἐνβαίνω οὐ λέγομεν, ἀλλ᾽ ἐμβαίνω, ἀναλογώτερα ἡ ἐν· ἰστέον δὲ ὅτι ἡ τοιαύτη πρόθεσις παρὰ τὴν Αἰολίδα καὶ Δωρίδα διάλεκτον[u] ἐνὸ γίνεται, ὁπόταν καὶ ἀντὶ ῥήματος.

Ἔπεσε: (Il. Δ. 134.) Τὸ θέμα πέτω· οὗ παράγωγον πετέω, καὶ κατὰ συγκοπὴν πταίω· ἐξ οὗ τὸ ἔπεσον· ἢ παρὰ τὸ πετῶ, ἔνθεν τὸ πέσημα καὶ πεσεῖν·

τί βούλομαι τραγικὸν καταπέσημα.

οὐδεὶς δὲ ἀόριστος ἔχει τὸ σ· μονῆρες τοῦτο τὸ ἔπεσον· ὡς ἔστιν εὑρεῖν ἄλλα μονήρη· οὐδὲ εἷς δύο ἀορίστων εἰς θον[x] μόνος ὁ ὤλισθον· οὐδὲ εἷς εἰς μον· μόνος ὁ ἔχραισμον· τὸ παρ᾽ Ἀλκαίῳ εἰρημένον ἐν Γανυμήδει[y]

ἐπὶ τοῦ φορτικοῦ κατέχεσον τῆς Νηρηΐδος

κωμικὸν εἶναι· ὡς Ἀριστοφάνης εἴρηκέ που ἀκολούθως "χεσεῖν" δέον εἰπεῖν αὐτὸν "χέσαι."

Ἑλκεσιπέπλους: (Il. Z. 442.) Τὸ ο ἐν ταῖς συνθέσεσι πολλάκις εἰς τὸ ε μεταβάλλομεν, καὶ τὴν σι συλλαβὴν προσλαμβάνομεν· οἷον ἕλκω· ἑλκόπεπλος ἑλκεσίπεπλος· πρῶτος πρωτόλαος, πρωτέλαος, Πρωτεσίλαος· πηγὸς πηγόμαλλος πηγέμαλλυς πηγεσίμαλλος· ἔνιοι δὲ ἀπὸ μελλόντων αὐτὰ σχη-

[s] Fr. Dithyr. 3. [t] Cod. ἀρχομένοις. [u] Cod. διαλύκτῳ.

[x] MS. θην (ο superscript). [y] MS. Γαννυμη (δ superscript). Hoc drama Alcæi Comici poëtæ sæpe laudatur Athenæo et aliis. Cf. Herodian. π. μον. λεξ. p. 24, 12. qui Comici locum notat, sed non ipsa verba.

ματίζουσιν· τῶν διπλῶν μὲν ἀναλυομένων τοῦ δὲ ε παρεμπίπτοντος· οἷον ἕλξω ἑλξέπεπλος καὶ ἑλκεσίπεπλος· πήξω πηξίμαλλος καὶ πηξεσίμαλλος.

Ἔτυπτον: Τῶν παρεληλυθότων χρόνων ὁ παρατατικὸς, καὶ ὁ παρακείμενος, καὶ ὁ ὑπερσυντελικὸς, ὡρισμένοι εἰσίν· ὅτε γὰρ λέγω, ἔτυπτον, φανερὸν ὅτι παρέτεινα[z] τύπτων, καὶ ἐν τῷ τύπτειν ἤμιν[a], ὡς παρ' Ὁμήρῳ,

Ὄφρ' ὁ γέρων ἵπποιο παρηορίας ἀπέτεμνε. (Il. Θ. 87.)

κατὰ τὸν παρατατικὸν χρόνον λέγει, καὶ οἰκείως ἐπὶ τοῦ γέροντος παρατατικοῦ ὁ παρατείνων· ἀσθενὲς γὰρ τὸ γῆρας καὶ ὁμαλόν· ὁ δὲ παρακείμενος χρόνος σημαίνει τὸ πρὸ ὀλίγου· ὅτε γὰρ λέγω "γέγραφα," ἢ "γέγραμμαι" φανερὸν ὅτι πρὸ βραχέος· ὁ δὲ ὑπερσυντελικὸς σημαίνει τὸν πρὸ πολλοῦ παρελθόντα χρόνον· ὡς Ὅμηρος,

ἤδ' Οὐλυμπόνδε βεβήκει. (Il. A. 221.)

ἀντὶ τοῦ πρὸ πολλοῦ ἀπεληλύθει.

Ἐὰν δύνωνται: Πᾶν ὑποτακτικὸν ἔχον ἐνεργητικὸν προπερισπᾶται· οἷον ἱστῶ, ἐὰν ἱστῶμαι· ἐὰν δὲ οὐκ ἔχει ἐνεργητικὸν, προπαροξύνεται· οἷον, δύνωμαι δύνωνται· ἐγένετο γὰρ ἐκ τοῦ δύνημι δύναμαι, τὸ ὑποτακτικὸν, ἐὰν δύνωμαι· καὶ τὸ τρίτον τῶν πληθυντικῶν, ἐὰν δύνωνται· τότε γὰρ ὁμοτονοῦσι τὰ ὑποτακτικὰ παθητικὰ τοῖς ἰδίοις ἐνεργητικοῖς, ἡνίκα εὕρηνται τὰ ἐνεργητικὰ αὐτῶν ἐν χρήσει, τότε τὰ ὑποτακτικὰ παθητικῶν τῶν εἰς μι τοῖς ὁριστικοῖς ὡμοφώνησαν.

Ἐπιπλώς: (Il. Z. 291.) Πλέω, πλώω, πλώσω, ἔπλωσα, πλώσας, καὶ ἀποκοπῇ πλὼς καὶ ἐπιπλώς· ἔστι δὲ ἄκλιτον· ἐπειδὴ γὰρ ἡ φωνὴ αὐτοῦ ἀόριστος ἐστὶ, τὸ δὲ σημαινόμενον παρακείμενον· καὶ ὁ μὲν εἷς κανὼν ἀπαιτεῖ αὐτὸ ὡς παρακείμενον κλιθῆναι, ὁ δὲ ἕτερος ὡς ἀόριστον· τῶν οὖν δύο κανόνων μαχομένων, ἀπέλειψεν ἡ κλίσις.

Ἐκτός: (Il. K. 151.) Ἐπίῤῥημα τοπικὸν παράγωγον ἁπλοῦν· παράγεται παρὰ πρόθεσιν· τῶν γὰρ ἐπιῤῥημάτων τὰ

[z] Cod. παρεν. (τν superscr.) [a] An leg. ἔμεινα.

μὲν ἁπλᾶ, τὰ δὲ σύνθετα, τὰ δὲ παράγωγα· τοῦτο ἐποίησεν ἕτερον ἐπίῤῥημα ἔκτοθεν, καὶ ἔκτοσθεν· ὡς ἔντοθεν καὶ ἔντοσθεν· μόνον τὸ πρόσθεν οὐκ ἀπέβαλε τὸ σ.

Ἑσπέριος :

ἑσπέριος δ' ἦλθεν[b] καλλίτριχα μῆλα νομεύων. (Od. I. 336.)

ὄνομα ἐπιθετικὸν κτητικὸν ἀρσενικὸν παρασύνθετον, πτώσεως εὐθείας, ἀπὸ τοῦ ἕσπερος· τοῦτο παρὰ τὸ ἔσω φέρειν πάντα, ἔσφερος καὶ ἕσπερος· ὑπέρθεσις γίνεται τοῦ πνεύματος· τὸ γὰρ φ π ἐγένετο, τὸ δὲ ε ψιλούμενον ἐδασύνθη, ὥσπερ ἐκ τοῦ ἐναντίον ἵκω δασύνεται τὸ ι, ψιλοῦται δὲ τὸ κ· καὶ γίνεται ὑπέρθεσις τοῦ πνεύματος ἐν τῷ ἴχνιον, καὶ ψιλοῦται μὲν, ἠμείφθη τὸ ψιλὸν κ εἰς τὸ δασὺ χ· ἀπὸ δὲ τοῦ ἕσπερος ἐγένετο ἑσπέριος· τὰ δὲ ἀπὸ συνθέτων παρηγμένα παρασύνθετα εἰσί· καὶ

ἑσπερίους δ' ἐπὶ νῆα θοήν. (Od. B. 385.)

τὰ δὲ εἰς ος κτητικὰ τρεῖς ἔχει παραλήξεις· ἢ τὸ ι, ὡς τὸ θαλάσσιος· ὥριος· ἡμέριος καὶ ἐφημέριος· ἢ τὴν ει δίφθογγον, ὡς τὸ Κλεοπάτρειος· ἢ τὴν αι, ὡς τὸ Φλεγραῖος· ἀγοραῖος.

Ἑλεόθρεπτον : (Il. B. 776.) Τὰ εἰς ος λήγοντα οὐδέτερα, κατ' ἀρχὴν συντιθέμενα, ἐκβάλλει τὸ σ· οἷον, πάθος παθολόγος· εἶδος Εἰδοθέα· σκύτος σκυτοτόμος·

σκυτοτόμων ὄχ' ἄριστος. (Il. H. 221.)

ἦθος ἠθολόγος· διὸ παρὰ τὸ ἕλος ὤφειλεν εἶναι ἑλόθρεπτον, ἀλλ' ἐγένετο πλεονασμὸς τοῦ ε· οὐ γὰρ παρὰ τὴν γενικὴν τὴν ἕλεος, οὐ γὰρ εἴωθεν γενικὴ συντίθεσθαι· τὸ θυοσκόος κατὰ πλεονασμὸν τοῦ σ λέγουσιν·

* * * * * * [c]εὕρηται ἱππεύω· ἀνδρεύω· βασιλεύω· πνεύω· χεύω· τοῦ ἐδεύησεν οὖν τὸ θέμα οὐ λέγομεν δεύω, ἀλλ' ὡς περισπώμενον κέκλιται.

Ἔκπεσον : (Il. B. 266.) Ἔστι πέτω ῥῆμα συζυγίας τρίτης τῶν βαρυτόνων, ἀφ' οὗ παράγωγον πεταίω, ἔνθεν τὸ ῥηματικὸν μετὰ προσθήκης τῆς προθέσεως προπετὴς, ὁ προπίπτων τῇ διανοίᾳ· τὸ πεταίω κατὰ συγκοπὴν γέγονε πταίω· τοῦ πέτω

[b] Cod. ἦχθε. [c] Excidit glossa nempe ἐδεύησεν nullo lacunæ indicio in Codice.

ὁ παρακείμενος πέπτηκα, οὗ ὁ ἐνεστὼς πτῶ, ἀπὸ πέτω κατὰ συγκοπήν· κατὰ μεταβολὴν τοῦ η εἰς ω πέπτωκα, ὡς παρὰ τὸ ὤχηκα ὤχωκα· τοῦ πέτω ὁ ἀόριστος παρὰ μὲν Αἰολεῦσιν ἀναλόγως ἔπετον· ὡς γὰρ παρὰ τὸ ὀλίσθω ὤλισθον· ἁμαρτάνω ἥμαρτον· οὕτως παρὰ τὸ πέτω· παρ' ἡμῖν δὲ γίνεται κατὰ μεταβολὴν τοῦ σ ἔπεσον· καὶ σεσημείωται ἔχων τὸ σ ὁ β' οὗτος ἀόριστος.

Εἰς: Πρόθεσις συντασσομένη πτώσει γενικῇ καὶ αἰτιατικῇ, ἀδιαφόρως κειμένη παρὰ τῷ ποιητῇ, καὶ ἐπὶ ἐμψύχων καὶ ἐπὶ ἀψύχων·

ἀλλ' ἐς μὲν Μενέλαον. (Od. Γ. 317.)

καὶ

εἰς Ἔχετον βασιλῆα. (Od. Σ. 84.)

οἱ μέντοι μεταγενέστεροι ἀξιοῦσι τὴν μὲν εἰς ἐπὶ ἀψύχων· "εἰς Ῥώμην· εἰς Ἀλέξανδρον·" τὴν δὲ ἐς ἐπὶ ἐμψύχων,

ἀλλ' ἐς μὲν Μενέλαον. (Od. Γ. 317.)

παρὰ μέντοι τῷ ποιητῇ οὐδέμια διαφορά,

εἰς Ἀγαμέμνονα δῖον. (Il. Η. 312.)

καὶ

ἐς Τεμέσην. (Od. Α. 184.)

διαφέρει δὲ εἰς τῆς πρός· τῷ τὴν μὲν εἰς συντάσσεσθαι[d] ἐπὶ ἀψύχων, τὴν δὲ πρὸς ἐπὶ ἐμψύχων· "πρὸς Ἀρίσταρχον·" παρὰ δὲ τῷ ποιητῇ καὶ τοῦτο ἀδιάφορον· φασὶ δὲ τινὲς τὴν εἰς πρόθεσιν παραλαμβάνεσθαι παρὰ τῷ ποιητῇ ὁπότε φωνῆεν ἐπιφέρεται,

εἰς Ἀγαμέμνονα δῖον. (Il. Η. 312.)
εἰς οἶκον Πηλῆος. (Il. Ι. 147.)

τὴν δὲ ἐς ὅποτε σύμφωνον,

ἐς δ' ἐρέτας ἐπιτηδές. (Il. Α. 142.)
ἐς δ' ἑκατόμβην βῆσαν. (Il. Α. 438.)

ἀλλ' ἡμεῖς γε λέγομεν, ὅτι χρὴ προσθεῖναι τὸ ὡς ἐπὶ τὸ πλεῖστον, οὐ γὰρ ἐν τῷ καθόλου οὕτως κέχρηται ταῖς προσθέσεσιν· ἐπεὶ τί φήσουσι περὶ τοῦ

[d] Cod. συντάσσεται.

εἰς ὄρος, ἢ εἰς κῦμα. (Il. Z. 347.)

καὶ πάλιν·

οἱ δ' ἐπ' εἴσβαινον[e]. (Od. I. 103.)

ὡς τῇ εἰς κέχρηται συμφώνου ἐπιφερομένου, οὐκ ἐν τῷ καθόλου οὖν, ἀλλ' ὡς ἐπὶ τὸ πλεῖστον.

Ἐπηετανός[f]: (Od. Θ. 233.) Γίνεται παρὰ τὸ ἔτος ἐτανὸς καὶ ἐπηετανὸς, ὡς δὲ τινὲς παρὰ τὸ ταναός.

ἈΡΧΗ ΤΟΥ ΖΗΤΑ.

Ζώνη: (Il. Λ. 234.) Τὸ ζω μέγα· διατί; τὰ διὰ τοῦ ωνη βαρύτονα, μὴ ὄντα κύρια, μήδε διφορούμενα, διὰ τοῦ ω μεγάλου γράφεται· οἷον, Διώνη· ἀτρυτώνη[g]· μελεδώνη· κορώνη· Δωδώνη[h]· Μεθώνη· χελώνη· βαρύτονα, διὰ τὸ ἡδονή[i]· καλλονή· μὴ ὄντα κύρια, διὰ τὸ Ἑρμιόνη, καὶ Εὐφρόνη· διφορούμενα δὲ, διὰ τὸ ἀγχονή· πλὴν τῶν[k] πέντε· περόνη· βελόνη· ὀθόνη· ἀκόνη καὶ σφενδόνη.

Ζέφυρος: (Il. Δ. 276.) Ἔνιοι σύνθετον εἶναι φασὶν, ἀπὸ τοῦ ζε[l] τὸ πνεῖν· τὰ εἰς ρος ὑπὲρ δύο συλλαβὰς, τὸ υ παραληγόμενα, ὀξύνεται, ὅτε καταδίαν[m] θηλυκὸν ἔχει· λιγυρός· ἰσχυρός· βαρύνεται δὲ τὰ μονογενῆ· λάμπυρος· Σάτυρος· τὸ ἀχυρὸς σεσημείωται· ὀξύνεται παρὰ Ἀττικοῖς· τὸ δὲ περιληπτικὸν ἀχυρών.

Ζεὺς Διός: (Il. A. 128.) Ὁ κανών· δύο κανόνες εἰσὶν οἱ μαχόμενοι ἀλλήλοις· ὁ μὲν εἷς λέγει, ὅτι πᾶν ὄνομα μονοσύλλαβον ὀξύνεται μακροκατάληκτον εἰσλῆγον, διὰ καθαροῦ τοῦ ος κλινόμενον, τὸν χρόνον τῆς εὐθείας θέλει φυλάττειν, καὶ ἐν τῇ γενικῇ· δμὼς δμωός· θὼς θωός· καὶ ὤφειλεν εἶναι Ζεὺς Ζευός· ὁ δὲ ἕτερος λέγει, ὅτι τὰ εἰς ευς διὰ τοῦ εος κλίνεται, Ζεὺς Ζεός· τῶν οὖν δύο κανόνων μαχομένων εἰσῆλθεν ἡ τῶν βαρυτόνων Βοιωτῶν διάλεκτος, καὶ ἐγένετο Ζεὺς Διός.

[e] Edd. οἵ δ' αἶψ' εἴσβαινον. [f] Cod. πιετανος. [g] Cod. ἀτριτώνη. [h] Cod. δυωδώνη. [i] Cod. ἠδή. [k] Cod. τοῦ. [l] Sic. [m] Leg. κατ' ἰδίαν.

Ζεύς: Διατὶ βαρύνεται μὲν ἐν τῷ

Ζεὺς δ' ἔριδα προΐαλλεν. (Il. Λ. 3.)

ὀξύνεται δὲ

Ζεύς με μέγα Κρονίδης. (Il. Β. 111.)

ἐπειδὴ αἱ ὀξύτονοι λέξεις, αἱ διὰ τὴν συνέπειαν τρέπουσαι τὴν ὀξεῖαν εἰς βαρεῖαν, ἐπιφερομένου ἐγκλιτικοῦ μορίου τὴν ἰδίαν τάσιν φυλάττει.

Ζῶ: (Il. Α. 88.) Τὸ ῥῆμα τοῦτο[n] οὐκ ἔχει· τὰ γὰρ οὐδέτερα ῥήματα, μήτε ἐνεργείαν μήτε πάθος δηλοῦντα, παθητικὸν οὐκ ἔχει· οἷον, ζῶ· πλουτῶ· ὑγιαίνω· ὑπάρχω· τοῦ ζῆμι κίνημα οὐχ εὕρηται.

Ζειά: (Od. Δ. 41.) Παρὰ τὸ ζέω ζεὰ καὶ ζειά· ἔστι δὲ ὄνομα προσηγορικὸν, δίφθογγος δὲ ἡ γραφή· ὥσπερ καὶ τὸ Φειά·

Φειᾶς πὰρ τείχεσι. (Il. Η. 135.)

καὶ τὸ ζείδωρος δὲ διὰ διφθόγγου, καὶ οἱ μὲν ἐκ τοῦ ζωή· καὶ ζειόδωρος, καὶ κατὰ συγκοπὴν ζείδωρος· ἄμεινον δὲ οὕτως· τὰ τρίτα πρόσωπα τοῦ ῥήματος συντιθέμενα ἐκβάλλει τὸ ἰῶτα· ἔχω, ἔχεις, ἔχει, ἐχέθυμος· φέρω, φέρεις, φέρει, Φέρεκλος· μένει Μένεκλος καὶ Μενέλαος· ζέω, ζέει, ζεόδωρος καὶ ζείδωρος· ὀξύνεται· τὰ ἐπὶ πραγμάτων βαρύνεται· οἷον, μνεία· χρεία· σεσημείωται τὸ Φθιά· τὰ δὲ ἐπ' οὐσίας ὀξύνεται· Φειά· Φαιά· ζειά.

Ζῆθι: Κατ' ἐπέκτασιν ἐστὶν ἡ θι συλλαβή· ἔστι γὰρ ἄω, τὸ πνέω, καὶ μετὰ τῆς ζα ζάω, τὸ πνέω, ζάει, καὶ κατὰ κρᾶσιν Δωρικὴν τῆς αε εἰς η, ζῇ· τὸ τρίτον τοῦ παρατατικοῦ ἔζαε, ἔζη, καὶ τὸ προστακτικὸν ζῆ σύ· ὡς τάω, ἔταε, ἔτη, τῆ·

τῆ πίε οἶνον. (Od. Ι. 347.)

ὡς ἀντὶ τοῦ δέξαι· ἐκ τούτου τάζω, τὸ λαμβάνω, καὶ τείνω· ἐξ οὗ τὸ

ῥίψε ποδὸς τεταγών. (Il. Α. 591.)

Ζεύς: (Il. Α. 279.) Οὕτως ἐκλήθη τὸ πρότερον Δὶν[o] καλούμενος διὰ τὸ διαμένειν τὸν χρόνον· βέλτιον δὲ ὅτι τῆς ζωῆς

[n] Suppl. παθητικόν. [o] MS. Δ^{ςι}ιν.

ἡμῖν ἐστὶ παρασκευαστικός· οἱ δὲ ὅτι τὸ ζ τοῦ δ ἀδελφός· καὶ Ζεὺς οὖν ὅτι δεύει, καὶ βροχῆς αἴτιος ἐστί· καὶ γὰρ πῶς ὁ θεὸς τριώνυμος ἐστὶ, καὶ ἕκαστον αὐτὸ τῶν ὀνομάτων οὐκ ἔχει τὰς πέντε πτώσεις λεκτὰς, ἀλλ᾽ ὁ μὲν Ζεὺς ἔχει τὴν ὀρθὴν μόνην, καὶ τὴν κλητικὴν Ζεῦ· πληροῦνται δὲ αἱ ἄλλαι τρεῖς ἐξ ἄλλου ἀκατονομάστου· ἡ γὰρ γενικὴ Διὸς, καὶ ἡ δοτικὴ Διῒ, καὶ αὐταὶ οὐκ ἔχουσι τὴν ὀνομαστικὴν, οὐδὲ τὴν κλητικὴν, ἀλλ᾽ ἦν ἂν ἡ ὀνομαστικὴ Δεὺς, ὅθεν ὁ Πλάτων διαμφοτέρων Δεὺς καὶ Ζεὺς φησὶν, δι᾽ ὧν ζῶμεν· Ζηνὸς δὲ καὶ Ζηνὶ, καὶ Ζῆνα, ἀπ᾽ ὀρθῆς τῆς Ζήν· οἱ δὲ φυσικοὶ Δὶν ἀπ᾽ ὀρθῆς πτώσεως· λέγουσι δ᾽ αὐτὸν αἰθέρα Διὰ εἶναι· ὅτι ἔμπυρος ἐστὶ, καὶ ζῇ· Εὐριπίδης·

> ἀλλ᾽ αἰθὴρ τί κτίσε κόρα,
> Ζεὺς ὃς ἀνθρώποις ὀνομάζεται[p].

Ζέω: Τὸ ζῆν παρὰ τὸ ζέειν εἴρηται· ζέουσι γὰρ οἱ ζῶντες· ὅθεν καὶ αἰζηοὺς, οἱονεὶ αἱμαζέους ὅθεν[q] . . . . τὸ η ὡς ἐν τῷ

> ἦ τε ξεῖνε[r] θέμις ἐστίν. (Od. I. 268.)

τοῦτο ἐν πλεονασμῷ τοῦ η ἠΰτε· ἀναγκαίως τοῦ η ψιλωθέντος· τὸ γὰρ πλεονάζον ψιλοῖ τὰ πρὸ ἑαυτοῦ φωνήεντα· καὶ πῶς δεῖ ἀναγινώσκειν ηὖτε ἢ ἠΰτε; ἐν διαστάσει δεῖ ἀναγινώσκειν· ἐπειδὴ κανὼν ἐστὶν ὁ λέγων, ὅτι οὐκ ἔστιν ἐπινοῆσαι τὸ η καὶ τὸ υ ἐν μιᾷ συλλαβῇ, χωρὶς εἰ μὴ ἐν κλίσει ῥηματικῇ· ὡς τὸ αὐδῶ ηὔδων, καὶ αὐχῶ ηὔχουν· ἀναγκαίως ἄρα ἡ διάστασις τοῦ ἠΰτε· ὁμοίως τὸ γρηῦς καὶ νηῦς καὶ τὰ λοιπὰ πλεονασμοῦ ἐστί.

Ἦτορ: (Il. A. 188.) Ἡ ψυχή· παρὰ τὸ ἀήτης, ὃ σημαίνει τὸν ἄνεμον, γίνεται ἀήτορ, καὶ κατ᾽ ἀφαίρεσιν τοῦ α λέγεται ἦτορ· πνεῦμα γὰρ λέγεται καὶ ἡ ψυχὴ,

p Etym. Gud. v. Ζεὺς p. 230, 30. idem habet fragm. celato nom. auct. sed legit ἀλλ᾽ αἰθὴρ τίκτει σε κόρας Ζεὺς ὡς ἀνθρώπ. ὀνομαζ. Cod. Bar. 50. f. 301. ἀλλ᾽ αἰθὴρ τίκτει σε κόρα Ζεὺς ὃς ἀνθρώποισιν ὀνομάζεται.

q Deest unum aut alterum folium· in marg. scr. man. rec. λείπει φύλλον.

r Leg. ξείνων.

πνεῦμα ὁ Θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν[s]

τουτέστιν, ἀσώματόν ἐστι τὸ θεῖον, καὶ τοιαύτην θέλει καὶ τὴν θυσίαν αὐτοῦ διὰ τοῦ ἐν ἡμῖν ἀσωμάτου προφέρεσθαι· τουτέστι, διὰ τῆς ψυχῆς καὶ τοῦ νοῦ καθαρότητα.

ʽΗέλιος: (Il. A. 475.) Κατὰ πλεονασμὸν τοῦ ε ποιητικοῦ· ὡς πάριος ὠυῶς[t] τοῦ στῆτον, καὶ μετὰ τῆς παρὰ παράστητον, καὶ συγκοπῇ καὶ πλεονασμῷ τοῦ ε παρστήετον· (Od. Σ. 182.) ἠέλιος παρὰ τὸ ἕλη, ὃ σημαίνει τὴν λαμπηδὼν, ἕλιος, καὶ τροπῇ τοῦ ε εἰς η· ὥσπερ ἐστὶν ἕπω, τὸ λέγω, καὶ ἐξ αὐτοῦ ἐπύω, καὶ τροπῇ τοῦ ε εἰς η, ἠπύω, τὸ φωνῶ·

ἠπύτα κήρυξ. (Il. H. 384.)

ἢ παρὰ τὸ δῆλος ὁ φανερὸς, δήλιος, καὶ ἥλιος, ἀποβολῇ τοῦ δ, ὡς διώκω διωκὴ, καὶ ἰωκὴ, καὶ δαίω, τὸ μερίζω, δαῖσα, καὶ αἶσα· καὶ δαίμονα, αἵμονα,

αἵμονα θήρης. (Il. E. 49.

ἢ παρὰ τὸ ἃλς ἁλὸς, ἅλιος καὶ ἥλιος· ἀνιμᾶσθαι γὰρ φασὶν οἱ φυσικοὶ τὸν ἥλιον τῆς θαλάσσης τὸ ὕδωρ· καὶ γίνεται Ποσειδῶν παρὰ τὴν πόσιν ἀναπίνειν τῷ δάει, τουτέστιν τῷ ἡλίῳ.

ʽΗερίαι: (Il. Γ. 7.) Ὄνομα γένους θηλυκοῦ· ἡ εὐθεῖα ἠερία παροξυτόνως· τὸ η η διατί; ἐκ τοῦ ἀὴρ ἀέρος, ἠέριος· τὸ ρι ἰῶτα διατί; τὰ ἀπὸ τῶν εἰς ηρ ὑπὲρ μίαν συλλαβὴν διὰ τοῦ ιος γινόμενα, διὰ τοῦ ἰῶτα γράφεται· οἷον, συντακτὴρ συντακτῆρος, συντακτήριος· ἀστὴρ ἀστέρος, ἀστέριος· αἰθὴρ αἰθέρος, αἰθέριος· οὕτως καὶ ἀὴρ ἀέρος, ἀέριος, καὶ τροπῇ τοῦ α εἰς η ἠέριος. πρόσκειται ὑπὲρ μίαν συλλαβὴν διὰ τὸ θὴρ θηρὸς, θήρειος· λοιπὸν γὰρ ἠέριος, καὶ τὸ θηλυκὸν ἠερία παροξυτόνως, καὶ ἡ εὐθεῖα τῶν πληθυντικῶν ἠερίαι.

ʽΗπεροπετεις: (Il. E. 349.) ʽΕκ τοῦ ἥμερος καὶ τοῦ ὂψ, ὃ σημαίνει τὴν φωνὴν, ὁ ἡμέρῳ ὀπὶ χρώμενος· ἢ ὥσπερ παρὰ τὸ ἔχω, ὀχεὺς, καὶ ἕπω, τὸ λέγω, ὀπεὺς πλεονασμῷ τοῦ περ συνδέσμου περοπεύς· καὶ μετὰ τοῦ α τοῦ σημαίνοντος τὸ κακὸν,

[s] Ev. Io. IV. 24. [t] Hæc corrupta sunt Cod. ὡς πάριο ὠυῶς.

ἀπεροπεὺς, καὶ τροπῇ ὑπεροπεύς· οἱονεὶ, ὁ κακῷ λόγῳ χρώμενος, καὶ ἀπατῶν τινά.

Ἢ τοιόσδε ἐών: (Il. Γ. 46.) Ὁ ἢ σύνδεσμος, καὶ ζευκτικός ἐστι· παρελήφθη δὲ παρὰ τῷ ποιητῇ ἀντὶ τοῦ συναπτικοῦ, οἷον ἐστὶ καὶ ἄλλο,

εἰ καὶ γένει ὕστερος ἦεν. (Il. Γ. 215.)

ἀντὶ τοῦ, ἐὰν καὶ τῷ γένει· οὕτως καὶ

ἢ τοιόσδε ἐὼν

ἀντὶ τοῦ τοιοῦτος ὑπάρχων.

Ἧκα: (Il. Γ. 155.) Ἐπίῤῥημα μεσότητος· γίνεται δὲ παρὰ τὴν αἰτιατικὴν, ὥσπερ παρὰ τὸ πρόσθεν πρόσθα, καὶ ἔνερθεν ἔνερθα, καὶ ἔνθεν ἔνθα· οὕτως ἀκὴν ἧκα· γίνεται δὲ κατὰ μετάληψιν τοῦ αὐτοῦ φωνήεντος, ἀναγκαίως ἀποβλητικὸν γέγονε τοῦ ν.

Ἠΰν: (Il. Ε. 628.) Σημαίνει δύο· τὸν γενναῖον καὶ ἰσχυρὸν, καὶ τὸν ἀγαθόν· καὶ ὁ μὲν γενναῖος παρὰ τὸ ἔω, τὸ ὑπάρχω· ὁ δὲ ἀγαθὸς ἐκ τοῦ ἡδὺς, ἀποβολῇ τοῦ δ ἠΰς· ἐξ οὗ καὶ τὸ θηλυκὸν ἠεῖα καὶ ὁ ποιητὴς,

νῦν τις ἐνηείης Πατροκλοῖο[u] δειλοῖο
μνησάσθω. (Il. Ρ. 670.)

καὶ οὐδέτερον ἠΰ· καὶ ἐπίῤῥημα ἀντὶ τοῦ καθό·

ἠΰτε ἔθνεα. (Il. Β. 87.)

Ἤδη: (Il. Α. 260.) Ἐπίῤῥημα χρόνου δηλωτικόν· συντάσσεται τοῖς τρισὶ χρόνοις· ἐπὶ μὲν τοῦ παρῳχημένου χρόνου·

ἤδη γάρ ποτ' ἐγὼ καὶ ἀρείοσιν. (Il. Α. 260.)

καὶ ἐπὶ ἐνεστῶτος·

ἤδη γὰρ νῦν μοι τόδε εἰκοστὸν ἔτος ἐστίν. (Il. Ω. 765.)

ἐπὶ δὲ μέλλοντος·

ἤδη λοίγια ἔργα τάδ' ἔσσεται. (Il. Α. 518.)

συντάσσεται μετὰ γ´ χρόνων· τὸ γὰρ ἤδη, ἰσοδυναμεῖ τῷ νῦν, μετὰ τριῶν χρόνων συντασσομένῳ· σημαίνει δὲ τὸ ἤδη, ἀντὶ

[u] Edd. Πατροκλῆος.

τοῦ τότε· ἐπειδὴ τὰ ἐπιῤῥήματα μὴ διορίζοντα χρόνον, κἂν δὲ παράστασιν δηλοῦνται ἐπὶ πάντος χρόνου παραλαμβάνεται· "νῦν φρονῶ· νῦν ἐφρόνησα· νῦν φρονήσω· ἤδη γράφω· ἔγραψα· γράψω."

Ἠερέθονται: (Il. Γ. 108.) Ἐκ τοῦ ἀείρω, ὃ σημαίνει τὸ ἐπαίρω· ἐξ αὐτοῦ γίνεται ἀερέθω, καὶ τροπῇ τοῦ α εἰς η ἠρέθω· καὶ διατὶ οὐκ ἔστι ἠράθω; ἐπειδὴ τὰ εἰς ω λήγοντα ῥήματα βαρύνεται, εἰ μὲν μακρὰ παραλήγεται, διὰ τοῦ αθω ποιοῦσι τὴν παραλήγουσαν· κίω κιάθω· εἴργω εἰργάθω· εἴκω εἰκάθω· εἰ δὲ βραχεῖα διὰ τοῦ εθω, φλέγω φλεγέθω· νέμω νεμέθω· τὸ ἀείρω καὶ ἀγείρω κατὰ παραγωγὴν γενόμενα, ἀγειρείσθω καὶ ἀειρείθω, ἀπέβαλον τὸ ἰῶτα, ἵνα μὴ εὑρέθη διὰ τοῦ αθω γινόμενα, μακρᾶς οὔσης τῆς παραληγούσης.

Ἧχι: (Il. Α. 607.) Ἐπίῤῥημα τοπικὸν, καὶ δασύνεται, καὶ περισπᾶται· ἔστιν ᾗ ἐπίῤῥημα, καὶ κατ' ἐπέκτασιν τῆς χι, ᾗχι· ἔχει δὲ καὶ τὸ ι προσγεγραμμένον· τὰ εἰς η λήγοντα ἐπιῤῥήματα ἔχουσι τὸ ι προσγεγραμμένον· ἄλλῃ· τριπλῇ· κομιδῇ· σεσημείωται πέντε· νή· μή· δηλαδή· ἤδη· δή· διατὶ βαρύνεται εἴρηται εἰς τὸ ὀψιτέλεστος.

Ἠέρι: (Il. Γ. 381.) Εἰ μὲν ἀρσενικὸν, σημαίνει τὸν περικεχυμένον ἡμῖν, οὐ τὸν ἔκτοσθεν ἀέρα· γίνεται παρὰ τὸ ἄω, τὸ πνέω,

ἣ τότ' ἐν Ἴδῃ
μακροτάτη πεφυυῖα δι' ἠέρος αἰθέρ' ἵκανε. (Il. Ξ. 288.)

θηλυκῶς δὲ τὴν ἀορασίαν·

ἀὴρ δὲ βαθεῖα ἦν.

Ἤσκειν: (Il. Γ. 388.) Τὸ ῥῆμα ἀσκῶ· σημαίνει τὸ μετὰ πολλοῦ πόνου καὶ κόπου ἐργάζομαι· ἐκ τοῦ ἀσκῶ, ὁ παρατατικὸς ἤσκεον ἤσκουν, ἤσκεες· καὶ τὸ ν ἐφελκυστικὸν γίνεται ἐν τοῖς τρίτοις προσώποις· ἔτυπεν· ἔλεγεν· οὕτως ἤσκεν, καὶ κατὰ συναίρεσιν ἤσκειν.

Ἡγήσατο: (Il. Β. 867.) Ὁμώνυμος φωνὴ ἡ λέξις αὕτη· ὅτε γὰρ δηλοῖ τὸ προηγῆσθαι ὁδοῦ, δοτικῇ συντάσσεται· ὅτε δὲ ἄρχειν, γενικῇ.

Ἥρωες: Ἐκλήθησαν ἀπὸ τῆς ἀρετῆς, ἢ ἀπὸ τοῦ ἀέρος, ὥς φησιν Ἡσίοδος,

ἀέρα ἑσσάμενοι. (Op. I. 125.)

ἢ ἀπὸ τῆς ἐράσεως, τουτέστι τῆς μίξεως τῶν θεῶν· ἢ ἀπὸ τῆς ἔρας, ἔρα δὲ ἡ γῆ κατὰ διάλεκτον· γίνεται ἥρως ἀπὸ τοῦ αἴρω, τὸ κουφίζω· ἢ παρὰ τὸ ἀρῶ, ὃ σημαίνει τὸ ἁρμόζω· τὸ δὲ αἱρῶ σημαίνει ὀκτώ· αἴρω τὸ κουφίζω, ἐξ οὗ τὸ

αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ·

αἱρῶ, τὸ χωρίζω, ἐξ οὗ καὶ τὸ διαιρῶ· αἱρῶ, τὸ προκρίνω, ἐξ οὗ τὸ προαιροῦμαι· ἐρῶ τὸ καθαίρω ἐξ οὗ τὸ ἐρατὸς, καὶ ἐρατὴ, καὶ ἑορτή· ἔρω τὸ ἐρωτῶ ἐξ οὗ τὸ ἠρόμην, καὶ τὸ ἠρώτων· ἐρῶ τὸ λέγω, ἐξ οὗ ὁ παρακείμενος εἴρηκα· ἔῤῥω τὸ φθείρω, ἐξ οὗ καὶ εἴρερος ἡ δούλη, ὡς παρ' Ὁμήρῳ,

εἴρερον εἰσανάγουσιν. (Od. Θ. 529.)

ἔρω τὸ λέγω, ἐξ οὗ καὶ εἴρων, εἰρωνεία.

Ἧμιν: Τὸ ἧμιν πρὸ μιᾶς τὸν τόνον, καὶ ἐγκλίνεται· ἡ γὰρ ἔγκλισις ἢ τῇ προηγουμένῃ λέξει ἀναδίδωσι[x] τὸν τόνον, ἢ τῇ προηγουμένῃ συλλαβῇ, ἢ τῇ προηγουμένῃ λέξει, ὅταν ἐστὶν ἡ λέξις, ἢ μονοσύλλαβος, ἢ δισύλλαβος βραχυκατάληκτος· οἷον εἰμί· "ἄνθρωπός εἰμι." ἔστιν· "ἄνθρωπός ἐστι," μονοσυλλαβὸς δὲ, ὡς τὸ "ἤκουσέ μου·" ὅταν δὲ ἡ λέξις σπονδειακὴ, τότε τῇ προηγουμένῃ συλλαβῇ ἀναδίδωσι τὸν τόνον· "ἐλάλησε ἧμϊν· ἤκουσεν ἧμων· ἔτυψεν ἧμας·" ἐγκλινόμεναι δὲ λέξεις εὑρίσκονται ἐν μὲν ὀνόμασι τὸ τις, οὐ τὸ ἐρωτηματικὸν, ἀλλὰ τὸ ἀνταπόδεικτον[y] οἷον, "ἄνθρωπός τις," καὶ τούτου πᾶσαι πτώσεις καὶ τὰ ὅλα γένη· ἐν δὲ ῥήματι τὰ ὀξυνόμενα· οἷον τὸ εἰμί· φημί· ἐασί· ἐστίν· ἐν δὲ ἀντωνυμίαις τὰ τοῦ πρώτου προσώπου τοῦ πρωτοτύπου, ἀποβάλλοντα τὸ κατ' ἀρχὴν ε τοῦ δευτέρου, καὶ τοῦ τρίτου· ἐν δὲ ἐπιῤῥήμασι τὰ τῶν πυσματικῶν ἀποδόται· οἷον, "πῶς ἦλθεν; ἦλθε πῶς; πόθι ἥκεις; αἴ κε πόθι·" ἐν δὲ συνδέσμοις, ὁ τε, καὶ ὁ κεν συμπλεκτικός· ὁ ῥα, καὶ ὁ

[x] Cod. ἀναδ/ῷ[illegible].   [y] Cod. ἀνταπόδεκτον (δει written above).

νυ, καὶ ὁ ποῦ, καὶ ὁ τοι, καὶ ὁ θεν, καὶ αρ, καὶ ὁ περ, καὶ ὁ πω παραπληρωματικός· γίνεται δὲ ἡ κλίσις οὕτως· ἐὰν μὲν ἡ προηγουμένη συλλαβὴ ἐστὶν ὀξύτονος, ἢ περισπωμένη, ὁ ὀξύτονος καὶ ὁ περισπώμενος τόνος φυλάσσεται, μόνου τοῦ ἐγκλιματικοῦ μορίου μὴ ἐπιδεχομένου τὸν ἴδιον· "Θεός μου βασιλεύς μου· Θωμᾶς ἐστιν· καλός ἐστιν·" εἰ δέ ἐστι λέξις προπαροξύτονος τότε πίπτουσι δύο τόνοι εἰς τὴν λέξιν· "εἷς μὲν ὁ Κύριος" τόνος ἕτερος δὲ ὁ τῆς ἐγκλίσεως· τὸ πλεῖστον διάστασις τοῦ τόνου εὑρίσκεται· οἷον "Γρηγόριός ἐστιν·" εἰ δέ ἐστιν ἡ λέξις πρὸ μιᾶς ἔχουσα τὸν τόνον, ἡ μὲν Πυῤῥιχαϊκὴ οὐκ ἐγείρει τόνον, ἀλλὰ φυλάττεται, ἰδίως ἡ τῆς προηγουμένης λέξεως, καὶ ἰδίως τοῦ ἐγκλιτικοῦ μορίου· οἷον, "τόνος ἐστὶ κόπος φημί." τότε ἐστι δισύλλαβον τὸ ἐγκλιτικὸν μόριον· εἰ δὲ μονοσύλλαβος μόνος φυλάττεται ὁ κύριος τόνος· οἷον, "ὁ τόπος μου·" εἰ δὲ ἐστὶ τροχαϊκὴ, εἰ μὲν προπερισπᾶται ἡ λέξις, φυλάττεται ἡ περισπωμένη ἐν τῷ ἰδίῳ τόνῳ, καὶ ἐγείρει ἐν τῇ ἐπαγομένῃ συλλαβῇ ὀξεῖαν· οἷον, "κῆπός μου· δῆμός με·" εἰ δὲ παροξύνεται γίνονται δύο ὀξεῖαι·

ἄνδρά μοι ἔννεπε. (Od. A. 1.)
δόξά μου·
γενέσθαί τε τραφέμεν τε· (Il. H. 199.)

εἰ δέ ἐστι σπονδειακὴ, ἢ ἰαμβικὴ ἡ λέξις, οὐκ ἐγκλίνεται ἐν τοῖς δισυλλάβοις· οἷον, "ἥρως ἐστίν· Σόλων εἰμί·" ἐν δὲ τοῖς μονοσυλλάβοις φυλάττεται μόνον ὁ κύριος τόνος· οἷον, "λέγων μοι ἐλάλησε·"

φύλλοις τε κατάκομος[z].

Ἡμῖν: Πότε ὀρθοτονεῖται, καὶ πότε βαρύνεται ἐν ταῖς κατ' ἐπιτάσεσι σημασίαις· ὁπότε καὶ ὀρθοτονούμενην καλοῦνται, περισπᾶται· οἷον,

ἡμῖν δ' εἰνατός ἐστι καὶ περιτροπέων ἐνιαυτός. (Il. B. 295.)

καὶ

ὑμῖν μὲν θεοὶ δοῖεν. (Il. T. 264.)

[z] Hinc sæpe corr. Etym. Gud. pp. 243–4.

τοῦ δὲ ἀπολελυμένου τὴν παρατελεύτην· Ἀττικοὶ δὲ καὶ Ἴωνες παροξύνουσι· οἷον,

εἰ δ' ὗμιν δοκέει τόδε λωΐτερον καὶ ἄμεινον. (Od. A. 376.)

καὶ

ὄφρ' ἧμιν Ἑκάεργον ἱλάσσεαι ἱερὰ ῥέξας. (Il. A. 147.)

ἔστι δ' ὅτε τὴν τελευταῖαν συλλαβὴν συστέλλουσι Ἴωνες· τὴν δὲ πρὸ τέλους περισπῶσι· οἷον,

ὦ φίλοι οὐ μὰν ἧμιν ἐϋκλεὲς ἀπονέεσθαι. (Il. P. 415.)

ἀλλὼς ἥμιν παροξύνεται· μακρὰ πρὸ μακρᾶς οὐ περισπᾶται· αἱ δὲ ἀντωνυμίαι ἡνίκα ὁρισμὸν δηλοῦσι μένουσιν ἐν τῷ αὐτῷ τόνῳ· οἷον,

ἡμῖν μὲν τόδ' ἔφηνε τέρας[a]. (Od. O. 168.)

καὶ

ὑμῖν δὲ νεμεσσῶμαι περὶ κῆρι. (Il. N. 119.)

ὅταν δὲ ἀπόλυτον ἔχωσι τὸ σημαινόμενον ἐγκλίνονται· οἷον,

εἴ δ' ὑμῖν δοκέει τόδε λωΐτερον καὶ ἄμεινον. (Od. A. 376.)

καὶ

σὺν δ' ἥμιν δαῖτα ταράξει. (Il. A. 579.)

οὐ χωρίζει γὰρ, ἀλλ' ἀορίστως· παρὰ δὲ τρισὶ διαλέκτοις πεποίηται τὸ ἥμιν· οἱ μὲν Ἴωνες ἐγκλίνοντες ἧμιν λέγουσι, κατὰ συστολὴν τοῦ ἰῶτα περισπωμένως[b]· οἱ δὲ Αἰολεῖς συστέλλουσι τὸ ι καὶ βαρύνουσι, καὶ διπλασιάζουσι τὸ μ ἄμμι λέγοντες· οἱ δὲ Δωριεῖς συστέλλουσι τὸ ι καὶ ὀξύνουσιν.

Ἦ: (Il. A. 27.) Σύνδεσμος ψιλούμενος καὶ ὀξυνόμενος σημαίνει τρία· ἢ διαζευκτικός ἐστιν, ἢ ὑποδιαζευκτικὸς, ἢ διασαφητικός· διαζευκτικὸς μὲν ἐστὶν, ὅταν τὰ ἐν τῇ συντάξει διΐστων· οἷον,

ἠὲ νέος, ἠὲ παλαιός· (Il. Ξ. 108.)

ἢ ἡμέρα ἐστὶν ἢ νύξ·

ὑποδιαζευκτικὸς δὲ, ὁ διάφορα πράγματα τιθεὶς, καὶ μηδέτερον ἐν τῇ αἰτήσει διαιρῶν· οἷον,

τε
[a] Cod. γέρας. [b] Leg. προπερισπωμένως.

δός μοι χρυσὸν ἢ ἄργυρον, ἢ λίθους τιμίους·

διασαφητικὸς δέ ἐστιν, ὅταν τῶν δύο προτεθέντων, τὸ ἓν εἴρηται· οἷον,

κρεῖσσον ἐν γῇ πένεσθαι, ἢ πλουτοῦντα πλεῖν·

καὶ

θέλω τύχης σταλαγμὸν, ἢ φρενῶν πίθον.
ῥανὶς φρενῶν μοι μᾶλλον, ἢ βυθὸς τύχης.

τί διαφέρουσιν ἀλλήλων; ὅτι ὁ μὲν διαζευκτικὸς τὸ ἕτερον μόνον τῶν ὑποκειμένων αἱρεῖται, τὸ δὲ ἕτερον ἀναιρεῖται·

ἢ ἡμέρα ἐστὶν, ἢ νύξ·

τὸ ἕτερον μόνον, οὐ δύναται γὰρ ἀμφότερα·

ἢ ἕστηκα, ἢ καθέζομαι·
ἢ πλουτῶ, ἢ πένομαι·

ὁ δὲ παραδιαζευκτικὸς καὶ ἀμφότερα δύναται παραλαμβάνειν· ἐπειδὰν οὕτω λέγωμεν·

ἐρέσσων, ἤτ' ἐπισπᾶται τὴν κώπην, ἢ ἀπωθεῖται·

ἀμφότερα γὰρ ποιεῖ·

ἠὲ νέος, ἠὲ παλαιός. (Il. Ξ. 108.)

ἀμφοτέρων γὰρ αἱρεῖται τὴν γνώμην· ὅθεν ζητοῦμεν ἐκεῖ ποδαπὸς ἐστὶν,

ἢ λάθετ', ἢ οὐκ ἐνόησε. (Il. I. 537.)

ἔστι δὲ καὶ διασαφητικὸς ὁ ἐλεγκτικὸς καλούμενος παρὰ τοῖς Στωϊκοῖς, οὕτως λύσεις·

βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι, ἢ ἀπόλεσθαι. (Il. A. 117.)

ἔστι γὰρ "ἤπερ ἀπολέσθαι·" ἐν ἤθει δε λέγεται ὑπὸ τοῦ Ἀγαμέμνονος· τὸ ἐν τῇ Ὀδυσσείᾳ πάλιν λύσεις,

πάντες κ' ἀρησαίατ' ἐλαφρότεροι πόδας εἶναι,
ἢ ἀφνειότεροι χρυσοῖό τε ἐσθῆτός τε. (Od. A. 164.)

οὐκ ἔστι γὰρ ἐκεῖ διαζευκτικός· εἰσι γὰρ οἱ ἀπρεπῶς ἐκδέχονται τὴν διάνοιαν· εὔξονται οἱ μνηστῆρες ἢ ταχεῖς εἶναι ἵνα φύ-

γωσιν· πλούσιοι ἵνα πείσωσιν· οὐ παραληπτέον οὖν οὕτως, ἀλλὰ ἐλεγκτικὸν καὶ διασαφητικόν· ἔστι δὲ καὶ διαπορητικὸς ὅτε ὁ προκείμενος βαρύνεται,

ἤ νῶϊν τόδ' ἔφηνε θεὸς τέρας, ἦε σοὶ αὐτῷ. (Od. O. 168.)
ἢ δολιχὴ νόσος[c], ἢ Ἄρτεμις ἰοχέαιρα. (Od. Λ. 171.)

καὶ ἀντὶ τοῦ ει συναπτικοῦ,

ἢ καὶ γένει ὕστερος ἦεν. (Il. Γ. 215.)

περισπώμενος δὲ βεβαιωτικοῦ μόνως,

ἢ μὲν αὖτ' ἀγορῇ νικᾷς γέρον. (Il. B. 370.)
ἦ μὴν[d] καὶ νέος ἐσσί.

τῷ δὲ τι μορίῳ συντασσόμενος παραπληροῖ,

τί δὲ σὺ κήδεο οὕτως[e]. (Il. Z. 55.)

Ἦ:

καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων. (Il. A. 528.)

ῥῆμα ὁριστικὸν ἐνεργητικὸν ἁπλοῦν, προσώπου τρίτου χρόνου ἀορίστου δευτέρου, συζυγίας α' τῶν εἰς μι· τὰ γὰρ τῆς α' συζυγίας τῶν εἰς μι ἄτρεπτον φυλάσσει τὸ η· οἷον, τίθησιν· οὐκ ἀνατραπείη εἰς α·

ἡσὶ δώσομεν· ἡσὶ πατήρ.

φησὶν ἡ Σαπφώ· "ἠτὶ" δὲ λέγει Ἀλκμὰν[f] ἀντὶ τοῦ ἠσίν· ἀλλὰ μὴν τὸ φησὶν φατὶ λέγουσι· τὸ θέμα ἡμὶ, γέγονε παρὰ τὸ φημὶ κατ' ἀφαίρεσιν· τούτου δὲ τὸ ἦν·

ἦν δ' ἐγὼ

ἀντὶ τοῦ ἔφην ἐγώ· τὸ κίνημα παρ' Ὁμήρῳ ἐπὶ μόνου α' ἀορίστου ὁρᾶται· ἐπὶ μόνου τρίτου προσώπου ἐν μόνῳ ἑνικῷ ἀριθμῷ·

ἦ καὶ φωριαμῶν ἐπιθήματα κάλ' ἀνέῳγεν. (Il. Ω. 228.)
ἦ καὶ ἐπ' ἀργυρέῃ κώπῃ σχέθε χεῖρα βαρεῖαν. (Il. A. 219.)

καὶ ἀεὶ δὲ μετὰ τὰ προειρημένα ἐπιλέγει· οὐχ ὥσπερ τὸ φῆ καὶ πρὸ τῶν λεγομένων·

[c] Leg. νοῦσος. [d] Cod. μιν. [e] Edd. τίη δε συ κήδεαι αὔτως.
[f] MS. ἀκμάν.

φῆ γὰρ ὅγ' αἱρήσειν Πριάμου πόλιν. (Il. B. 37.)
φῆ ῥ' ἀέκητι θεῶν φυγεῖν· (Od. Δ. 504.)

οἱ δὲ νεώτεροι καὶ πρὸ τῶν λόγων αὐτὸ τιθέασι, καὶ ἐν πρώτῳ προσώπῳ· καὶ διατὶ τὸ μὲν φῆ γίνεται καὶ ἔφη· τὸ δὲ ἦ μόνως ἐν μονοσυλλαβίᾳ; ὅτι ἀπὸ φωνήεντος ἀρχομένη ἑαυτῇ καὶ λήγουσα, καὶ παραλήγουσα γίνεται.

Ἤερος: Ἀὴρ ἀέρος, καὶ ἡ τροπὴ ἀπὸ γενικῆς ἠέρος· θηλυκῶς δὲ λέγει ὁ ποιητής,

ἀὴρ βαθεῖα. (Od. I. 144.)

ἔστι δ' ὅτε καὶ ἄδηλον κατὰ τὸ γένος, ὡς ἐνταῦθα,

μακροτάτη πεφυυῖα δι' ἠέρος αἰθέρ' ἵκανεν. (Il. Ξ. 288.)

φησὶ δὲ καὶ ἅπαξ ἀρσενικῶς,

περὶ δ' ἠέρα πουλὺν ἔχευεν. (Il. E. 776.)

ἀλλὰ καὶ τὸ πουλὺν κατὰ θηλυκὸν τίθησι,

περόωσι δὲ πουλὺν ἐφ' ὑγρήν. (Od. Δ. 708.)

Ηὔδα: (Il. A. 92.) Συζυγίας δευτέρας τῶν περισπωμένων αὐδῶ· καὶ ὁ παρατατικὸς ηὔδην· τὸ α γὰρ εἴτε μόνον, εἴτε μετὰ τοῦ ι, εἴτε μετὰ τοῦ υ, τρέπεται· ὁπότε μὴ παρὰ πρόθεσις ᾖ· ἄγω ἦγον· αἰτῶ ᾔτουν· αὐλῶ ηὔλουν· τοῦ ηὔδα τὸ δυϊκὸν ηὐδάτην· πῶς οὖν

προσαυδήτην· (Il. Λ. 136.)

ὡς ἐφοίτων ἐφοιτάτην· ἀλλὰ

πάντοσε φοιτήτην. (Il. M. 266.)

ἐσύλατον ἐσυλάτην,

τεύχεα συλήτην. (Il. N. 202.)

καὶ οἱ Ἀττικοὶ διὰ τοῦ α χρῶνται·

φοιτάτην ποτ' ἐς διδασκάλου.

καὶ πάλιν,

τώ δ' οὐκ ἐβοάτην·

ἔσπων, ἔσπας,

ἐσπάτην γνάθον εὔχρηστον·

φαμὲν οὖν ὅτι μικτῇ γίνεται διαλέκτῳ· Δωριεῖς γὰρ τὸ ἐφοίτα ἐφοίτη λέγουσι, καὶ τὸ ἐσύλα ἐσύλη· καὶ τὸ ηὔδα ηὔδη· ὁ γοῦν

Στησίχορος φησὶ "ποταύδη[g]," ὃ λέγει ὁ ποιητὴς "προσηύδα" τὸ μὲν οὖν ὅλον Δώριον φοιτήταν, γέγονε δὲ φοιτήτην μικτόν· τὸ αὐτὸ καὶ ἐπὶ τοῦ

τεύχεα συλήτην. (Il. N. 202.

καὶ "προσαυδήτην."

Ἤ: Δασυνόμενον καὶ ὀξυνόμενον σημαίνει πέντε· ἄρθρον προτακτικόν,

ἥδ᾽ ἑτέρη θερέϊ προῤῥέει εἰκυῖα χαλάζῃ. (Il. X. 151.)

ἄρθρον ὑποτακτικόν,

ἣ μυρί᾽ Ἀχαιοῖς ἄλγε᾽ ἔθηκε. (Il. A. 2.)

ἀντωνυμία ἀναφορική,

ἀλλ᾽ ἥ γ᾽ ἱστὸν ὕφαινε μυχῷ δόμου ὑψηλοῖο. (Il. X. 440.)

ἀντὶ τοῦ ὡς παραβολή,

ᾗ θέμις ἐστὶν ἄναξ ἀγορῇ. (Il. I. 33.)

καὶ ἀντωνυμία σύναρθρον πρώτου προσώπου· ἐμή· σή· ἥ· παραδείγματα οὐκ ἔστι παρ᾽ Ὁμήρῳ, αἱ δὲ πλαγίαι αὐτοῦ κεῖνται· δασυνόμενος δὲ καὶ περισπώμενος τέσσαρα· ἄρθρον ὑπαρκτικὸν πτώσεως δοτικῆς,

ᾗ ἔπι πολλ᾽ ἔπαθον [καὶ πολλ᾽ ἐμόγησα.] (Il. Ξ. 67.)

ἀντωνυμία σύναρθρον τρίτου προσώπου,

εἴ πως ἱμείραιτο[h] παραδραθέειν φιλότητι
ᾗ χροιῇ. (Il. Ξ. 163.)

καὶ ἀντὶ τοῦ ὡς,

ᾗ περ δὴ Κρανέωτε.

καὶ ἀντὶ τοῦ ὅπου,

ᾗ τ᾽ ἀλόχῳ παιδὶ τὸν ἐν μεγάροισιν ἔλειπες[i]. (Od. N. 403.)

καὶ ἐπεκτάσει τῆς χι,

ᾗχι ἑκάστου δῶμα περικλυτὸς Ἀμφιγυήεις. (Il. A. 607.)

ψιλούμενος δὲ καὶ περισπώμενος σημαίνει ἕξ· βεβαίωσιν, ἀντὶ τοῦ ὄντως,

ἦ μάλα δὴ τέθνηκε Μενοιτίου ἄλκιμος υἱός. (Il. Σ. 12.)

καὶ ἀπορηματικὸς ἀντὶ τοῦ ἆρα,

[g] MS. ποτ᾽ αὔδη. [h] Cod. ἱμείρεται. [i] Cod. ἔλειπον.

ἢ οὐκ Ἑλένης ἕνεκ' ἠϋκόμοιο; (Il. I. 339.)

καὶ ῥῆμα ἴσον τῷ ἔφη[j],

ἦ καὶ κυανέῃσιν[k]. (Il. A. 528.)

καὶ ἐρωτηματικὸς,

ἦ ἔτι Μυρμιδόνεσσι πιφαύσκεαι[l]. (Il. Π. 12.)

καὶ παραπληρωματικὸς,

ἐπεὶ πολὺ φέρτερός ἐσσι. (Il. Δ. 56.)

καὶ μετὰ πύσματος ὀξύνεται,

τίη τοι ταῦτ' εἰδυίῃ πάντ' ἀγορεύω; (Il. A. 365.)

καὶ ἀπὸ τοῦ ἔω, τὸ ὑπάρχω, εἰμί· ἦν· ἦς· ἦ, παρατατικὸς, ἀντὶ τοῦ ὑπῆρχε, ψιλούμενος δὲ καὶ βαρυνόμενος σημαίνει ἑπτά. σύνδεσμος διαζευκτικὸς,

ἢ εὖ ἢ κακῶς νοήσομεν[m] υἷες Ἀχαιοί. (Il. B. 253.)

ἀντὶ τοῦ εἰ·

οὐδ' ἀφαμαρτοεπὴς, ἦ καὶ γένει ὕστερος ἦεν. (Il. Γ. 215.)

καὶ ἀντὶ τοῦ πότερον,

ἢ ὅγε φάσγενον ὀξύ. (Il. A. 190.)

καὶ ὁρκωμοτικὸς,

ἦ μέν μοι πρόφρων ἔπεσι καὶ χερσὶν ἀρήξειν. (Il. A. 77.)

καὶ παρέλκεται,

ἀλλὰ τίη μοι ταῦτα. (Il. Λ. 407.)

καὶ διασαφητικός· ὃς οὐδέποτε ἐν ἀρχῇ τίθεται, μετήνεκται δὲ ἀπὸ τοῦ διαζευκτικοῦ εἰς διασαφητικὸν,

βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι, ἢ ἀπολέσθαι. (Il. A. 117.)

Ἧδος: (Il. A. 576.) Ἔστιν ὄνομα οὐδέτερον, καὶ δασύνεται· εἰ καὶ ταῦτα ψιλοῦνται τῷ κανόνι τῷ λέγοντι· τὰ εἰς γ΄ λήγοντα οὐδέτερα δισύλλαβα, εἰ ἀπὸ φύσεως μακρᾶς ἄρχονται, ψιλοῦνται· οἷον εὔχω εὖχος· εἶδος· εὖρος· ἦθος· καὶ ὁ Τρύφων ὁ γραμματικὸς . . . . . τοῖς δασύνουσι τὴν λέξιν ταύτην, διότι ἀπὸ τοῦ ἥδεσθαι, ὃ σημαίνει τὸ τέρπεσθαι γέγονε· καὶ ὥσπερ ἀπὸ τοῦ ἕλκεσθαι ἐγένετο ἕλκος, καὶ ἐφυλάχθη τὸ αὐτὸ πνεῦμα, οὕτως καὶ ἀπὸ τοῦ ἥδεσθαι φυλάξει τὸ αὐτὸ πνεῦμα· γέγονε δὲ

j ἴσιτ (ω supra) ἔφη. k Cod. κυανεθισιν. l Cod. πιφάσκεαι. m Cod. νοή(ει supra)σομεν leg. νοστήσομεν.

ἡ λέξις ἐντεῦθεν· ἔστιν ἆδος, καὶ σημαίνει τὸν κόρον καὶ τὴν πλησμονήν· οἷον,

ἆδος τέ μιν ἵκετο θυμόν. (Il. Λ. 88.)

καὶ ἐπεκτάσει τοῦ α εἰς η ἦδος· ἢ οὕτως· ἔω δηλοῖ τὸ κορεννύω· τούτου παράγωγον ἔδω, τὸ ἐσθιῶ, καὶ ἐπεκτάσει τοῦ ε εἰς η, ἥδω, ἥδομαι, ἀφ' οὗ ἦδος, καὶ κατὰ συστολὴν τοῦ η εἰς α, ἆδος· καὶ ἄδδην ἐπίῤῥημα, τὸ κεκορεσμένον· καὶ γὰρ τὸ τερφθῆναι ἐπὶ κόρου τίθησιν ὁ ποιητής.

Ἠλίβατος: (Il. Ο. 273.) Ὁ ὑψηλὸς ἀπὸ τοῦ ἐκεῖ πρῶτον ἐπιβαίνειν τὸν ἥλιον· τινὲς δὲ ἠλίφατος ἀπὸ τοῦ φωτίζειν τῆς ἀχλύος τὰ ὑψηλά· Ἡλιόδωρος δὲ ἀλίβατον, ἐφ' ἣν ἀλιτεῖν ἐστὶ βαίνοντα· ἢ δι' ὕψος, ἢ διὰ ταχυτῆτα[n].

Ἠΐσκομεν:

μάχῃ ἠΐσκομεν εἶναι. (Il. Φ. 332.)

ἢ ἀπὸ τοῦ εἴσκω ῥήματος·

ἀρνειῷ μιν ἔγωγε ἐΐσκω, (Il. Γ. 197.)

τὸ πληθυντικὸν εἴσκομεν, καὶ ἐκτάσει τοῦ ε εἰς η ἠΐσκομεν.

Ἤμειψα: Οἱ εἰς α λήγοντες ἀόριστοι, ἢ φύσει, ἢ θέσει μακρᾷ θέλουσι παραλήγεσθαι· καὶ φύσει μέν· οἷον, ἐποίησα· ἐνόησα· ἔσπειρα· ἔκειρα· θέσει δέ· οἷον, ἔγραψα· ἔτυψα· ἔλεξα· φύσει δὲ καὶ θέσει· οἷον, ἤμειψα· ἤλειψα· ταῦτα γὰρ καὶ φύσει μακρᾷ παραλήγονται, καθὸ ἔχουσι τὴν ει δίφθογγον· καὶ θέσει, καθὸ ἔχουσι διπλοῦν σύμφωνον ἐπιφερόμενον· ὅθεν ἀναλογώτεροι εἰσὶν οἱ ποιηταὶ ἐπὶ τῶν ἐχόντων ἓν σ· οἷον, ἐσύρισσα· ἐτέλεσα ἐτέλεσσα.

Ἤνεγκα: (Od. Χ. 493.) Τὸ μὲν εἶπα καὶ ἤνεγκα σεσημειῶνται, ὅτι μὴ ἔχοντα τὸ χαρακτηρίζον τὸν α' ἀόριστον σύμφωνον, ὅμως προῆλθε κλινόμενον διὰ πασῶν τῶν ἐγκλίσεων· ἔνεγκον γὰρ τὸ προστακτικὸν, ἐξ οὗ καὶ τὸ τρίτον ἐνεγκάτω· καὶ τὸ πληθυντικὸν ἐνέγκατε, καὶ τὸ ἀπαρέμφατον ἐνέγκαι· καὶ ὁ μέσος παθητικὸς[o] ἠνεγκάμην· τὸ εὐκτικὸν ἐνέγκαιμι· τὸ ὑποτακτικὸν ἐνέγκω· ὁμοίως τοῦ εἶπα εἶπον τὸ προστακτικὸν Συῤῥακουσίως[p],

[n] τραχύτητα. Etym. Gud. p. 240, 33. et Cod. Bar. 50 f. 303 r.
[o] leg. ἀόριστος. [p] Cf. Etym. M. p. 302, 34.

ἀλλ' εἰπόν τι ῥῆμα Πρόκνην καὶ τελευτᾷ

τὸ ἀπαρέμφατον εἶπαι, καὶ τὸ εὐκτικὸν εἴπαιμι, καὶ τὸ ὑποτακτικὸν, ἂν εἴπω· γίνεται δὲ καὶ τὸ ἤνεγκα ἀπὸ τοῦ ἐνέγκω.

Ἤλαλκον: (Il. I. 601.) Ἰστέον ὅτι τὰ φυλάσσοντα τὴν παραλήγουσαν ἐν τῷ β' ἀορίστῳ εὐαρίθμητά εἰσιν· εἰσὶ δὲ ταῦτα, χραισμῶ ἔχραισμον· ὠλισθῶ ὤλισθον· βλαστῶ ἔβλαστον· ἀλαλκῶ ἤλαλκον· ἁμαρτῶ ἥμαρτον· δουπῶ ἔδουπον· τέρπω ἔτερπον· πρὸς διάφορα σημαινόμενα· ἀπὸ μὲν γὰρ τοῦ τέρπω τὸ ἔταρπον· ἀπὸ δὲ τοῦ τρέπω τὸ ἔτραπον· πλήσσω πλήξω, ἔπληγον, καὶ ἔπλαγον· πρὸς διάφορα σημαινόμενα· ὁ γὰρ πλήσσων ἢ πλησσόμενος, ἢ σωματικῶς πλήττεται, ἢ ψυχικῶς· καὶ εἰ μὲν σωματικῶς ἔπληγον· εἰ δὲ ψυχικῶς ἔπλαγον· ἐξ οὗ τὸ πλάγη καὶ ἐξεπλάγη[q]· τὸ δὲ ἐπὶ τοῦ

κατεπλήγη φίλον ἦτορ (Il. Γ. 31.)

ποιητικῶς ἐτράπη τὸ α εἰς η· καὶ ἐπὶ τοῦ πονῶ πονήσω· ὁ γὰρ πονῶν, ἢ σωματικῶς πονεῖ, ἢ ψυχικῶς· καὶ εἰ μὲν σωματικῶς, πονέσω· εἰ δὲ ψυχικῶς, πονήσω· διὰ τοῦτο σημειούμεθα τὸ παρὰ Ἀριστοφάνει[r]

ἔγωγέ τοι πεπόνηκα κομιδῇ τὼ σκέλη

ἐπειδὴ σωματικῶς προενεχθὲν διὰ τοῦ η ἐλέχθη· ἔστι καὶ δέρθω ἔδερθον, τὸ σημαῖνον ἐκοιμήθην· τοῦτο γίνεται καθ' ὑπερβιβασμὸν ἔδραθον· καὶ τὸ ἔπεφνεν, ὅπερ ἀπὸ τοῦ φῶ, τὸ φονεύω, γίνεται φένω διὰ τοῦ ε, ἔφενον, καὶ ἔπεφνον κατὰ συγκοπήν· καὶ τὸ ἐνέγκω ἤνεγκον· καὶ τὸ ἕαδε, ὃ σημαίνει τὸ ἤρεσεν· οὗ τὸ α ποτὲ μὲν ἐκτείνεται, ποτὲ δὲ συστέλλεται.

Ἥσατο: παρὰ τὸ ἥδω, οὗ ὁ α' ἀόριστος ἧσα, καὶ ὁ μέσος ἡσάμην, καὶ τὸ τρίτον ἥσατο,

[τρὶς μὲν ἔδωκα φέρειν τρὶς δ'] ἔκπιεν· ἥσατο δ' αἰνῶς. (Od. I. 353.)

ὁ β' ἀόριστος ἇδον

ἇδε δ' Ἕκτορι[s]. (Il. M. 80.)

συστολῇ τοῦ η εἰς α, λόγῳ παραληγούσης· ἐπεὶ δὲ ἐν τοῖς ὁριστικοῖς οὐ συνήρξατο, διὰ τοῦτο οὐδὲ ἐν ταῖς λοιπαῖς· ἦσαι, ἁδεῖν,

q Cod. ἐξηπλάγου. r Pac. v. 786. s Cod. ἕκτορ.

ὥς μ' ὤφελε θάνατός μοι ἁδεῖν κακός[t]. (Il. Γ. 173.)

Ἧμαι: (Il. Α. 330.) Ἐν τοῖς ῥήμασι τὰ δύο εε εἰς τὴν ει δίφθογγον κιρνῶνται· οἷον ἔδεε ἔδει· ἔπλεε ἔπλει· κέεμαι κεῖμαι· ἐπὶ δὲ τοῦ ἕεμαι εἷμαι, τοῦ σημαίνοντος τὸ κάθημαι· ἵνα μὴ συνεμπέσῃ ἑτέρῳ ῥήματι τῷ σημαίνοντι τὸ ἐνδύομαι τῷ εἷμαι, ἐξ οὗ τὸ

εἱμένος αἴθοπι χαλκῷ·

τοῦτο γὰρ διὰ διφθόγγου ἐκφέρεται· τὸ γὰρ ἐπὶ τοῦ ἐνδύομαι, καὶ συγχωρῶ, καὶ καθέζομαι διὰ διφθόγγου κεκίνηνται, ὡς ἐπὶ τοῦ

Μυρμιδόνας γὰρ οὐκ εἴα ἀποσκίδνασθαι Ἀχιλλεύς. (Il. Ψ. 4.)

καὶ

εἵατο παννύχιοι. (Il. Θ. 554.)

τούτου χάριν συνέλευσις γέγονε τῶν δύο εε εἰς η ἐπὶ τοῦ ἧμαι, τοῦ σημαίνοντος τὸ καθῆμαι· τὸ δὲ ἧμαι σημαίνει δύο, τὸ καθῆμαι, ἐξ οὗ,

ἀλλὰ σὺ μὲν νηυσὶ παρ καθήμενος[u] ὠκυπόροισιν[x]. (Il. Α. 421.)

καὶ τὸ προσεδρεύω χάριν πανούργου, ὡς ἐν τῷ

ἧμαι ἐνὶ Τροίῃ σέ τε κήδων ἠδὲ σὰ τέκνα[y]. (Il. Ω. 542.)

ΑΡΧΗ ΤΟΥ ΘΗΤΑ ΣΤΟΙΧΕΙΟΥ.

Θήσειν: (Il. Ι. 446.) Σημαίνει δύο, τὸ θηλάζω καὶ τὸ ποιῶ.

Θνήσκω: Τὸ θη η διατί; τὰ εἰς κω λήγοντα ῥήματα, εἰ μὲν ἀπὸ ἐνεστῶτος παράγονται, τῷ ἰῶτα παραλήγονται· οἷον, εὑρίσκω· ἀναλίσκω· εἰ δὲ ἀπὸ μέλλοντος, τῷ η· οἷον, κικλήσκω· μιμνήσκω· καὶ ἄλλως· τὰ εἰς κω λήγοντα ῥήματα, εἰ μὲν ἀπὸ τῆς α' συζυγίας παράγοιντο, τῷ ι παραλήγονται· οἷον, εὑρῶ εὑρίσκω· τελῶ τελίσκω· πλὴν τοῦ κικλήσκω· εἰ δὲ ἀπὸ τῆς δευτέρας τῷ α· οἷον, ἡβῶ ἡβάσκω· γενειῶ γενειάσκω· εἰ δὲ ἀπὸ τῆς τρίτης τῷ ο· οἷον[z], τὸ μέντοι θνῄσκω καὶ μιμνῄσκω, ὁ μὲν Δί-

[t] Cod. κακῶς. [u] Leg. παρήμενος. [x] Cod. ἐνκυπόροισιν.
[y] Cod. δακνα. [z] Deest exemplum.

δυμος ἄνευ τοῦ ἰῶτα, ἡ μέντοι παράδοσις οὐκ ἐπείσθη αὐτοῖς, ἐπεὶ οἱ Αἰολεῖς θναίσκω καὶ μναίσκω[a] λέγουσιν.

Θρωσμός: (Il. K. 160.) Ὁ ὑψηλὸς τόπος· ἔστι θορῶ, τὸ πηδῶ, ἐξ αὐτοῦ θορίζω κατὰ παραγωγὴν, ὁ μέλλων θορίσω, καὶ θορισμὸς, καὶ κατὰ συγκοπὴν θορσμός· καὶ ἐν ὑπερβιβασμῷ, καὶ ἐπαυξήσει τοῦ ο εἰς ω, θρωσμός.

Θέτην: Λάκωνες τὸ θ μόνον εἰς σ τρέπουσιν, εἰ μὴ ἡ ἑξῆς συλλαβὴ ἄρχοιτο ἀπὸ τοῦ σ· συμός· σάλλω· σεός· τὸ θέτης ἐφυλάχθη.

Θυμός: (Il. A. 136.) Ποιοῦ εἴδους τῶν ὑποπεπτωκότων; εἰ μὲν σημαίνει τὴν ψυχὴν γενικοῦ, εἰ δὲ τὴν ὀργὴν εἰδικοῦ· τί διαφέρει μῆνις· ὀργή· χολή· κότος· θυμός; μῆνις μὲν ἐστὶν ἡ ἐπίμονος ὀργὴ ἀπὸ τοῦ μένω· χόλος οἱονεὶ κίνησις χολῆς, καὶ αὕτη ἐπ' ὀλίγον χρόνον γίνεται· κότος δὲ πολυχρόνιος μνησικακία, ἀπὸ τοῦ κεῖσθαι· ὀργὴ ἡ ἐπ' ὀλίγον χρόνον, ἀπὸ τοῦ ὀργᾶν· θυμὸς δὲ ζέσις τοῦ περικαρδίου αἵματος, ἀπὸ τοῦ θύειν, τουτέστι μανικῶς ὁρμᾶν.

Θοή: (Il. A. 300.) Παρὰ τὸ θέω, τὸ διὰ τοῦ ε ψιλοῦ· τὰ δὲ διὰ τοῦ εω λήγοντα ῥήματα δισύλλαβα συναιρόμενα κατὰ τὸ δεύτερον καὶ τρίτον πρόσωπον, διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, θέω· ζέω· πλέω.

Θωρῆξαι: (Il. B. 11.) Ἐκ τοῦ θώραξ· τὰ εἰς αξ ἀρσενικὰ φύσει μακρᾷ παραληγόμενα ἐκτείνουσι τὸ α· Φαίαξ· οἴαξ· πλὴν τοῦ θώραξ· τοῦτο παρὰ τὸ θῶ· ὁ μέλλων θώσω, θῶρος· καὶ ὡς λίθος λίθαξ, οὕτως καὶ θῶρος θώραξ, τὸ πολεμικὸν ἱμάτιον· ἔστι καὶ ἕτερον θῶ, τὸ εὐωχοῦμαι· ἐξ οὗ καὶ θοίνη, ἡ εὐωχία· ἐκ τοῦ θώραξ θωρήσσω, θώρηξις· σημαίνει δὲ δύο· λέγεται γὰρ ἐπὶ τῆς καθοπλίσεως, καὶ ἐπὶ τῆς τοῦ οἴνου ἀκρατοποσίας· θώραξ ἐτυμολογεῖται παρὰ τὸ ὧρος, ὃ σημαίνει τὸν φύλακα, ὥραξ καὶ θώραξ, ὁ φύλαξ τῆς ὀρούσης, ὅ ἐστι πηδυώσης[b] καρδίας· γίνεται δὲ παρὰ τὸ θῶ, τὸ ἐν εὐωχίᾳ εἰμί· ἐπὶ δὲ τοῦ χιτῶνος ἀπὸ μεταφορᾶς· τοῦτο ἀπὸ τοῦ περιεχομένου τὸ περιέχον· τί

[a] Cod. μναίσω. [b] Cod. πηδυσ. (with ως written above)

ἐστιν ὁ τρόπος; μετωνυμία· τὸ θωρήσσω ἀπὸ τοῦ θοῦρος, ὁ εἰς πόλεμον ὁρμητικὸς, ἀπὸ τοῦ θέειν ῥᾷον[c].

Θέλω: (Il. A. 133.) Λέγεται καὶ ἐθέλω· ποίας διαθέσεως; οὐδετέρας· τὸ γὰρ ἐθέλω καὶ ζῶ, καὶ πλουτῶ, καὶ ὑπάρχω οὐδετέρας· διότι οὔτε ἐνέργειαν, οὔτε πάθος δηλοῦσιν.

Θερσίτης: (Il. B. 212.) Γίνεται ἐκ τοῦ θέρσω μέλλοντος Αἰολικοῦ θέρω· ὁ θερμαντικὸς ἐν τῷ λέγειν· τὸ σι ἰῶτα· διατί; τὰ διὰ τοῦ ιτης παρώνυμα· καὶ παρώνυμον ἐστὶ ναι· ἔστι γὰρ θέρσος, ὡς βάθος βένθος, καὶ πάθος πένθος, οὕτως οὖν καὶ θάρσος θέρσος· τροπῇ τοῦ α εἰς ε· τὸ σι μακρὸν, καὶ ἅπαντα τὰ διὰ τοῦ ιτης μακρά εἰσι.

Θαλερός: (Il. B. 266.) Παρὰ τὸ θάλλω, τὸ αὔξω· τοῦτο παρὰ τὸ θῶ, τὸ τρέφω· ἀπὸ μεταφορᾶς τῆς τῶν ἀνθρώπων φύσεως· ὁ γὰρ θηλῆς καὶ μαστοῦ μετέχων ἄνεισιν εἰς αὔξησιν.

Θεοπροπέων: (Il. A. 109.) Μετέχει α΄ τῶν περισπωμένων, ὥσπερ τὸ κοιρανέων· ἐκ τοῦ θεοπρόπος θεοπροπῶ· ἔστι δὲ παρασύνθετον ἐκ τοῦ θεοπρόπος· τοῦτο[d] σύνθετον ἐκ τοῦ θεὸς, καὶ τοῦ πρέπω· σημαίνει δὲ τὸ προλέγω, ὁ τὰ ἐκ θεοῦ προλέγων.

Θεσπεσία: (Il. B. 367.) Ἐκ τοῦ θέσπις· πῶς ὀφείλει λέγεσθαι θέσπις καὶ θεσπίς; ὡς ἐλπίς· ἐμπίς· παροξύνεται· κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι τὰ εἰς πις λήγοντα δισύλλαβα φύσει μακρᾷ παραληγόμενα, εἰ μὲν ἀπὸ συμφώνου ἄρχονται, βαρύνονται· οἷον τράπις· ἔστι δὲ βαρβαρικὴ ναῦς· κάλπις κάλπιδος· θέσπις θέσπιδος· εἰ δὲ ἀπὸ φωνήεντος ἄρχονται ὀξύνονται· ἐλπίς· ἐμπίς· ἀσπίς.

Θῦνον: (Il. B. 446.) Ῥῆμα παρατατικὸν πρώτου προσώπου· ἔστι γὰρ ἔθυνον· ὁ ἐνεστὼς θύνω, τὸ ὁρμῶ, καὶ ὄνομα ῥηματικὸν θῦνος, καὶ πλεονασμῷ τοῦ ἑτέρου νυ θύννος· ὅπερ ἐν τῇ κοινῇ συνηθείᾳ θύνος λέγεται· κλίνεται δὲ ὡς ἡ πάρθενος· ἡ θύννος, αἱ θύννοι, ὡς αἱ μυροφόροι[e].

Θέσκελος: (Il. Γ. 130.) Θεοείκελος, καὶ ἐν συγκοπῇ

[c] Cf. Etym. M. p. 460, 14. [d] Cod. οὗ τό. [e] Cf. Etym. M. p. 459, 14.

θεόκελος· καὶ ὥσπερ θεόφατον θέσφατον, οὕτως καὶ θεόκελος θέσκελος· ἔστι δὲ οὐδέτερον.

Θάλαμος: (Il. Γ. 142.) Σημαίνει δύο· καὶ εἰ μὲν σημαίνει τὸν νέον οἶκον, ἐν ᾧ εἰσέρχεται ἥτε νύμφη καὶ ὁ νυμφίος, γίνεται παρὰ τὸ θάλλω[f].

Θάμβος: (Il. Γ. 342.) Σημαίνει τὴν ἔκπληξιν· εἴδους τῶν ὑποπεπτωκότων εἰδικῷ· τὸ γενικὸν φόβος· θάμβος παρὰ τὸ θάπειν· πλεονασμῷ τοῦ β, καὶ τροπῇ τοῦ π εἰς μ διὰ τὴν ἀσυνταξίαν· τὸ θάπος παρὰ τὸ θήπω.

Θύγατρα: (Il. Α. 13.) Ἐκ τοῦ θυγάτερα κατὰ συγκοπὴν ἀναδοθέντος τοῦ τόνου· αἱ γὰρ συγκοπαὶ ἀναβιβάζουσι τοὺς τόνους· ἁρμόσαντες ἄρσαντες· ὁμόπατρος ὄπατρος· γίνεται δὲ παρὰ τὸ θύω καὶ τὸ γαστήρ· λέγεται γὰρ τὰ θήλεα τάχιον κινεῖσθαι ἐν τῇ [ἐν] μήτρᾳ.

Θῖνα: (Il. Α. 34.) Παρὰ τὸ θείνω, τὸ τύπτω· ἔστι δὲ θηλυκοῦ γένους· οἷον,

ἐκβάντες ἐπὶ θῖνα·

θείνω σημαίνει δύο, τὸ τύπτω, τὸ φονεύω.

Θαμειαί: (Il. Α. 52.) Παρὰ τὸ θαμὰ ἐπίῤῥημα, σημαίνει δὲ τὸ συνεχὲς καὶ πυκνόν· γίνεται οὖν θαμὸς θαμειὸς καὶ θαμειά· τὸ δὲ θαμὰ ἐκ τοῦ ἅμα πλεονασμῷ τοῦ θ· σεσημείωται κατὰ τόνον· οὕτως ὁ Ὠρίων· ὁ δὲ Χάραξ μᾶλλον τὸ ἅμα ἐκ τοῦ θαμὰ παράγει ἀποβολῇ τοῦ θ, καὶ βαρύνει· τὸ δὲ θαμὰ ἐκ τοῦ θαμὸς θαμὴ καὶ θαμὸν, καὶ θαμὰ ἐπίῤῥημα· γράφεται διὰ τῆς ει διφθόγγου· σημαίνει δὲ τὸν συνεχῆ· θαμειὸς καὶ τὸ θηλυκὸν θαμειά· ὁ κανών· τὰ ἀπὸ τῶν εἰς ος διὰ τοῦ ιος γινόμενα, ἡνίκα προπαροξύνονται διὰ τοῦ ἰῶτα γράφεται· οἷον, ὀρθὸς ὄρθιος· λοῖσθος λοίσθιος· κάπρος κάπριος· Αἰτωλὸς Αἰτώλιος· αἰζηὸς αἰζήϊος· ὅμοιος ὁμοίϊος· γέλοιος γελοίϊος· ἡνίκα δὲ ὀξύνεται διὰ τῆς ει διφθόγγου· οἷον θαμειός· ἀδελφειός.

Θνήσκω: (Il. Α. 56.) Παρὰ τὸ θνῶ θνήσω θνήσκω· ὡς τρῶ τρώσω τρώσκω, καὶ τιτρώσκω· καὶ βρῶ βρώσω, βιβρώσκω.

[f] Vid. Etym. M. p. 441, 13.

Θεοπρόπιον: (Il. A. 85.) Τὸ ἐκ θεοῦ μάντευμα· παρὰ τὸ ἔπω ἔπιον, τὸ λόγιον· ὡς λέγω λόγιον· καὶ μετὰ τῆς προ, προέπιον, καὶ ἐν συγκοπῇ πρόπιον, καὶ μετὰ τῆς θεὸς θεοπρόπιον· οὗτοι γὰρ ὡς πάντα ἐπιστάμενοι λέγουσι τὰ τοῖς ἀνθρώποις ἠγνοημένα· οἱονεὶ θεοπρόπιον, τὸ ἐκ θεοῦ προλεγόμενον.

Θέμιστας: (Il. A. 238.) Παρὰ τὸ τίθημι θεμός· μετὰ τοῦ σ θεσμὸς, καὶ θέσμις κατὰ ἀποβολήν· καὶ κλίνεται θέμιδος καὶ θέμιτος· καὶ θέμιστας κατὰ πλεονασμόν.

Θέσπιδος: Ὁ κανών· τὰ εἰς ις θηλυκὰ διὰ τοῦ π ἐκφερόμενα, εἴτε ἁπλᾶ, εἴτε σύνθετα, διὰ τοῦ δος κλίνονται.

Θέμεναι: (Il. B. 285.) Ὁ κανών· ἐπὶ τῶν εἰς ναι ἀπαρεμφάτων εἰώθασιν οἱ Δωριεῖς ἐπεντίθεναι τὴν με συλλαβήν· καὶ εἰ μὲν εὕρωσι δύο φωνήεντα, τὸ ἓν ἀποβάλλουσιν· οἷον, θεῖναι, θέμεναι· δοῦναι δόμεναι· εἰ δὲ ἓν, φυλάττουσιν, γνῶναι γνώμεναι.

Θοῆ:

> Ἄζετο γὰρ μὴ νυκτὶ θοῇ. (Il. Ξ. 261.)

σημαίνει τὸ ὀξύ·

> νήσοισιν ἐπιπροέηκε θοῇσιν. (Od. O. 298.)

Ὀξείαις δηλονότι· Ὀξεῖαι γὰρ οὕτω καλοῦνται νῆσοι περὶ τὴν Κεφαλήνιαν· σημαίνει δὲ καὶ τὸ τάχυ, ὡς τὸ

> νῆάς γε θοάς. (Il. M. 7.)

τὰς ταχείας· καὶ τὸ ἰσχυρόν·

> ἦ καὶ ἀκόντισε δουρὶ θοῶς. (Il. E. 533.)

ἀντὶ τοῦ ἰσχυρῶς· ἔνθεν τὸ

> Αἰνείας δ' οὐ μεῖνε θοός περ ἐὼν πολεμιστής. (Il. E. 571.)

τὸ λέγειν αὐτὸ ἀγαθὸν πταῖσμα· ἡγοῦμαι γὰρ τὸν ἄνδρα καὶ ἰσχυρὸν λέγειν αὐτὸν, καὶ γὰρ μενεπτόλεμον καὶ μενεχάρμαν· σημαίνει δὲ καὶ τὸ ἀσφαλές·

> θοῶς δ' ἐπὶ δεσμὸν ἴηλα. (Od. Φ. 241.)

ἀντὶ τοῦ ἀσφαλῶς· ἐκ τούτου δὲ τὸ ἑδραῖον καὶ ἐκ τοῦ ἑτῆσθαι τὸ ἰσχυρόν· καὶ "θοὴν δαῖτα" τὴν ἑδε[g] καὶ ἀκίνητον, διὰ τὸ καθέζεσθαι καὶ ταύτης τυγχάνειν· ἔνθεν καὶ τὸ θοάζειν,

[g] Fors. ἑδραῖαν.

τίνας ποθ' ἕδρας τάσδε μοι θοάζετε[h]·

οὕτως οὖν καὶ

θοὰν νύκτα.

τὴν ἑδραῖαν, οὐκ ὥς τινὲς, τὴν μέλαιναν, ἀλλὰ τὴν ἀκίνητον, ὅτε ἀκινεῖται τὰ φύλα[i] πάντα· ταύτῃ γὰρ καὶ

νὺξ ἀβρότη. (Il. Ξ. 78.)

εἴρηται κατὰ στέρησιν τοῦ προιέναι· καὶ τὸ

νύκτος ἀμολγῷ. (Il. Λ. 173.)

οὐχ ὡς ἔνιοι κατ' ἐκεῖνο τῆς ὥρας ᾗ ἀμέλγεται τὰ θρέμματα, ἀλλ' ἀπὸ τοῦ μολῶ, ἀμολῶ, καὶ ἀμολγῶ, ὡς ἀπὸ τοῦ θῶ οὖν γέγονε τίθημι· τὸ δὲ τιθέμενον ἀσφαλές· καὶ παρὰ τῷ Ἀντιμάχῳ,

Ἀΐδος ἐκπρολιποῦσα θοὸν[k] δομὸν

οὐ τὸν μέλανα, ἀλλὰ τὸν ἀκίνητον· σημαίνει δὲ καὶ τὸ μέγα· Πίνδαρος ἐπὶ τοῦ Ὥτου[l] καὶ Ἐφιάλτου,

πίτνοντες[m] θοὰν κλίμακα οὐρανὸν ἐς αἰπύν·

τὴν μεγάλην δηλονότι·

θοαῖς ἀφροσύναις

ἀντὶ τοῦ μεγάλαις· καὶ

θοὴ δ' ἐπεδέξατο γαῖα[n]·

μεγάλη· καὶ

θοῆς ἕστηκε πόλεως·

μεγάλης.

Θύρσος: Παρὰ τὸ θύω τὸ ὁρμῶ· πλεονασμῷ τοῦ ρω· γίνεται δὲ ἐπείσοδος τοῦ ρ, ὡς ἐν τῷ ἐγρήγορα· καὶ ἰδὼς ἱδρώς· καὶ ἀρτεμὴς,

ὡς εἶδον καὶ ἀρτεμέα προσιόντα. (Il. Ε. 515.)

ἀτρεμὴς γάρ· τὸ θύρσος καὶ πυρσὸς ὅμοια τῷ χαρακτῆρι· καὶ ὁμοιοκατάληκτα μὲν, οὐ μὲν ὁμοιότονα· οὐ γὰρ ὅμοια κατὰ τὸν πλεονασμόν· τὸ μὲν γὰρ τῷ ρω πλεονάζει, φημὶ τὸ θύρσος· τὸ δὲ ἕτερον τῷ σ, ὤφειλε γὰρ πύρος· νῦν δὲ πυρσὸς

[h] Soph. Œd. Tyr. v. 2. [i] MS. φιλα (ύ written above). [k] MS. δο''. [l] MS. ἐπὶ ου (ὤω τι written above).
[m] Leg. potius πιτνῶντες. [n] Cod. γᾶ.

ἐγένετο· ἴσως δὲ ἵνα μὴ συνεμπέσῃ τῷ πυρὸς, ὃ σημαίνει τὸν σῖτον.

Θυμός: (Il. Α. 173.) Ὄνομα τῷ εἴδει ῥηματικόν· ἀπὸ γὰρ τοῦ θύω, καὶ θύσω, καὶ θύνω, θυμός· ὁ ἀεὶ ἐν κινήσει τυγχάνων· ὥσπερ καὶ ἡ καρδία ἀπὸ τοῦ κραδαίνεσθαι· ὥσπερ δὲ ἀπὸ τοῦ ὄρω πλεονασμῷ τοῦ μ ὁρμὴ, καὶ ἀπὸ τοῦ ὄδωδα ὀδὴ, καὶ ὀδμή· καὶ ὥσπερ ἀπὸ τοῦ γνάθω γναθμός· καὶ ὥσπερ ἀπὸ τοῦ ὄχω ὀχὸς, καὶ ὀχλὸς, καὶ μοχλὸς, οὕτως ἐπεισόδῳ τοῦ μ θυμός.

Θεά: (Il. Α. 280.) Παρὰ τὸ θεὸς, ἢ παρὰ τὸ θέειν ἀεί· ἰστέον δὲ ὅτι τὰ εἰς ος ἁπλᾶ καθαρὰ ποιοῦντα θηλυκὰ, εἰς α αὐτὸ ποιοῦσιν· οἷον θεὸς θεά· κύριος κυρία· εἰ δὲ μὴ ὦσι καθαρὰ εἰς ἦτα· οἷον σοφὸς σοφή· τὰ δὲ σύνθετα ὁμοφώνως ἐκφέρονται τοῖς ἀρσενικοῖς· οἷον, ἀθάνατος καὶ ἡ ἀθανάτη· οἱ μέντοι Ἀθηναῖοι τὸ ἐναντίον ποιοῦσιν· ἐπὶ μὲν τῶν ἁπλῶν ὁμοφώνως τοῖς ἀρσενικοῖς· ὁ θεὸς καὶ ἡ θεός· ὁ σοφὸς καὶ ἡ σοφός· ἐπὶ δὲ τῶν συνθέτων εἰς ἦτα· οἷον ἀθάνατος ἀθανάτη· ἀρίζηλος ἀριζήλη.

Θείομεν: (Il. Α. 143.) Ὑποτακτικὸν δευτέρου ἀορίστου· ἔχει διαίρεσιν κατὰ πλεονασμὸν τοῦ ἰῶτα· ὡς γὰρ τὸ ἐὰν βῶ κατὰ διαίρεσιν καὶ πλεονασμὸν,

ὄφρ' ἂν ἐγὼ βείω ποτὶ Ἴλιον. (Il. Ζ. 113.)

καὶ τὸ ἐὰν στῶ,

μή πως περιστείωσ' ἑνὰ πολλοί. (Il. Ρ. 95.)

δαμῶ δαμείω,

ἵνα πληγῆσι δαμείω. (Od. Σ. 54.)

οὕτως ἐὰν θῶ θείω· εἶτα ἀκόλουθον θείωμεν· καὶ κατὰ συστολὴν θείομεν, καταβείομεν, καὶ κατακείομεν

μὴ ἴομεν Δαναοῖσι μαχησόμενοι περὶ νηῶν. (Il. Μ. 216.)

Θέλω: (Il. Α. 233.) Τοῦ ἐθέλω διαφέρει· ὅτι τὸ μὲν θέλω ἐστὶ τὸ ἁπλῶς βούλομαι· οἷον, "θέλω περιπατεῖν· θέλω καθέζεσθαι·" τὸ δὲ ἐθέλω ἐστὶ τὸ ἐξ ἔθους καὶ κατὰ ἀναγκὴν ἐπό-

μενον τοῖς ἀνθρώποις· οἷον, "ἐθέλω ἀναπνεῖν" φυσικὸν γὰρ καὶ ἀναγκαῖον· "ἐθέλω φαγεῖν" καί,

ἐθέλει εἶναι ὁ Αἰθίοψ μέλας

ἐξ ἀνάγκης γάρ· παρὰ δὲ τῷ ποιητῇ τρισυλλάβως ἀεὶ εὑρίσκεται τὸ ἐθέλω· ἀμελεῖ ἐν τῷ

μήτε σὺ Πηλείδη' θελ' ἐριζέμεναι βασιλεῦσι. (Il. A. 277.)

κορωνὶς τίθεται δηλοῦσα ὅτι κρᾶσις ἐγένετο τοῦ ε καὶ α εἰς η· ἰστέον δὲ ὅτι ἡ κορωνὶς οὐκ ἐν πάσαις ταῖς κράσεσι τίθεται, ἀλλὰ τότε ἡνίκα ἐν τῇ ἁρμογῇ τῶν δύο λέξεων· γίνεται δὲ ἡ κρᾶσις οἷον, τὸ ἐμὸν τοὐμόν· τὸ ἔργον τοὖργον· εἰ δὲ μὴ ἐν τῇ ἁρμογῇ τῶν δύο λέξεων γίνεται ἡ κρᾶσις, οὐ τίθεται ἡ κορωνίς, ὡς ἐν τῷ νόος νοῦς, καὶ πλόος πλοῦς.

Θυμός: (Il. A. 136.) Ὄνομα γένους· διαιρεῖται εἰς τέσσαρα εἴδη· εἰς ὀργήν· μῆνιν· χόλον· κότον· καὶ πόθεν ἕκαστον ἐτυμολογεῖται γέγραπται.

Θράττειν: Ταράττειν· γίνεται ἀπὸ τοῦ ταράσσω· [ταράττειν γίνεται ἀπὸ τοῦ ταράσσω] ταράττειν, καὶ ἐν συγκοπῇ τράττειν[o], καὶ τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ θράττειν· καὶ παρὰ τὸ τέρας τέρατος τερατεία, καὶ ἐν συγκοπῇ τερτρεία, καὶ τερθρεία.

Θρώισκω: (Il. N. 589.) Σὺν τῷ ἰῶτα, καὶ

θρῴσκουσι κύαμοι·

Δίδυμος δὲ χωρὶς τοῦ ἰῶτα· ἀπὸ γὰρ τοῦ θορήσω μέλλοντος φησὶν γεγενῆσθαι· ὡς τρώσω τρώσκω καὶ διπλασιασμῷ τιτρώσκω· οὕτω θωρήσω θρώσκω συγκοπῆς γενομένης τοῦ ἰῶτα, καὶ μεταβολῇ· οἱ δὲ ἄλλοι πάντες σὺν τῷ ἰῶτα· οὕτως δὲ ἔχει ἡ παράδοσις· καὶ δῆλον ὅτι παρὰ τῷ θορῷ γέγονε παράγωγον θωρίσκω, ἐξ οὗ μεταθέσεως τοῦ ρ προσεχῶς[p] γενομένης τοῦ ἰῶτα ἀκολούθως· καὶ τὸ θρωσμὸς σὺν τῷ ἰῶτα, ὥσπερ καὶ Ἀπολλώνιος ὁ Ἀρχιβίου· ἐπεὶ παρὰ τὸ θορίσκειν ἔστιν· σημαίνει γὰρ τοπὸν ψιλὸν ἐν τῷ πέδῳ ἀφ' οὗ ἐστι θορεῖν·

ἐπὶ θρωσμῷ πεδίοιο. (Il. K. 160.)

[o] Cod. πράττειν. [p] MS. ἀκολούθως προσεχῶς.

θορισμὸς καὶ θρωσμός· γίνεται δὲ πολλάκις ἔκτασις τοῦ ο, ὡς τὸ ὠλεσίκαρπος, καὶ

μήστωρε φόβοιο. (Il. E. 272.)

καὶ Διώνυσος[q], *καὶ*

θεοὶ δωτῆρες ἐάων. (Od. Θ. 325.)

Ἀττικῶς.

Θρᾴιξ: *Σὺν τῷ ἰῶτα, καὶ τὸ παρ' αὐτὸ θηλυκόν· ἐν γὰρ ἐντελεστέρῳ αὐτοῦ Θρῆϊξ καὶ Θρήϊσσα· πέπονθεν οὖν τὸ Θρᾷξ συναίρεσιν, καὶ τὸ θηλυκὸν δὲ τὸ Θρᾴσσα τὸ ἰῶτα ἔχει· ὡς γὰρ Θρῆϊξ, οὕτως καὶ Θρήισσα· καὶ Ἀττικοὶ δὲ διὰ τοῦ α καὶ δύο ττ προφερόμενοι, προσγράφουσι τὸ ἰῶτα· Θρᾷττα, καὶ τὸ ὑποκοριστικὸν ἑκάστου ἔχει τὸ ἰῶτα· Θρᾴκη, Θρᾳκίας, καὶ μετὰ τοῦ σ Θρᾳσκίας καὶ Θρῃσκίας*[r].

ἈΡΧΗ ΤΟΥ ἸΩΤΑ.

Ἴχνια: (Il. N. 71.) *Ὁμοτόνως τῷ παίγνια· τὸ μὲν γὰρ παρὰ τὸ ἵξω μέλλοντα, τὸ δὲ παρὰ τὸ παίζω· τὰ γὰρ ἀπὸ μακρᾶς ἀρχόμενα ἔχει παροξυνόμενα τὰ ὑποκοριστικὰ οὐδέτερα· τυρὸς τυρίον· χρυσὸς χρυσίον· ἕρκος ἑρκίον· τεῖχος τειχίον· χωρὶς τοῦ φρούριον· τὰ δὲ ἀπὸ βραχείας οὔ· φακὸς φάκιον· λαγὼς λάγιον· ῥάκος ῥάκιον· νάκος νάκιον· τὸ δὲ ἴχνιον ὡς συμφώνῳ ὑγρῷ συνεζευγμένον οὐ ποιεῖ μακράν*[s].

Ἰσχάς: *Οἷον ἀπὸ τῆς ἰσχύος· ἐπειδὴ πρὸ τοῦ τὴν κρεωδαισίαν δοθῆναι τοῖς Ἀθηναίοις ἐχρῶντο τῇ ἰσχάδι, ὅ ἐστι κατισχνασμένον σῦκον· ἔστι δὲ βαρεῖα τροφή· ἢ ὅτι ἕως τούτου προβαίνων ὁ καρπός· πρῶτον γάρ ἐστιν ὄλυνθος· εἶτα φήληξ· εἶτα σῦκον· καὶ ἔσχατον ἰσχάς· ἡ ἴσχειν ποιοῦσα τὴν αὔξησιν*[t].

Ἴδη: (Il. B. 821.) *Ἀπὸ τοῦ ὕψους· ἰδεῖν γάρ ἐστιν αὐτὸ ὑπὲρ τὰ ἄλλα· ἢ ὅτι ἀπ' αὐτοῦ ἰδεῖν ἐστὶ τὰ λοιπά· καὶ Ὅμηρος*

αὐτὰρ ὁ θαυμάζων ἧστο πόλεμόν τε μάχην τε

[q] MS. *διόνυσος.* [r] Cf. Etym. M. p. 454, 21. [s] Vid. Etym. M. p. 251, 15. [t] Cf. Etym. M. p. 479, 14.

ὕψου ἐπ' ἀκροτάτης κορυφῆς. (Il. N. 11.)

ἢ ὃ μάλιστα ἰδεῖν ἐστὶ τῶν ἄλλων· ὡς Ὅμηρος,

ὅτε φαίνεται οἷον ἀπ' ἄλλου

περὶ τῆς Ἴδης.

Ἰονθάς: (Od. Ξ. 50.) Ἡ ἔκφυσις τῶν τριχῶν· ὠνόμασται δὲ ἀπὸ τοῦ εἰς τὸ ἄνω ἰέναι τὴν τριχὰ, ὡς ἄνθος βλαστάνουσαν· "ἰονθάδος" οὖν, δασείας· οὐ δὲ γὰρ ὁ ἴονθος ἀλλ' ἡ τῶν τριχῶν ῥίζα.

Ἰάπτω: (Od. Β. 376.) Παρὰ τὸ ἴπτω, ἐξ οὗ καὶ τὸ

μέγα δ' ἴψαο λαὸν Ἀχαιῶν. (Il. A. 454.)
ἀνίψαλον δὲ παῖδα [t],

ἔφη ὁ Στησίχορος· εὕρηται δὲ καὶ τὸ ἰάπτω· τὸ δὲ ἴπτω κατὰ πάθος· γίνεται δὲ τὸ ἰάπτω παρὰ τὸν ἰὸν, ὃς τὴν ἑαυτοῦ οὐσίαν κατεσθίει.

Ἶξον: (Il. E. 773.)

οἵ δ' ἶξον κοίλην Λακεδαίμονα κητώεσσαν. (Od. Δ. 1.)

δευτέρου ἀορίστου· ὃν οὐκ ὤφειλεν ἔχειν τὸ ξ, ἀλλὰ τὸ κ· ἀπὸ γὰρ τοῦ ἥκω ἔστιν· ὁ δὲ Ἡρωδιανὸς ἐκ μέλλοντος λέγει μετατεθεῖσθαι εἰς ἐνεστῶτα, καὶ εἶναι παρατατικοῦ πληθυντικοῦ· οἷον, ἵξομεν, ἵξετε, ἶξον· ἀλλ' ἀντικεῖται τῇ Ἡρωδιανοῦ δόξῃ τὸ σημαινόμενον, οὐ γὰρ παράτασιν σημαίνει ὅτι παρεγένοντο, ἀλλὰ συντέλειαν ὅτι παραγεγόνασι· δεῖ δὲ μὴ τῆς φωνῆς ἀκολουθεῖν τὰ μέρη τοῦ λόγου, ἀλλὰ τοῖς σημαινομένοις· δεύτερος οὖν ἀόριστος ἐστὶ κατὰ τὸν Ἀπολλώνιον· ἔστι γὰρ ἶκον, καὶ κατὰ τροπὴν Βοιωτικὴν τοῦ κ εἰς ξ, οὗ τὸ προστακτικὸν ἶξε, ὡς τὸ

οἶσε θέειον γρηῦ. (Od. X. 481.)

καὶ τοῦ ἀορίστου δεῖ λέγειν εἶναι· ἴσως ποιητικῶς μεταπλασθέντος τοῦ τέλους, ὡς τὸ τύψον καὶ λάβον· τὸ γὰρ ἀνάλογον τύψε καὶ λάβε· ἀλλὰ Συῤῥακουσίῳ ἔθει, ὡς δέδεικται, τὸ τύψον καὶ λάβον.

Ἰφθίμους: (Il. A. 3.) Παρὰ τὸ ἶφι, ὃ σημαίνει τὸ ἰσχυ-

[t] Idem fragmentum rursus citatur in v. προίαψεν. Etym. M. p. 110, 45. habet v. ἀνίψαλλον sed celato nomine poetæ.

ρῶς καὶ γενναίως, παρήχθη ἴφιμος· ὡς πρωῒ πρώϊμος· τοῦ μέσου ἰῶτα βραχέος ὄντος, καὶ πλεονασμῷ τοῦ θ, ἴφθιμος· μετὰ γὰρ τὸν πλεονασμὸν ὑποτίθενται οἱ χρόνοι· τοῦ μὲν πρώτου συσταλέντος φύσει, τοῦ δὲ ἑξῆς ἐκταθέντος· ἢ παρὰ τὸ ἶφι καὶ τὸ θυμὸς, ὃ σημαίνει τὴν ψυχὴν, ἰφίθυμος, ὁ ἔχων τὴν ψυχὴν ἰσχυράν· καὶ κατὰ ἀποβολὴν τοῦ ι, καὶ τροπὴν τοῦ υ εἰς ι, ἴφθιμος· τὸ δὲ ἶφι, παρὰ τὸ ἲς, ὃ σημαίνει τὴν δύναμιν· ἰνὸς ἰνόσφι, καὶ συγκοπῇ ἶφι, τὸ δὲ ἲς παρὰ τὸ ἔω, τὸ ὑπάρχω· ἡ ὑπάρχουσα ἐν τινί.

Ἵκεσθαι: (Il. A. 19.) Ἐκ τοῦ ἥκω, τὸ παραγίνομαι· τοῦτο ἐν μὲν τοῖς πεζολόγοις διὰ τοῦ η γράφεται, καὶ ἐν τοῖς ἰαμβολόγοις ὁμοίως διὰ τοῦ ἦτα ἐν τοῖς ἐνεργητικοῖς μόνον· ἐν δὲ τοῖς παθητικοῖς διὰ τοῦ ἰῶτα· οἱ δὲ ποιητικοὶ πανταχοῦ διὰ τοῦ ἰῶτα.

Ἴδηι:

ἢ ἵνα ὕβριν ἴδῃ. (Il. A. 203.)

δεῖ γινώσκειν ὅτι τοῦτο τὸ ἴδῃ δίχα τοῦ σ γράφεται· ἔστι δὲ ἡ μετοχὴ εἰδὼς εἰδότος· καὶ ὤφειλεν εἶναι τὸ εὐκτικὸν ἴδοιμι, καὶ οὐκ ἰδείην· διότι τὰ ἔχοντα τὴν γενικὴν μετοχὴν εἰς σ μετ᾽ ὀξείας διὰ τοῦ ντ κλινομένην, εἰς ην καθαρὸν ἔχουσι τὸ εὐκτικόν· οἷον τυφθεὶς τυφθέντος τυφθείην· αὕτη οὖν ἡ μετοχὴ εἰ καὶ εἰς σ λήγει μετ᾽ ὀξείας τάσεως, ἀλλ᾽ οὖν οὐ κλίνεται διὰ τοῦ ντ· οὐκ ὤφειλεν οὖν εἶναι ἰδείην, ἀλλ᾽ ὥσπερ ἀπὸ τοῦ περιπατοῖμι γίνεται περιπατοίην, κατὰ τροπὴν τῆς μι εἰς ην, τὸν αὐτὸν τρόπον ἀπὸ τοῦ ἴδοιμι γέγονεν ἰδείην· ἐπειδὴ καὶ εἰς νυ καθαρόν ἐστι τὸ εὐκτικόν· τὰ δὲ εἰς ην καθαρὸν ἔχοντα τὸ εὐκτικὸν, εἰς ω μετὰ περισπωμένου τόνου ἔχουσι τὸ ὑποτακτικόν· οἷον τυφθείην, ἐὰν τυφθῶ· τούτου χάριν καὶ ἐὰν ἰδῶ γέγονε τὸ ὑποτακτικόν· οἷον,

ὄφρ᾽ εὖ εἰδῶ. (Il. A. 415.)

κανόνος ἀναγκάζοντος αὐτὸ βαρύνεσθαι· τὰ γὰρ εἰς ω ὑποτακτικὰ τότε περισπᾶται ἡνίκα ὦσι μετὰ περισπωμένου ἐνεστῶτος· οἷον ποιῶ· "ἐὰν ποιῶ." καὶ ἐὰν ἔχωσι τὴν μετοχὴν εἰς σ μετ᾽ ὀξείας τάσεως, καὶ διὰ τοῦ ντ κλινομένην, ὡς ἀνωτέρω εἴρηται·

τοῦτο δὲ οὐκ ὤφειλε περισπᾶσθαι, ὡς εἴρηται, ἐπειδὴ ἐγένετο εἰς ην τὸ εὐκτικὸν καθαρόν.

ʽΙπποκορτστοῦ[u]: (Il. B. 1.) ʽΟ κανών· τὰ σύνθετα τὴν τῶν ἁπλῶν φυλάττουσι κλίσιν· τὰ δὲ εἰς ης ὀνόματα ἀρσενικά, μὴ ὄντα σύνθετα ἀπὸ τοῦ κρατῶ ἢ κράτος, μὴ δὲ ἔχοντα οὐδέτερον εἰς ες, εἰς ου ἔχει τὴν γενικήν· πρόσκειται ἀρσενικὰ διὰ τὸ φιλότης· κακότης· πρόσκειται μὴ ὄντα ἀπὸ τοῦ κρατῶ ἢ κράτος, διὰ τὸ ʽΙπποκράτης ʽΙπποκράτους· πρόσκειται μὴ ἔχοντα οὐδέτερον εἰς ες, διὰ τὸ πενταέτης[v] πενταέτους· ἑξαέτης ἑξαέτους· πενταέτες γὰρ καὶ ἑξαέτες.

ʼΊστω: (Il. H. 411.) Παράλογα τὰ δύο ταῦτα· ἴστω καὶ ἔστω ἔχοντα τὸ σ καὶ τ· ὅσα γὰρ εἰς τῳ λήγεται προστακτικά, οὐδέποτε πρὸ τοῦ τ ἔχει τὸ σ· λεγέτω· φερέτω· βοάτω· ποιείτω· ὅσα δὲ ἔχει τὸ σ, τὸ θ ἔχει, ἀλλ᾽ οὐ τὸ τ· ἀλύσθω· τιθέσθω· ζευγνύσθω· λέγομεν οὖν κατὰ πάθος ταῦτα γενέσθαι· τὸ μὲν ἴσθι ἐκ τοῦ ἰσάτω κατὰ συγκοπήν· τὸ δὲ ἔστω ἐπὶ τοῦ ὑπαρχέτω·

ὧδ᾽ ἔστω ʽΕκάεργε. (Il. H. 34.)

παρὰ τὸ ἔω τὸ παράγωγον ἐμί, τὸ πληθυντικὸν ἐμέν·

γρῆες ἐμὲν

ὁ Κυρηναῖος Καλλίμαχος[x], ἀντὶ τοῦ εἰμέν· τοῦ ἐμὲν τὸ προστακτικὸν ἔθι, καὶ πλεονασμῷ τοῦ σ ἔσθι· ʽΕκαταῖος·

ἐνθάδι ἔσθι·

ὅπερ οἱ Ἀττικοὶ ἴσθι κατὰ τροπήν, ὥσπερ τὸ ἔσχω ἴσχε·

ἴσχε τέκος μὴ πίθι[y]·

ʼΊφθιμος: (Il. A. 3.) ʼΌνομα ἐπιθετικόν· ἰφθίμους Τρύφων ἀπεδήλωσεν τοὺς ἰσχυρούς· Ζηνόδοτος τοὺς ἀγαθούς· τί γὰρ φησὶν ἐροῦμεν;

ἰφθίμη ἄλοχος Διομήδεος. (Il. E. 415.)

Κράτης δὲ καὶ ἐπὶ τοῦ κακοῦ ἀκούει,

οἱ δ᾽ ἀΐοντες

φοίτων ἴφθιμοι Λαιστρυγόνες. (Od. K. 119.)

[u] Cod. ἱπποκριστοῦ debuisset ἱπποκορυστής, ἱπποκορυστοῦ. [v] Cod. πανταετς. [x] Eustathius id laudat fragmentum Od. Γ. p. 113. Callim. Frag. 294. Bl. [y] Hoc fragmentum etiam ex Callimacho desumptum esse nos docet Anonym. Auctor de Barbarism. et Solœcism. Cod. Barocc. 216. quem primum vulgavimus in Philolog. Mus. No. iv. p. 113.

οἱ κακοί· τοῦ ἴφθιμος ὁ Σέλευκος λέγει πλεονασμὸν εἶναι τοῦ θ, ὥσπερ παρὰ τὸ φέγγος φέγγεσθαι καὶ φθέγγεσθαι, παρὰ τὸ εἰς φῶς προάγειν τὸν λόγον· ἡ δὲ διὰ τοῦ ιμος αὕτη παραγωγὴ[z] ποικίλην ἔχει τὴν γένεσιν, καὶ γὰρ ἀπὸ ἀρσενικοῦ· νόμος νόμιμος· ἀπὸ θηλυκοῦ· ἀλκὴ ἄλκιμος· ἀπὸ οὐδετέρων· πρωῒ πρώϊμος· καὶ ἀπὸ ἐνεστώτων· προσδοκίμος· καὶ ἀπὸ μελλόντων· φοιτήσιμος· ἀπὸ ἐπιῤῥημάτων· ὄψιμος· πρώϊμος· καὶ ἀπὸ τοῦ βρι· ὄβριμος· ἀπὸ προθέσεως οὐδέποτε· σημειῶδες τὸ

καὶ Πέριμον Μεγάδην. (Il. Π. 695.)

εἰ μὴ ἄρα καὶ τοῦτο ἀπὸ ἐνεστῶτος· ὡς παρὰ τὸ ὠφέλω ὠφέλιμος· περῶ πέριμος· καὶ οὕτως ἂν φυλαξαίμεθα τὴν ἀπὸ τῆς προθέσεως παραγωγήν.

Ἱδρώς: (Il. Ε. 796.) Τοῦτο παρ' Αἰολεῦσιν θηλυκῶς λέγεται· ἀναδέχεται κλίσιν ἀκόλουθον θηλυκῷ γένει·

ἄδεμ' ἴδρως κακὸς χέεται·

ὅμοιον τῷ ἠώς· εἶτα ἡ γενικὴ ἱδρῶς ἀμφότερα ἀντὶ τοῦ ἱδροῦς, ὡς μελάγχρως ἀντὶ μελάγχρους· καὶ "αἰδῶς ἄξιος" ἀντὶ αἰδοῦς· κλίνεται ἱδρὼς ἱδρῶτος· τὰ εἰς ως λήγοντα ὀξύτονα ὑπὲρ μίαν συλλαβὴν κοινὰ, μὴ Ἀττικὰ, διὰ τοῦ τος κλίνεται· ἀπτὼς ἀπτῶτος· ἀγνὼς ἀγνῶτος· εὐρὼς εὐρῶτος· οὕτως καὶ ἱδρῶτος· πρόσκειται κοινὰ διὰ τὸ λαγὼς, Ἀττικὸν γὰρ, ὡς καὶ τὸ νεώς· ἔστι ῥῆμα ἰδῶ, ὃ καὶ δύο λέγεται ψιλὰ,

ἴδιον, ὡς ἐνόησα[z]. (Od. Υ. 204.)

ἰδὼς καὶ ἱδρώς· πλεονασμῷ τοῦ ρ καὶ μεταβολῇ τοῦ πνεύματος· καθόλου πρὸ τοῦ δ ψιλοῦσθαι θέλει τὸ ι· ὑπεσταλμένων δύο, ἱδρύω καὶ ἱδρώς.

Ἰωή: (Il. Δ. 276.) Ἰῶ ἰωή. ἐρῶ ἐρωή· τὰ τῷ ω παραληγόμενα ὀξύνονται.

Ἱκάνω: (Il. Α. 254.) Τὸ ι ἰῶτα· διατί; τὰ διὰ τοῦ ανω ῥήματα, ἀπὸ τῶν εἰς ω βαρυτόνων παραγόμενα, πλεονάζει ταύτῃ τῇ συλλαβῇ τοῦ πρωτοτύπου, καὶ συστέλλει τὴν παραλήγουσαν· οἷον λήβω λαμβάνω· λείπω λιμπάνω· ἥδω ἀνδάνω· πήθω πανθάνω· ἥκω ἱκάνω.

[z] Cod. ἐνενόησα.

Ἵππος: (Il. A. 154.) Τὸ πρὸ δύο συμφώνων τῶν αὐτῶν, ψιλοῦται· ἰλλός· ἴννος·

ἰλλάσιν οὐκ ἐθέλοντα. (Il. N. 572.)

τὸ ἵππος δασύνεται ἐκ τῆς ἀναπτύξεως τῆς ἐτυμολογίας· παρὰ γὰρ τὸ ἱέναι τοὺς πόδας, ἢ ἵπτασθαι τοῖς ποσίν.

Ἱπποβότοιο: (Il. B. 287.) Ὄνομα ἐπιθετικὸν οὐδέτερον· τὴν γενικὴν ταύτην τινὲς Θεσσαλῶν εἶπον· ἐγὼ δὲ ποιητῶν· οὐδεὶς γὰρ ὃς οὐκ ἐχρήσατο ταύτῃ τῇ γενικῇ· σύγκειται παρὰ τὸ βοτὸν, ὅπερ ἀπὸ τοῦ βῶ· οὗ ὁ μέλλων βόσω, καὶ ἐπενθέσει τοῦ κ βόσκω· ἐξ οὗ καὶ βόσις· ὡς παρὰ τὸ κλήσω κλήτωρ, οὕτω βόσω βοτὴρ, καὶ ἐκτάσει βότωρ· παρὰ τὸ καὶ συβώτης συβώσιον· καὶ τὴν κίβισιν ἐτυμολογοῦσι τινὲς, ἐν ᾗ τὰ πρὸς βόσιν καὶ τροφὴν ἔχουσι· τὰ δὲ εἰς ος ὀκταχῶς συντάσσεται.

Ἴδη:

ὄφρα ἴδῃ πρότερον πόσιν. (Il. Γ. 163.)

Ζηνόδοτος γράφει

ὄφρα ἰδῇς.

καὶ

ἵνα ὕβριν ἰδῇς. (Il. A. 203.)

Ἀρίσταρχος δὲ,

ὄφρα ἴδῃς·

ἑκατέρως δὲ ἀφορμὴν ἔχει· ἡ μὲν Ζηνοδότου β′ ἀορίστου· ἡ δὲ Ἀριστάρχου μέσου ἀορίστου α.

οὔπω γὰρ τοίους ἴδον ἀνέρας οὐδὲ ἴδωμαι. (Il. A. 262.)

καὶ τὸ δεύτερον ἴδῃ· καὶ ἡ μὲν Ζηνοδότου Ἰακὴ, ἡ δὲ Ἀριστάρχου κοινή. οὐδέποτε οὕτω κοινῶ χρῆται, ἀλλ᾽ ἐπεκράτησεν ἡ Ἀριστάρχου.

Ἵππειον: (Il. O. 537.) Ὄνομα ἐπιθετικὸν τῷ εἴδει κτητικόν· παρὰ τὸ ἵππος ἵππειος, καὶ ἱππεὺς παρὰ τὸ ἵππος, καὶ ἱππάζω, καὶ ἱππεύω, καὶ Ἵππασος ὄνομα· διατὶ δασύνεται; τὸ ι πρὸ δύο συμφώνων τῶν αὐτῶν, ψιλοῦται· σεσημείωται τὸ ἵππος ὅτι παρὰ τὸ ἵημι.

Ἱδρῶς: (Il. E. 796.) Παρ᾽ Αἰολεῦσιν θηλυκῶς λέγεται, καὶ κλίνεται ὡς[a] τὸ ἠώς· ἰδίω ἔσι[b] ῥῆμα, ὃ καὶ ἰδία καὶ ἰδὼς καὶ

[a] Cod. om. ὡς, sed vide supra in pr. Ἱδρώς. [b] Sic Cod.

ἱδρώς· ὀξύνεται· τὰ εἰς ως λήγοντα ὀνόματα ἁπλᾶ διὰ τοῦ τος κλινόμενα ἐπὶ γενικῆς ὀξύνονται, ἢ μακρὰν ἔχει τὴν πρὸ τέλους, ἢ μετοχὴ ὑπάρχει· εἰ δὲ ἰαμβικὰ βαρύνεται· εὐρώς· ἱδρώς· ἀραρώς· τοῦ δὲ ἑτέρου· ἔρως· γέλως· τότε Εἵλως, Ἕλως γὰρ ἦν.

Ἶρις: (Il. B. 786.) Παρὰ τὸ εἴρω γράφεται διὰ τοῦ ἰῶτα· καὶ τὸ Ἶρος, καί τοι παρὰ τὸ εἴρειν,

οὕνεκ' ἀγγέλλεσκε κιὼν ὅτε κέν τις ἀνώγοι. (Od. Σ. 7.)

Ἴκελος: (Il. B. 478.) Ὄνομα ῥηματικὸν ὡς πέμπελος· εἴδελος· καὶ ἀείδελος· Σθένελος· ἄγγελος παρὰ τὸ ἄγω πλεονασμῷ τοῦ γ· γίνεται δὲ παρὰ τὸ εἴκω, τὸ ὁμοιῶ· γίνεται δὲ διὰ τοῦ ἰῶτα, ὡς ἐν ἄλλοις· τοιοῦτον καὶ τὸ ἴδρις παρὰ τὸ εἴδω· ἐξ οὗ τὸ οἶδα· ἀλλὰ ὁ ἴδιος, ὁ γνωστὸς ἡμῶν· καὶ παρὰ τὸ εἴσω τούτου μέλλοντα ὁ ἵστωρ Ἀττικοῖς δασύνθη, ἀλλὰ καὶ ἴδμων· ὁ γὰρ εἰδήμων, ὡς ἀπὸ περισπωμένου γέγονε, καὶ φυλάττει τὴν ει δίφθογγον· ἔστι δὲ εἴδω καὶ τὸ ὁμοιῶ,

εἰδομένη ξείνῳ. (Od. A. 105.)

ἐξ οὗ ὁ μέλλων εἴσω· ἐξ οὗ τὸ εἴσκω καὶ ἐΐσκω· παρὰ τοῦτο οὖν τὸ εἴδω γίνεται ἐκ τοῦ μέλλοντος τοῦ εἴσω ἶσος· κυρίως δὲ ἶσον τὸ ὅμοιον τινί·

ἶσος Ἐνυαλίῳ.

Ἶσος: (Il. A. 163.) Τὸ ι μακρὸν κατὰ ποιητήν· κατὰ δὲ τοὺς πεζολόγους βραχύ· κατὰ δὲ ἰαμβικοὺς ἐπαμφοτερίζει· ἴσως δὲ καὶ ὁ ποιητὴς Δωρικῶς ἐκτείνει τὰ δίχρονα· ὡς τὸ ὕδωρ καὶ ἰλύς· καὶ

Ἆρες Ἄρες· (Il. E. 31.)

Ἴμεν: (Il. A. 170.) Εἶμι τὸ πορεύομαι· τὸ πληθυντικὸν ἴμεν· τὸ ἀπαρέμφατον ἰέναι, ὡς τίθεμεν τιθέναι· ἢ ἔστιν ἵημι, ὁ παρατατικὸς ἵην, καὶ ἡ μετοχὴ ἱεὶς ἱέντος, καὶ τὸ ἀπαρέμφατον ἱέναι.

Ἵππουριν: (Il. Γ. 337.) Ἐκ τοῦ ἵππος καὶ τοῦ οὐρά· ἢ ἐξ ἱππείας οὐρᾶς· ἡ εὐθεῖα ἡ ἵππουρις· διατὶ προπαροξύνεται· τὰ εἰς ρις λήγοντα ὑπὲρ δύο συλλαβὰς, τῇ διὰ τοῦ υ διφθόγγῳ παραληγόμενα, ἅπαντα ὀξύνεται· οἷον, μολουρὶς, σημαίνει δὲ τὴν σιτηφάγον ἀκρίδα· νοσουρίς· σεσημείωται τὸ λάμπουρις· ση-

μαίνει δὲ τὴν ἀλώπεκα, καὶ τὸ ἵππουρις· καὶ τὸ Τόμουρις· ἔστι δὲ ὄνομα πόλεως· ἱππούριδος ὁ κανών· ἔστι δὲ καὶ ὅσα τὸ φ ἔχει[c].

Ἴαψεν: Ἀόριστος α΄ τὸ θέμα ἰάπτω· καὶ τὰ λοιπὰ δῆλον· τὸ δὲ ῥῆμα τοῦτο ποιητικόν· ὁ ἐνεστὼς γὰρ μόνος εὑρίσκεται· ὁ γὰρ ἀόριστος ἀπὸ τοῦ ἴπτω γέγονε, τοῦ σημαίνοντος τὸ βλάπτω, καὶ κατὰ πλεονασμὸν τοῦ α ἰάπτω· ὡς ἐν ἑτέροις λέγει ὁ ποιητής,

μετά δ' ἴψαο λαὸν Ἀχαιῶν. (Il. Α. 454.)

τὸ δ' "ἴψαο" ἐκ τοῦ ἴπτω ἴψω· ὁ μέσος ἀόριστος ἰψάμην, ἴψαο· Ἰωνικῶς μόνως λεχθὲν, τὸ δὲ ἴπτω παρὰ τὸ ἰὸς, τὸ βέλος· τὸ δὲ βέλος παρὰ τὸ ἵημι τὸ πέμπω.

Ἰάπτω: (Od. Β. 376.) Βαρύτονον· πᾶν ῥῆμα εἰς πτω λῆγον βαρύνεται, εἰ μὴ προκατάρχῃ ὄνομα, ἢ διαστολὴ γένοιτο σημαινομένου· σκάπτω· ῥίπτω· τὸ γὰρ ῥιπτῶ Ἀττικὸν, ἢ ποιητικόν. νίπτω· τύπτω· τὸ δὲ τυπτήσω, ὡς ἀπὸ περισπωμένου· ἴπτω· θάπτω· πρόσκειται εἰ μὴ διαστολὴ γένηται, διὰ τὸ ὀπτῶ πρὸς ἀντιδιαστολὴν τοῦ ὄπτω· ἢ προκατάρχῃ ὄνομα, διὰ τοῦ ἄβλεπτος ἀβλεπτῶ· ἄπεπτος[d] ἀπεπτέω· ἀλείπτης φιλαλειπτῶ.

Ἰών: (Il. Α. 138.) Ἀόριστος β΄ μετοχή· τὸ θέμα εἴω ὁ β΄ ἀόριστος ἴον· ἢ ἔστιν ἔω, τὸ πορεύομαι· καὶ πλεονασμῷ τοῦ ἰῶτα, εἴω· ὡσαύτως δηλοῖ τὸ πορεύομαι,

ἐγκίκρα ὡς εἴω[e],

καὶ ὁ β΄ ἀόριστος ἴον.

Ἱλασσάμενοι: (Il. Α. 100.) Μετοχῆς παθητικῆς· συζυγίας δευτέρας τῶν περισπωμένων· τὸ θέμα ἱλῶ, ἱλᾶς, ἱλάσω· ἐκ τούτου τὸ ἱλάσθητι, καὶ ἱλασμός· ἐκ τούτου καὶ τὸ ἱλασσάμενος πλεονασμῷ τοῦ σ διὰ τὸ μέτρον· ἐκ τοῦ ἱλῶ ἵλημι, ἐξ οὗ καὶ τὸ ἵλαθι προστακτικόν.

Ἱπποκορυσταί: (Il. Β. 1.) Ὄνομα σύνθετον ἐκ τοῦ ἵππος, καὶ τοῦ κορυστής· τὸ κορυστὴς ἀπὸ τοῦ κορύσσω· τοῦτο ἀπὸ κορύνη· ἔστι δὲ ἐπικαμπὲς ῥόπαλον· γίνεται οὖν μετὰ τὸ ἵππος

[c] Cf. Etym. M. p. 474, 1. [d] Cod. ἄπεμπτος. [e] Vid. supr. in v. Ἔγχος.

ἱπποκορυστής· καὶ διατὶ οὐκ ἀνεβίβασε τὸν τόνον; ἐπειδὴ τὰ εἰς της ὑπὲρ μίαν συλλαβὴν ἐν τῇ συνθέσει τοῦ ἁπλοῦ φυλάττουσι τὸν τόνον· οἷον ληστὴς ἀρχιληστής· μισοδανειστής· ἐρανιστής[f]· χωρὶς τοῦ κριτὴς καὶ ἀληθής· δικαιοκρίτης γὰρ καὶ φιλαλήθης.

Ἱπποδάμοιο: (Il. Δ. 370.) Πᾶσα γενικὴ εἰς φωνῆεν λήγουσα, ἢ ἐκτείνει τὴν λήγουσαν, καὶ συστέλλει τὴν παραλήγουσαν· οἷον, Ἀτρείδεω· Πριαμίδεω· ἢ τοὐναντίον· οἷον, καλὸς καλοῦ καλοῖο· σοφὸς σοφοῦ σοφοῖο· διατὶ προπερισπᾶται; αἱ διὰ τοῦ οιο Θετταλικαὶ γενικαὶ εἰ μὲν ἀπὸ περισπωμένων γενικῶν ὦσι προπερισπῶνται· οἷον καλοὺ καλοῖο· εἰ δὲ ἀπὸ βαρυτόνων προπαροξύνονται· Ἀλέξανδρος Ἀλεξάνδροιο· ἀχράντου ἀχράντοιο.

Ἴλιος: (Il. Δ. 46.) Παρὰ τὸ Ἶλος, ὄνομα κύριον· τὸ ι μακρόν· τὸ ι, ἐπιφερομένου συμφώνου, ἑνὸς ἁπλοῦ ᾧ ὑποτάσσεται τὸ ι, ἢ τὸ υ, φιλεῖ ἐκτείνεσθαι· χωρὶς τῶν ἀπὸ κλίσεως· οἷον ἶβις ὄνομα ὀρνέου· Ἴβυκος ὄνομα ποιητοῦ· ἰδίω τὸ ἱδρῶ[g]· ἰθὺς ἰθύω· ἴθι· Ἶσις ὄνομα κύριον· σεσημείωται τὸ ἴτυς συστελλόμενον· χωρὶς τῶν ἀπὸ κλίσεως εἴπομεν, διὰ τὸ ἴθι, τὸ προστακτικόν· διατὶ ψιλοῦται; τὸ ι πρὸ τοῦ λ ἐκτεταμένου μὲν ὄντος, ψιλοῦται· Ἴλιος· ἴλλος· συνεσταλμένου δὲ δασύνεται· ἱλασμός· ἱλαρύνω· ἱλαρός· ἱλάσκω· σεσημείωται τὸ ἵλεως μακρὸν ἔχον τὸ ι καὶ δασυνομένον· ἔστι δὲ καὶ οὐδέτερον τὸ Ἴλιον.

Ἱκέσθαι: (Il. Α. 19.) Ἐκ τοῦ ἥκω· τὸ δὲ ἐκ τοῦ ἵημι ἥσω ἧκα, καὶ ἥκω· ἐξ οὗ καὶ δασύνεται· ἀπὸ δὲ τοῦ παρακειμένου τοῦ ἧκα γίνεται κατὰ Συῤῥακουσίους ῥῆμα ἥκω· ὡς πεποίηκα πεποιήκω· καὶ ὅτε μὲν σημαίνει τὸ παραγίνομαι καὶ ἔρχομαι, γράφεται διὰ τοῦ η· ὅτε δὲ σημαίνει τὸ κατέλαβε, τὸ ἐνεργείᾳ παρεγένετο, γράφεται διὰ τοῦ ἰῶτα,

κνίσση δ' οὐρανὸν ἶκε. (Il. Α. 317.)

παροξύνεται· πᾶν εἰς θαι λῆγον ἀπαρέμφατον ὁμοτονεῖν θέλει τῷ ἰδίῳ ὁριστικῷ, πλὴν τοῦ παθητικοῦ παρακειμένου, καὶ τοῦ

[f] Suppl. ἀρχεπανίστης cum Etym. M. p. 474, 23. [g] Cf. supr. v. Ἱδρώς.

μέσου ἀορίστου β′· σεσημείωται τὸ ἔρεσθαι παρὰ τῷ ποιητῇ προπαροξυνόμενον μέσου ἀορίστου β′ ὄν·

ἀλλὰ θέλω σε φέριστε περὶ ξείνοιο ἔρεσθαι. (Od. Α. 405.)

συνεξηκολούθησε δὲ τὸ δέρεσθαι, καὶ φέρεσθαι.

Ἱκάνω: (Il. Α. 254.) Μέλλοντα οὐκ ἔχει· τὰ γὰρ διὰ τοῦ ανω ῥήματα ἄχρι τοῦ παρατατικοῦ κλίνονται· τὸ κα μακρόν· πλὴν τοῦ ἱκάνω· κιχάνω· ἐν τούτοις διατί; ἐπειδὴ δύο ἀποδείξεις εἰσὶ περὶ τούτου· ὅτι ἡ ἐπὶ τῆς ἀρχούσης φύσει μακρὰ οὖσα εἰσῆλθεν ἐν τῇ παραληγούσῃ· καὶ ἡ μὲν παραλήγουσα ἐξετάθη, ἡ δὲ ἄρχουσα συνεστάλη· ἔστι γὰρ τὸ ἵκω μακρὰ,

καί μευ κλέος οὐρανὸν ἵκει. (Il. Θ. 192.)

καὶ

κνίσση δ' οὐρανὸν ἷκε. (Il. Α. 317.)

λοιπὸν οὖν κατὰ τὸν λόγον ὃν εἴπομεν, ἡ ἐν τῇ ἀρχούσῃ μακρὰ εἰσῆλθεν ἐν τῇ παραληγούσῃ· ὁ δ' ἄλλος κανών· οὐδέποτε παρατατικὸς ἀορίστου β′ σημασίαν ἀναδέχεται· πλὴν τοῦ ἱκάνω· κιχάνω· ἐκίχανε γὰρ, τουτέστι κατέλαβε, καὶ οὐχὶ κατελάμβανε· διατὶ δασύνεται; τὸ ι πρὸ τοῦ κ δασύνεται· οἷον ἵκω· ἱκέτης· ἱκάνω· εἴρηται δὲ καὶ ἐκ τῆς συναλιφῆς δασυνόμενον,

ἡ μὲν δὴ πρὸς τεῖχος ἐπειγομένη ἀφικάνει. (Il. Ζ. 388.)

Ἵδρυσεν: Ἐκ τοῦ ἱδρῶ· τοῦτο ἐκ τοῦ ἵζω, τὸ καθέζομαι· καὶ τροπῇ τοῦ ζ εἰς δ Αἰολικῶς, ὡς ζυγὸς δυγὸς, γίνεται ἵδω, καὶ κατὰ παραγωγὴν ἱδύω, καὶ πλεονασμῷ τοῦ ρ ἱδρύω, καὶ καθιδρύω· διατὶ δασύνεται· τὸ ι πρὸ τοῦ δ ψιλοῦται, χωρὶς εἰ μὴ ὑποτάσσοιτο τὸ ρ μετὰ φυσικῆς μακρᾶς· Ἰδουμαῖος· Ἰδαῖος· Ἴδη· ἰδιώτης· τὸ ἱδρῶς δὲ καὶ ἱδρύω δασύνεται· ποῖον δὲ ἐστὶ τὸ φύσει μακρὸν τὸ δρως καὶ δρυ τὸ ιδ ἱδρυθέν·

ἀλλ' αὐτός τε κάθησο καὶ ἄλλους ἵδρυε λαούς. (Il. Β. 191.)

τὸ δὲ ἴδρις ψιλοῦται διότι οὐχ ὑποτάσσεται τὸ ρ μετὰ φυσικῆς μακρᾶς,

γέρων μὲν εἰμὶ, καὶ κακῶν πολλῶν ἴδρις[h].

Ἴδμεν: (Il. Α. 124.) Ῥῆμα ἐνεστῶτος τῆς εἰς μι συζυ-

[h] Cf. Etym. M. p. 466, 36.

γίας πρώτης· ἔστι γὰρ ἴσημι, καὶ ἡ μετοχὴ ἴσας· βαρύνεται· ὤφειλε δὲ εἶναι ἰσὰς ὀξυτόνως· ὡς ἱστάς· κιχράς· ἀλλὰ συνεξηκολούθησε ταῖς δισυλλάβοις μετοχαῖς· τὸ σχίσας· πρίσας· κτίσας· αἱ γὰρ εἰς ας δισύλλαβοι μετοχαὶ τῷ ι παραλήγονται βαρύτονοι· ἐκ τούτου οὖν ἴσημι, τὸ πληθυντικὸν ἴσαμεν, καὶ ἐν συγκοπῇ ἴσμεν· καὶ τροπῇ τοῦ σ εἰς δ ἴδμεν· τὸ τρίτον ἴσασι, καὶ προπαροξύνεται· γίνεται ἐκ τοῦ εἴδω, εἴσω, ἶς, καὶ μετὰ τοῦ νη στερητικοῦ νῆϊς, ὁ ἀμαθὴς καὶ ἄπειρος,

οὐδέ με νῆϊδά γ' οὕτως
ἔλπομαι. (Il. H. 199.)

ὁ β' ἀόριστος ἴδον, ἴδομεν, καὶ ἐν συγκοπῇ ἴδμεν.

Ἰδνῶ[1]: (Il. B. 266.) Τὸ ἐπιστρέφομαι, ὁ τὸ ἰνίον δονηθείς· καὶ τὸ ἐπικαμφθῆναι· παρὰ τὸ ἵζω· τὸ ἵζω δασύνεται, καὶ γίνεται ἰδνῶ, τραπέντος τοῦ ζ εἰς δ Δωρικῶς, καὶ πλεονασμῷ τοῦ ν· ὡς ἀλαπάζω ἀλαπαδνῶ, τὸ δὲ ἰδνῶ ψιλοῦται.

Ἱππόβοτος: (Il. B. 287.) Διατὶ ἀνεβίβασε τὸν τόνον; γίνεται ἐκ τοῦ βῶ βήσω βοτὸς καὶ ἱππόβοτος· τὰ εἰς ος ὀξύτονα δισύλλαβα ἐν τῇ συνθέσει προπαροξύνονται· οἷον, φατὸς ἀρηΐφατος·

αἵ ῥά τε φῶτας ἀρηϊφάτους κατέδουσι. (Il. T. 31.)

βατὸς ἄβατος,

ἔνθα μάλιστα
ἄμβατός ἐστι πόλις. (Il. Z. 434.)

χωρὶς εἰ μὴ παρασύνθετα ὦσι, διὰ τὸ μετρῶ μετρήσω, μετρητός,

διαμετρητῷ ἐνὶ χώρῳ. (Il. Γ. 344.)

Ἵππος: (Il. A. 154.) Γράφεται δύο ππ πρὸς ἀντιδιαστολὴν τοῦ ἶπος, τοῦ σημαίνοντος τὴν παγίδα τῶν μυῶν· δασύνεται· τὸ ι πρὸ δύο συμφώνων τῶν αὐτῶν ψιλοῦται· οἷον ἰλλοί· σημαίνει δὲ τοὺς διαστρόφους τοῖς ὀφθαλμοῖς· ἰλλὰς, σημαίνει τὸν δεσμόν· ἴκκος τὸν ἵππον σημαίνει· σεσημείωται τὸ ἵππος δασυνόμενον, καὶ ἐκ τῆς συναλιφῆς ἐφ' ἵππους.

Ἰάχω: (Il. A. 482.) Ἐκ τοῦ ἰαχή· τοῦτο ἀπὸ τοῦ ἰὰ, ὁ

[1] Cod. ἰδὺῶ.

σημαίνει τὴν φωνήν· ἀπὸ τοῦ ἐπὶ πᾶσι τὴν ἀχὴν ἰέναι· ἐκ τοῦ ἰαχὴ γίνεται μετὰ τοῦ ἐπιτατικοῦ α, ἀΐαχος, καὶ πλεονασμῷ τοῦ υ αὐΐαχος·

ἄβρομοι αὐΐαχοι. (Il. N. 41.)

Ἱερός: (Il. A. 99.) Κατὰ κρᾶσιν ἱρός· ἡνίκα προτερεύει τοῦ ι τὸ ε, εἰς ι γίνεται ἡ κρᾶσις· οἷον, ἱέραξ ἵραξ,

ὥστ' ἵρηξ ὠκυπέτης. (Il. N. 62.)

ἡνίκα δὲ ἐν διφθόγγῳ ἐστὶ, τότε ἡ ει δίφθογγος ἐπικρατεῖ· οἷον ὑγιεία ὑγεία.

Ἴσαν: (Il. A. 494.) Ῥῆμα ἐκ τοῦ εἶμι βαρυτόνου, καὶ τὰ πληθυντικὰ διὰ τοῦ ἰῶτα γράφεται, ὡς ἀπὸ τοῦ ἴω, τοῦ διὰ τοῦ ἰῶτα· καὶ ὁ παρατατικὸς ἦν, τὸ πληθυντικὸν ἴμεν· διὰ τοῦ ἰῶτα· ἀλλ' ἐπὶ τοῦ παρατατικοῦ τῶν εἰς μι τὸ τρίτον ἴσαν.

Ἴδηαι: (Il. Γ. 130.) Ὑποτακτικοῦ παθητικοῦ μέσου ἀορίστου β'· ὁ κανών· οἱ Ἴωνες ἀποβάλλοντες τὸ τ τοῦ τρίτου προσώπου δεύτερον ποιοῦσι· οἷον κέλεσαι,

κελέαι με Διΐ φίλε. (Il. A. 74.)

καὶ

σαώτερος ὥς κε νεῆαι. (Il. A. 32.)

οὕτως καὶ ἴδησαι ἴδηαι.

Ἵμερος: (Il. Γ. 446.) Ἡ ἐπιθυμία· ἐκ τοῦ ἵημι τὸ προθυμοῦμαι, καὶ μετὰ τῆς ἐπὶ προθέσεως ἐφίημι· τὸ παθητικὸν ἐφίεμαι· ἐκ τοῦ ἵημι οὖν ἵεμαι, ἵμερος καὶ ἱμέρω, καὶ πλεονασμῷ τοῦ ι ἱμείρω.

Ἴε: (Il. Γ. 383.) Ἐκ τοῦ ἴω, τοῦ διὰ τοῦ ἰῶτα· ἴω οὖν, καὶ ὁ παρατατικὸς ἴον, ἴες, ἴε.

Ἵζευ: (Il. Γ. 162.) Χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ τῶν προστακτικῶν· ἔστι κοινὸν ἵζου, καὶ Ἰωνικῇ διαλύσει ἵζεο· καὶ Δωρικῶς κράσει τοῦ εο εἰς τὴν ευ δίφθογγον· τὸ ῥῆμα ἵζω· καὶ ἐπὶ μὲν τοῦ ἐνεστῶτος, ἔστι θέσει μακρὸν τὸ ἰῶτα· ἐπὶ δὲ τοῦ παρατατικοῦ φύσει· διατὶ δασύνεται; ἐκ τῆς συναλιφῆς καθίζω.

Ἵει:

Ταλθύβιον προΐει. (Il. Γ. 118.)

ῥῆμα παρατατικόν· τὸ θέμα ἰέω ἰῶ, πρώτης συζυγίας τῶν περισπωμένων, ἵεον ἵουν, ἵεες ἵες ἵεις, ἵεε ἵει, καὶ προΐει, ἀντὶ τοῦ ἔπεμψεν.

Ἰδέειν: (Il. Γ. 216.) Ἀπαρέμφατον ἀορίστου β' καὶ μέσου· ὁ κανών· οἱ Ἴωνες ἐπὶ τῶν εἰς ειν ἀπερεμφάτων πλεονάζοντες τὸ ε διὰ τοῦ ειν προφέρουσιν· θανεῖν θανέειν.

Ἰδαῖος: (Il. Ε. 11.) Ὄνομα κύριον· τὸ δὲ δίφθογγον διατί; τὰ ἀπὸ τῶν εἰς α, καὶ εἰς η, καὶ τὰ λοιπὰ εὔδηλα· οὕτως ἴδη Ἰδαῖος· οἱονεὶ ὁ προειδὼς καὶ προγινώσκων τὰ κεκηρυγμένα[i].

Ἴδηθεν: (Il. Γ. 276.) Ἐπίῤῥημα τοπικόν· τὰ εἰς θεν ἐπιῤῥήματα ἐκτόπου εἰσίν· ἐνταῦθα δὲ οὐδὲν πλέον σημαίνει τοῦ ὀνόματος, ὁ τῆς Ἴδης βασιλεύων· ἔνια γὰρ ὁ ποιητὴς τῶν ἐκτόπων ἐπιῤῥημάτων ἀντὶ γενικῆς τάσσει πτώσεως.

Ἴφθιμος: (Il. Γ. 336.) Εἴρηται περὶ τούτου· ὁ μὲν Ἡρώδοτος σύνθετον αὐτὸ λέγει· οἱ δὲ λοιποὶ διϊσχυριζόμενοι λέγουσιν ἁπλοῦν αὐτὸ εἶναι· ὥσπερ παρὰ τὸ πρωῒ γίνεται πρώϊμος, καὶ ὄψε ὄψιμος, οὕτως καὶ παρὰ τὸ ἶφι ἴφιμος, καὶ πλεονασμῷ τοῦ θ ἴφθιμος· τὸ ι συστέλλεται· κανὼν γάρ ἐστιν ὁ λέγων· τὸ ι πρὸ δύο συμφώνων συστέλλεται, χωρὶς εἰ μὴ ἐν κλίσει ῥήματος· ἰδνωθείς· ἴδρις· εἰ μὴ ἐν κλίσει ῥήματος, διὰ τὸ ἱππεύω καὶ ἵστημι ἵστην· τὰ δὲ παρὰ τὸ ἶφι εἴτε παρηγμένα, εἴτε συντεθειμένα, ἅπαντα ἐκτείνονται· οἷον· Ἰφιγενής· Ἰφιγένεια· Ἰφικλῆς· τὸ δὲ ἶφι γέγονε παρὰ τὸ ἶς ἰνὸς, ὡς προείρηται· τὸ ἔω σημαίνει ἑπτά· ἔω τὸ ὑπάρχω· ἐξ οὗ ἐὺς ὁ ἀγαθός· ὁ γὰρ ἀγαθὸς βέβαιος· ἔω τὸ περιπατῶ, ἐξ οὗ καὶ ὁδός· ἕω τὸ καθέζομαι· ἐξ οὗ καὶ τὸ

ἧσο παρ' αὐτὸν ἰοῦσα. (Il. Γ. 406.)

ἔω τὸ ἐνδύομαι· ἐξ οὗ τὸ "ἐπιειμένε[k]." ἐῶ τὸ τελειῶ, ἐξ οὗ τὸ

ἐξ ἔρον ἕντο. (Il. Α. 469.)

ἔω τὸ εὐφραίνομαι· ἐξ οὗ τὸ ἥδω, τὸ εὐφραίνομαι· ἐῶ τὸ κορεννύω· ἐξ οὗ καὶ τὸ

ἐπεί κ' ἐῶμεν πολέμοιο. (Il. Τ. 402.)

i Etym. M. p. 465, 24. τὰ κεκρυμμένα.   k Cod. ἐπιεμενε.

Ἱμᾶσιν: (Il. E. 727.) Παρὰ τὸ ἐνίεσθαι, ὅ ἐστιν ἐνδεδύσθαι· ἀπὸ τοῦ ἐνίημι· τὸ ι συνεσταλμένον, ἐπιφερομένου ἑνὸς λ ἢ μυ, δασύνεται· ἵλαος· ἱλαρός· ἱμάς· ἵμαιος· εἴτε ἐπιμήλιος[l] ᾠδὴ, ἢ ὄνομα κύριον· τὸ μέντοι ἰμῶ μακρὸν ἔχον τὸ ι, ψιλοῦται· σημαίνει δὲ τὸ ἀντλῶ, ὅθεν καὶ τὸ ἀνιμῶ, καὶ ἰμονία, τὸ ἀντλητήριον· διατὶ σεσημείωται τὸ ἱμὰς καὶ ἀνδρείας; τὰ εἰς ας ὀνόματα ὑπὲρ μίαν συλλαβὴν μακρὸν ἔχοντα τὸ α, ἢ βαρύνονται, ἢ περισπῶνται· βαρύνονται μὲν, οἷον, Θόας· Αἴας· περισπῶνται δὲ, οἷον, Βοῤῥᾶς· ἀλλᾶς· ἔστι δὲ εἶδος πλακοῦντος· ἐξ οὗ καὶ ἀλλαντοπωλῶ· καὶ πελεκᾶς[m]· τὸ δὲ ἱμὰς καὶ ἀνδριὰς, ὡς διαλλάξαντα κατὰ τὸν χρόνον πρὸς τὰ ἄλλα, ἤγουν τὸ Ἀρκὰς, διήλλαξε κατὰ τὴν κλίσιν· ἐπὶ μέντοι γενικῆς ἱμάντος, οἱ μὲν Ἀττικοὶ τῷ χρόνῳ τῆς εὐθείας ἀκολουθοῦντες περισπῶσι τὴν γενικήν· ἡ δὲ κοινὴ συνήθεια τοῦτο ἀπέλαβε διὰ τὸν κανόνα τὸν, πάντα τὰ διὰ τοῦ ντ κλινόμενα· ἐπάνω γὰρ θέσει μακρᾶς περισπώμενα.

Ἰός: (Il. A. 48.) Παρὰ τὸ βλαπτικὸν εἶναι· ὥσπερ γὰρ ὁ ἰὸς φάρμακον ἐστὶ τοῦ σιδήρου, οὕτως καὶ οὗτος τοῦ σώματος· παρὰ τὸ ἵημι τὸ πέμπω· ἢ παρὰ τὸ ἰὸν, τὸ δηλοῦν τὸ φάρμακον τοῦ ὄφεως καὶ γὰρ ἔχριον αὐτὸ ἀπὸ τοιούτου ὄφεως, ἵνα τιτρωσκόμενός τις ἀναιρεθείη.

Ἴσαν: (Il. A. 494.) Σημαίνει τὸ ἐπορεύοντο· ἔστιν εἴω τὸ πορεύομαι, καὶ παράγωγον εἶμι· ἰσοσυλλαβεῖ δὲ τῷ ἑαυτοῦ πρωτοτύπῳ· τὰ γὰρ ἀπὸ περισπωμένων γινόμενα περισσοσυλλαβοῦσι· οἷον τιθῶ τίθημι· ἱστῶ ἵστημι· εἶμι οὖν, καὶ πληθυντικὸν ἴμεν, τὸ δεύτερον ἴτε, τὸ τρίτον ἴσαν· ἢ ἀπὸ τοῦ ἵημι τὸ πέμπω· ὁ παρατατικὸς ἵην· τὸ πληθυντικὸν ἵεμεν· τὸ δεύτερον ἵετε· τὸ τρίτον ἵεσαν· καὶ ποτὲ μὲν γίνεται κατὰ συγκοπὴν τοῦ ε ἴσαν, διὰ βραχέος τοῦ ι· ποτὲ δὲ κατὰ κρᾶσιν τοῦ ι καὶ ε εἰς ι μακρὸν, ἶσαν.

Ἰδέ:

ἰδ᾽ εὐρυφυὲς κρῖ λευκόν. (Od. Δ. 604.)

σύνδεσμος συμπλεκτικός· διαφέρει ὁ ἰδὲ τοῦ δέ· ὁ μὲν γὰρ δὲ

[l] Leg. ἐπιμύλιος.   [m] Cod. πελυκᾶς.

ἀναιρετικός ἐστι τοῦ ὑποκειμένου, ἢ μεταβατικός· ὁ δὲ ἰδὲ ἀθροιστικός· ὁ γὰρ αὐτὸς τῷ καί, ὡς ἐπὶ τούτου,

πυροί τε ζειαί τε ἰδ' εὐρυφυὲς κρῖ λευκόν. (Od. Δ. 604.)

ὥστε οὐχ ὁ δὲ προσλαβὼν, ὥς τινες, τὸ ι ἐγένετο ἰδέ· ὀξύνεται δὲ πρὸς ἀποφυγὴν τοῦ ἴδε ῥήματος· ἢ καὶ ὅτι πᾶς σύνδεσμος συμπλεκτικὸς ὀξύνεται, ὑπεσταλμένου τοῦ ἤτοι.

Ἴκελος: (Il. B. 478.) Ὄνομα ῥηματικόν· γίνεται παρὰ τὸ εἴκω, τὸ ὁμοιῶ· ἔνθεν καὶ τὸ εἰκών· καὶ τὸ εἰκώς,

τῷ εἰκὼς ἤϊξεν ἐπὶ χθόνα. (Il. Φ. 254.)

Ἴστω: (Il. H. 411.) Συζυγίας δευτέρας τῶν εἰς μι· τὸ θέμα ἴσημι· τὸ πληθυντικὸν ἴσαμεν, ἴσατε, καὶ ἐν συγκοπῇ ἴστε· καὶ τὸ τρίτον ἴσασι· τὸ οὖν ἴσαμεν ἐγένετο ἴσμεν· τὰ δὲ εἰς μεν λήγοντα τροπῇ τοῦ μεν εἰς θι ποιεῖ τὸ προστακτικόν· καὶ ἐπεὶ συνεκόπη τὸ ἴσαμεν, καὶ γέγονεν ἴσμεν· καὶ τὸ ἴσαθι κατὰ συγκοπὴν ἴσθι· κατὰ πάθος οὖν.

ἈΡΧΗ ΤΟΥ ΚΑΠΠΑ.

Κονίηισιν: Ἢ παρὰ τὸ κονῶ ῥῆμα, κονία· ὡς ταίνη ταινία· ἢ παρὰ τὸ κόνις ὄνομα, κονία, ὡς Κύπρις Κυπρία· ἡ δὲ διὰ τοῦ σι ἐπέκτασις, εἰ μὲν ἔχει δύο σσ, ἓν τὸ φωνῆεν· θήρεσσι· κύνεσσιν· εἰ δὲ δύο φωνήεντα, ἓν τὸ σ· ἀνθρώποισιν· Ἀχαιοῖσιν· καὶ

εὐξέστῃς ἐλάτῃσι. (Il. H. 5.)

καὶ κονίῃσι,

κάδδ' ἔπεσ' ἐν κονίῃσι μακών. (Il. Π. 469.)

ἔρρωσαι ὁ κανών· χωρὶς εἰ μὴ μέτρον βιάσαιτο, ὡς ἐν τῷ "παρ' οἴεσιν" ἢ "παρὰ βοῦσιν" αἴγεσιν· ἢ οἴεσσι· σεσημείωται,

λιμέσι τε καὶ ἀκταῖς. (Il. M. 284.)

καὶ

οἵτε παρὰ θεαῖς ἀγάασθαι. (Od. E. 119.)

ἐν ἑτέροις οὖν φησὶ,

αἰνῶς ἀθανάτῃσι θεαῖς. (Il. Γ. 158.)

Κοίληισιν: (Il. A. 26.) Ἰωνικὴ ἐστὶν ἐπέκτασις· τὰς γὰρ εἰς αις δοτικὰς εἰς ησι ποιοῦσι· γράφεται δὲ τὸ κοι διφθόγγῳ, ἐπειδὴ εὑρέθη κατὰ διάστασιν κόϊλος, καὶ ἐν συναιρέσει κοῖλος, ὡς Ζωΐλος· ἐκ δὲ τοῦ κοῖλος κοίλη· τὸ δὲ κοῖλος παρὰ τὸ κῶ, τὸ κεῖμαι· ἐξ οὗ τὸ κείω· τὸ δὲ κῶ σημαίνει δύο· κῶ τὸ καίω· κείω·

πῦρ μέγα κειάμενοι. (Il. Ψ. 51.)

καὶ τὸ κοιμῶμαι, οὗ ὁ μέλλων κώσω, κώμη, καὶ κῶμα.

Κιχείω: (Il. A. 26.) Ὥσπερ ὀλῶ ὀλείω· σῶ σείω· γράφεται διὰ τοῦ ι· διότι αἱ ἀναδιπλασιάσεις ἀεὶ διὰ τοῦ ἰῶτα γράφονται· σημαίνει δύο· τὸ καταλαμβάνω· ἐξ οὗ τὸ

ἀκίχητα διώκων. (Il. P. 75.)

καὶ τὸ ἱκετεύω·

ἡμεῖς δὲ κιχανόμενοι τὰ σὰ γοῦνα. (Od. I. 266.)

Κῆρ: (Il. A. 44.) Παρὰ τὸ κέαρ· τοῦτο παρὰ τὸ κῶ· ἢ παρὰ τὴν καῦσιν· τὸ γὰρ ἔμφυτον θερμὸν φασὶν εἶναι τὴν ψυχήν· ἢ παρὰ τὸ κεκράσθαι αὐτὸ ἐκ τῶν στοιχείων, τουτέστιν ἐκ ψυχροῦ καὶ θερμοῦ· ἢ παρὰ τὸ ἔαρ, ὅ ἐστι πνεῦμα· ἢ παρὰ τὸ δίκην κηροῦ ἀπομάττεσθαι τὰ μαθήματα· τὸ δὲ κῆρ σημαίνει δύο· ὀξυνόμενον μὲν σημαίνει θανατηφόρον μοῖραν· ἀπὸ τοῦ κέω, κέκηα, κήρ· καυστικὴ γὰρ καὶ ἀφανιστική· τὸ δὲ περὶ[n] δηλοῖ τὴν ψυχήν.

Κνίσση: (Il. A. 317.) Ἡ ἀναθυμίασις· γέγονεν ἀπὸ τοῦ κνίζω ἐνεστῶτος· ὁ μέλλων κνίσω· πλεῖστα γὰρ ὀνόματα ἀπὸ μελλόντων γίνεται· οἷον ἅψω ἁψίς· λέξω λέξις· δόξω δόξα· ἄξω ἄξα· καὶ μετὰ τοῦ ἅμα ἀθροιστικοῦ μορίου, ἅμαξα· οὕτως οὖν καὶ κνίζω κνίσω κνίσα· ἔχει δὲ τὸ κνίσα καὶ τὸ ι βραχὺ, καὶ τὸ α· καὶ τὸ μὲν ι, ἐπειδὴ τὰ διὰ τοῦ ιζω ῥήματα τὸ ι ἔχει βραχὺ, πλὴν τοῦ δανείζω καὶ χρῄζω· τὸ δὲ α, ἐπειδὴ τὰ εἰς α θηλυκὰ ἀπὸ μελλόντων ἢ ἐνεστώτων γινόμενα, βραχὺ ἔχει τὸ α· οἷον δόξω δόξα· ἄξω ἄξα καὶ ἅμαξα· μῶ, τὸ ζητῶ, μῶσα καὶ μοῦσα· ἐκτέταται δὲ ποιητικῶς τὸ κνι· δοκεῖ δὲ ἡ λέξις δʹ σημαίνειν ὡς

[n] Leg. περισπώμενον.

ἐν[n] τῷ Πορφυρίῳ δοκεῖ. αὐτό τε τὸ λίπος καὶ τὸ ἐπίπλουν· καὶ τὸ κρέας, καὶ τὴν ἀναθυμίασιν.

Καθῆστο: Ἔστιν ὑπερσυντελικὸς παθητικός· γʹ προσώπου ἑνικοῦ· ἐκ τοῦ ἕω τὸ καθέζομαι· ὁ μέλλων ἕσω· ὁ παρακείμενος ἧκα· ὁ παθητικὸς ἧσμαι, ἥσμην· τὸ δεύτερον ἧσο· ἐξ οὗ τὸ κάθησο· τὸ γʹ καθῆστο· οὐκ ἀνεβίβασε δὲ τὸν τόνον κανόνι τοιούτῳ· ἐπειδὴ πᾶς παρῳχημένος ὁριστικὸς ἀπὸ φωνήεντος ἀρχόμενος, καὶ ἀπὸ φύσει μακρᾶς, τὸν αὐτὸν τόνον φυλάττει, καὶ ἐν τῇ συνθέσει χωρὶς τοῦ σύνοιδα καὶ ὑπόειξα· τὸ γὰρ σύνοιδα ἐστὶν Αἰολικὸν, τὸ δὲ ὑπόειξα ποιητικόν· καὶ τὸ ὑπόεικον· ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα· οἷον, εἶχον· κατεῖχον· εἶπον προεῖπον καὶ προσεῖπον· συνῆλθον· ἐφεῦρον· συνῆψα· συνεῖδον· ἀνῶγεν· Ἀττικὸν τὸ οἶσθα· κατοῖσθα· πρόσκειται παρῳχημένος ὁριστικοῦ, διὰ τὸ εἰπὲ ἔξειπε· ἔφευρε· ἧσο κάθησο·

ἀλλ' ἀκέουσα κάθησο. (Il. A. 565.)

ταῦτα γὰρ ἀνεβίβασε τὸν τόνον, ἀλλ' οὐκ εἰσὶν ὁριστικὰ, ἀλλὰ προστακτικά· οὕτως οὖν καὶ τὸ ἧστο, ὁριστικὸν ὂν, οὐκ ἀνεβίβασε τὸν τόνον ἐν τῇ συνθέσει· ἓν ἐν τῷ καθῆστο· πρόσκειται ἀπὸ φωνήεντος ἀρχόμενος, διὰ τὸ κεῖτο κατέκειτο· χεῦεν κατέχευε· ταῦτα γὰρ ἀνεβίβασε τὸν τόνον, ἀλλ' οὐκ ἄρχεται ἀπὸ φωνήεντος.

Κολῳόν: Εὕρηται κολῳὸς παρὰ τὸ κλῶ, τὸ σημαῖνον τὸ φωνῶ, καὶ γίνεται ῥηματικὸν ὄνομα κολῳὸς, ὡς σῶς σῶος καὶ ἐν πλεονασμῷ τοῦ ο κολῳὸς μετὰ τοῦ ἀνεκφωνήτου τοῦ ι· ἐκ τούτου ἐγένετο κολῳῶ ῥῆμα δευτέρας συζυγίας τῶν περισπωμένων, τὸ δεύτερον κολῳᾶς, καὶ ὁ παρατατικὸς ἐκολῶν καὶ τὸ τρίτον ἐκολῴα

Θερσίτης δ' ἔτι μοῦνος ἀμετροεπὴς ἐκολῴα. (Il. B. 212.)

οὕτως Φιλόξενος· ἡ δὲ μεταφορὰ ἀπὸ τοῦ κολοιοῦ ὀρνέου· θορυβῶδες γὰρ καὶ κραυγαστικόν.

Κατ' ὄρεσφι: (Il. Δ. 452.) Ὡς ἀπὸ τοῦ θεόφατον, σημαίνει δὲ τὸ ἐκ θεοῦ λεγόμενον μάντευμα, γίνεται θέσφατον,

[n] Leg. ὡς καὶ τῷ cum Etym. M. p. 522, 30.

κατὰ συγκοπὴν τοῦ ο καὶ πλεονασμῷ τοῦ σ, τὸν αὐτὸν τρόπον, καὶ ἀπὸ τοῦ ὄρεος γίνεται ὀρέοφι, καὶ συγκοπῇ τοῦ ο, καὶ πλεονασμῷ τοῦ σ, γίνεται ὄρεσφι· τοιοῦτο καὶ τὸ ὄχεσφι· σημαίνει γὰρ ἀμφότερα γενικάς.

Κύρβεις: Αἱ τὰς τῶν θεῶν ἑορτὰς ἔχουσαι· ἤτοι ἀπὸ τῆς κατασκευῆς ἢ οἱονεὶ κρύβεις· ἐπεὶ τὰ τῶν θεῶν κρυπτόμενα δεῖ εἶναι· ἢ ἀπὸ Κύρβεως τοῦ τὰς θυσίας ὁρίσαντος· ἢ ἀπὸ τοῦ ταύτας κυρωθῆναι τοῖς γράμμασιν· Ἐρατοσθένης τριγώνους αὐτάς φησιν εἶναι, οὐ τετραγώνους· Ἀριστοφάνης δὲ ὁμοίως αὐτὰς εἶναι τοῖς ἄξοσι, πλὴν ὅτι οἱ μὲν ἄξονες νόμους, αἱ δὲ κύρβεις θυσίας ἔχουσιν, ἀμφοτέρων δὲ τὸ κατασκεύασμα τοιοῦτο· πλινθίον τι μέγα ἀνδρομήκες, ἡρμοσμένα ἔχον τετράγωνα ξύλα τὰς πλευρὰς πλατείας ἔχοντα, καὶ γραμμάτων πλήρεις, οὐκατέρωθεν δὲ κνώδακας, ὥστε κινεῖσθαι καὶ περιστρέφεσθαι ὑπὸ τῶν ἀναγινωσκόντων[o].

Κάρα: (Il. B. 259.) Παρὰ τὸ κείρω, τὸ κόπτω· ἡ κειρομένη διὰ τὸ τετριχῶσθαι, τῶν ἄλλων μέρων τοῦ σώματος· ἐκ τοῦ κάρα οὖν καρατὸς, καὶ ἐν συγκοπῇ κράτος· ἐκ τοῦ κράτος κρατύς·

κρατὺς Ἀργειφόντης[p]. (Il. Π. 181.)

ἐκ τοῦ κρατὺς κρατύτερος κρατίων, καὶ τὸ ὑπερθετικὸν κράτιστος, καὶ ἐν ὑπερθέσει τοῦ ρω, κάρτιστος.

Καισία: Ἡ κάθεδρα· σημαίνει δὲ τέσσαρα· τὸν θρόνον·

τῇ δ' ἄρ' ἅμ' Ἀδρήστη κλισίην εὔτυκτον ἔθηκε. (Od. Δ. 123.)

παρὰ τὴν κλίσιν τῶν γονάτων· καὶ τὴν σκηνήν·

Μυρμιδόνων δ' ἐπί τε κλισιὰς καὶ νῆας ἱκέσθην. (Il. A. 328.)

εἴρηται δὲ παρὰ τὸ κατακλίνεσθαι εἰς αὐτήν· καὶ τὴν ἔπαυλιν· παρὰ τὸ κατακλίνεσθαι εἰς αὐτὴν τὰ θρέμματα.

Κνυζηθμός: (Od. Π. 163.) Κλαυθμός· ἄσημος[q] φωνή· ἀπὸ τοῦ κνύζεσθαι, ἴσως ἀπὸ τῶν κριῶν· ἢ παρὰ τὸ κόνιζα, ἢ

[o] Cf. Etym. M. p. 547, 45, quocum etiam magis congruit Anonym. Lex. Cod. Barocc. 50. f. 309. sed leg. κρύβιες–κνώδακας et τῶν ἀναγινω^μο^σκόντων.

[p] Cod. κρατὺν ἀργειφόντην. [q] Cod. ἄρση.

ἐστιν εἶδος φυτοῦ, κατὰ συγκοπήν· καὶ κνυζοῦν[r] τὸ ἀχρειοῦν· Ὅμηρος,

κνυζώσω[s] δέ τοι ὄσσε πάρος περικαλλέ' ἐόντε. (Od. Ν. 401.)

παρὰ τὸ κνῶ κνύω, καὶ κνύζω παράγωγον, τὸ διαφθείρω· εἴρηται δὲ κνυζοῦν[t] καὶ τὸ ξύειν παρὰ Δωριεῦσιν· καὶ παρ' Ὁμήρῳ·

ἐπὶ δ' αἴγειον κνῆ τυρόν· (Il. Λ. 638.)

ὥστε εἶναι κνύω, τὸ ξύω· ὡς Σώφρων·

κνύζομαι δὲ οὐδὲν ἰσχύων[u]·

ἔστι καὶ κναίω τὸ διαφθείρω· ἐκ τούτου ἕτερον παράγωγον γίνεται κνίζω· ἢ ὡς στῶ στίζω· φοιτῶ φοιτίζω· οὕτως κνῶ κνίζω, καὶ κνύζω· παρὰ τὸ κνύζω ὄνομα κνύζα· κνύζω οὖν βαρύτονον, καὶ κνυζῶ περισπώμενον· ὡς δίζω βαρύτονον, καὶ διζῶ περισπώμενον· ἢ ἀπὸ τοῦ κνύζα παράγωγον κνυζῶ, ὡς ῥίζα ῥιζῶ· τὸ δὲ κνυζοῦν * * *

Κατέστυξαν: Ἐφόβησαν, ἢ ἐφοβήθησαν· ἀπὸ θέματος τοῦ στύζω, ἢ στύγω, ἐξ οὗ καὶ στυγνός· παρὰ τὸ στύζω, ἢ τὴν Στύγα· οἱ γὰρ ἀρχαιοὶ τὰ μὲν ἀηδῆ καὶ λυπηρὰ ἀπὸ τῶν ψυχρῶν ὠνόμαζον· τὰ δὲ ἡδέα καὶ τερπνὰ ἀπὸ τῶν θερμῶν· τὸ οὖν στυγεῖν, τὸ φοβεῖσθαι, ἀπὸ τῆς Στυγός· ἥπερ μυθεύεται ψυχρότατον ἔχειν ὕδωρ· καὶ ὁμοίως ὁ στυγνὸς παρ' αὐτὴν εἴρηται· τὴν δὲ τέρψιν θαλπωρὴν, καὶ τὸ τέρπεσθαι, ἰαίνεσθαι· καὶ

φόβου κρυόεντος (Il. Ι. 2.)

ἀπὸ τοῦ κρύους τοῦ ψυχροῦ.

Κρίκον: (Il. Ω. 272.) Ὄνομα προσηγορικὸν ἀρσενικὸν ἁπλοῦν τῷ εἴδει ῥηματικόν· παρὰ γὰρ τὸ κλείω, ὁ πανταχόθεν περικεκλεισμένος· παρὰ τὸ κλείω καὶ κλοιός· τὸ δὲ ἐξέπεσε· τὸ γὰρ ῥῆμα ἐκβολὴν ποιεῖται τοῦ ε· οὕτως ἔχει καὶ τὸ κεκλίαται· ἔστιν γὰρ ἀπὸ τοῦ κλείω, καὶ σημαίνει τὸ περικεκλεισμένοι εἰσὶ, καὶ τὸ

ἠέρι δ' ἔγχος ἐκέκλιτο. (Il. Ε. 356.)

περιεκέκλειστο ἔστι κατείχετο, ὅπερ ἀλλαχοῦ λέγει,

περὶ δ' ἠέρα πουλὺν[x] ἔχευεν. (Il. Ε. 776.)

[r] Cod. κνοζοῦν. [s] Cod. κνοζήσω. [t] Cod. κνοζοῦν. [u] Etym. M. p. 523, 3. ὡς παρὰ Σώφρονι ἐν Μίμοις· Κνυζῶμαι οὐδὲν ἰσχύων.

οὕτως ἔχει καὶ τὸ

λίμνῃ κεκλιμένος. (Il. E. 709.)

οἷον ἐμπεριεχόμενος· καὶ

στήλῃ κεκλιμένος. (Il. Λ. 371.)

οὐχ ὥς τινες ἐπαναπαυόμενος, ἀλλὰ ὑπὸ τῆς στήλης περιεχόμενος, καὶ

κεκλιμένος καλῇσιν ἐπάλξεσιν· (Il. X. 3.)

γίνεται οὖν κλίκος, καὶ τροπῇ τοῦ λ εἰς ρ, ὡς ἀλγαλέος ἀργαλέος· καὶ ἐν τῷ κυκλοτέρης παρὰ τὸ τέλος, κυκλοτέλης· ἔστι δ' ὅτε καὶ ἐν ὑπερθέσει κίρκος·

ῥήξασα κίρκους

παρὰ Σοφοκλεῖ· ὥσπερ τὸ κερκίς· παρὰ τὸ κέρκειν γάρ. Ἀττικὸν δι' ἑνὸς κ· καὶ κρίκος· τὸ ἐπὶ τοῦ θηλυκοῦ φάκος· ἔστι δὲ ἄγριον φυτόν· Πλάκος,

ὑπὸ Πλάκῳ ὑλήεσσῃ. (Il. Z. 396.)

Μύκος ὄνομα ἔθνους· σεσημείωται τὸ φακὸς ὀξυνόμενον· ἔστιν δὲ καὶ βαρυτόνως ὄνομα ὄρους· Ἑκαταῖος·

πρὸς μὲν νῶτον[y] Παῶλος[z] καὶ Φάκος·

εἰ ἔτι ὀξυτονήθη πρὸς ἀντιδιαστολὴν ἑτέρου σημαινομένου· δόκος γὰρ πρὸς ἀντιδιαστολὴν τοῦ δοκὸς ὀξυτόνου, τοῦ σημαίνοντος τὴν δόκησιν· καὶ παρὰ Ἀριστοφάνει ἐν Ταγηνισταῖς σημαίνει τὴν ἀγχόνην.

Κεῖνος: Ἀντωνυμία ἀρσενικὴ εὐθείας μονοπρόσωπος δεικτικὴ καὶ ἀναφορική· καὶ δεικτικὴ μὲν, ὡς ἐν τῷ

καὶ νῦν οἱ πάρα κεῖνος ἀνήρ. (Il. E. 604.)

ἀναφορικὴ δὲ,

κεῖνος ἀνὴρ ὅτ' ἐμεῖο κυνώπιδος. (Od. Δ. 145.)

καὶ

κεῖνος δ' αὖ περὶ κῆρι μακάρτατος ἔξοχος ἄλλων. (Od. Z. 158.)

γράφεται διὰ τῆς ει διφθόγγου· οἱ γὰρ Αἰολεῖς κῆνος λέγουσιν· οἱ Δωριεῖς δὲ τῆνος· ἔστι δὲ τῶν ἐπεκτεινομένων· ἐκεινοσὶ καὶ ἐκεινοσὶν σὺν τῷ νυ· ἔχει δὲ καὶ τὴν ἐκ διαστήματος δεῖξιν, οὐ

[x] Cod. πολύν. [y] Qu. Νότον? [z] Cod. παῶλα (with ο written above).

τὴν πλησιάζουσαν· ἀναλογώτερον τὸ ἐκεῖνος· τὸ ε φωνήεσσι προέρχεται· οὗ ἑοῦ· ᾧ ἑῷ· συμφώνοις μέντοι ἀφαιρεῖται· ἔλαβον λάβον[a]· ἐκεῖνος οὖν καὶ κεῖνος.

Κέρδιστος: (Il. Z. 153.) Ὄνομα προσηγορικὸν ἁπλοῦν ὑπερθετικόν· σημαίνει δὲ τὸν συνετώτατον· οὐ γὰρ ὥς τινες τὸν φιλαργυρώτατον· οὐ γὰρ εὑρήσεις τὴν φωνὴν παρὰ τῷ ποιητῇ ἐπὶ τοῦ φιλαργυρωτάτου, ἀλλ' ἐπὶ τοῦ συνετοῦ.

Κατακτάς: (Il. N. 696.) Μετοχὴ χρόνου ἀορίστου β' κτῶ· κτῶμαι, τὸ ἀναιρῶ· ἀφ' οὗ παρῆκται τὸ κτείνω· καὶ ἄλλο τὸ κτανῶ, ἀφ' οὗ ὁ β' ἀόριστος ἔκτανον· ἔκτανες ἔκτανε· καὶ ἀποκοπῇ ἔκτα, ὡς τὸ οὔτασε οὖτα·

Ἐρευθαλίωνα κατέκτα. (Il. Δ. 319.)

Ἀρίσταρχος δὲ διὰ τοῦ ν· Ἀττικῶς κτῆμι, καὶ τὸ ἀπαρέμφατον κτάναι, ὡς φάναι· καὶ κτάμεναι· ὁ β' ἀόριστος ἔκτην, καὶ Δωρικῇ διαλέκτῳ ἔκτας· ἔστι δὲ ἡ χρῆσις Ἀττικὴ τὸ πληθυντικὸν ἔκτημεν,

ἡμεῖς δ' ἕρμα πόληος ἀπέκταμεν. (Od. Ψ. 121.)

καὶ

ἔκταθεν ἐν μεγάροισιν. (Od. Δ. 537.)

ἐκ τοῦ ἐκτάσθησαν.

Κεκλιμένος: (Il. Γ. 135.) Μετοχή· τὸ ῥῆμα κλίνω· ἀλλὰ πρὸς τὸν νοῦν οὐ συνᾴδει· ἔστιν οὖν τὸ θέμα κλείω· τοῦτο οἱ τραγικοὶ κλήω λέγουσιν, καὶ οἱ πεζόλογοι διὰ τοῦ η· καὶ Θουκυδίδης· ὅθεν καὶ κλῆθρον[b] ὑπὸ τινῶν εἴρηται, καὶ Ξενοφῶν, καὶ Πλάτων, καὶ οἱ κωμικοὶ διὰ τοῦ ἦτα· καὶ ἴσως διχῶς, καὶ παρ' Ἐπιχάρμῳ "κατὰ κέκλανται" τροπῇ τοῦ η εἰς α· κέκλειμαι πάντες Ἀττικοὶ ἄνευ τοῦ σ λέγουσιν· τὸ γοῦν κέκλεινται τὸ κοινόν· τὸ Ἰωνικὸν κεκλιάται· τὸ δὲ

λίμνῃ κεκλιμένος (Il. E. 709.)

ἀντὶ τοῦ περιεχόμενος, εἴρηται ἄνωθεν.

Κηφισίδι: (Il. E. 709.) Ὄνομα παρώνυμον ἀποτελεῖται ἀπὸ τῶν εἰς ος εἰς ις θηλυκοῦ ὀξύτονα· δρύμος Δρυμὶς, ἀφ' οὗ

a Cod. λάβεον. b MS. κλῆθρον (ει written above).

Δρυμίδες νύμφαι·

λόγος

Λογίδες σεμναί·

φορμὸς

φορμίς· ἰσχάδιον

παρ' Ἀλεξίδι· Κάδμος Καδμίς· Παρνασσὸς Παρνασσίς· Μολοσσὸς Μολοσσίς· ὀξύνεται τὰ παρώνυμα· τὸ ἄσσις ἀντικεῖται·

τόσην οἱ ἄσσιν ἐφύπερθε καλύψω. (Il. Φ. 321.)

ἑτέρῳ κανόνι· τὰ ἐπὶ τοῦ αὐτοῦ γένους παραλαμβανόμενα καὶ ταὐτὰ σημαίνοντα ὁμοτονεῖ· φήμη φῆμις· ἄσση ἄσσις.

Κῦμα: (Il. Α. 481.) Τὰ εἰς μα δισύλλαβα οὐδέτερα τῷ υ παραληγόμενα βραχὺ αὐτὸ ἔχει· λύμα· ῥύμα· χύμα· τὸ γὰρ

λύματα πάντα κάθηρε. (Il. Ξ. 171.)

ποιητικὴ ἔκτασις· τὸ δέ γε κῦμα, καὶ φῦμα καὶ θῦμα Ἀττικά· ἢ ἀπὸ πάθους ποιητικὸν παρὰ τὸ κύω· ἢ παρὰ τὸ κυῶ κύημα, καὶ ἐν συγκοπῇ κῦμα· ἢ παρὰ τὸ κυκῶ,

κυκώμενον ἵστατο κῦμα. (Il. Φ. 240.)

ὡς μονώνυχες μώνυχες.

Κέλευθα:

ὑγρὰ κέλευθα. (Il. Α. 483.)

μεταβολῇ γένους· ἀπὸ τοῦ κέλευθος τὸ κέλευθον, ὡς κύκλος κύκλον· καὶ ζυγὸς ζυγόν· καὶ τὰ τριγενῆ μεταβάλλει· βάρβιτος βάρβιτον· καὶ Τάρταρος Τάρταρον· ὁμοίως δὲ θηλυκὰ, τὸ κέλευθος· τὸ ἄρκευθος.

Κάλλιμον: Ὄνομα παρώνυμον· τὰ γὰρ διὰ τοῦ ιμος ἀπὸ τριῶν γενῶν παράγονται· σπόρος σπόριμος· ἀγωγὴ ἀγώγιμος· κῦδος κύδιμος· καὶ ἀπὸ ἐνεστώτων καὶ μελλόντων· προσδοκῶ προσδόκιμος· θηράσω θηράσιμος· καὶ ἀπὸ ἐπιῤῥήματος· ὀψὲ ὄψιμος· τὸ ἴφθιμος πλεονασμῷ τοῦ θ καὶ ἀλλαγῇ τοῦ χρόνου, ἐπεὶ πάντα βραχέα[b].

Κελάδων:

πλῆτο ῥόος κελάδων. (Il. Φ. 16.)

[b] Cf. Etym. M. p. 487, 26.

ἄδηλος ὁ τόνος· βαρυτόνως δὲ τέτριπται· ὅταν γὰρ ᾖ ἁμάρτημα προσῳδίας καὶ μὴ γραμματικῆς, ἡ παράδοσις ἐπικρατεῖ· λέγει δὲ ὁ ποιητὴς καὶ περισπωμένως·

ἐπὶ δὲ Τρῶες κελάδησαν. (Il. Θ. 542.)

Κεκλίαται: (Il. Π. 68.) Συζυγίας ἕκτης τῶν βαρυτόνων· τὸ θέμα κλείω· ὅπερ οἱ Ἴωνες κλήω διὰ τοῦ η· καὶ Θουκυδίδης καὶ τραγικοὶ, καὶ Σοφοκλῆς ἐν Μάντεσι,

ψυχῆς ἀνοῖξαι τὴν κεκλισμένην πύλην.

οἱ κωμικοὶ δὲ διὰ διφθόγγου τὸ κλεῖθρον ἐξ αὐτοῦ· καὶ ἐχρῆν κλεῖστρον, ὡς σείω σεῖστρον· ὁ μέντοι ἀόριστος ἐκλείσθην λέγεται· ὡς ἐπὶ τοῦ χρίω κέχριμαι ἐχρίσθην· κέκλειμαι οὖν καὶ ὑφέσει τοῦ ε κέκλιμαι, κέκλινται, κεκλίαται.

Κνύζωσω: (Od. N. 401.) Λέγεται καὶ βαρύτονον κνύζω, καὶ περισπώμενον κνυζῶ[c]· σημαίνει δὲ τὸ διαφθείρω· γίνεται δὲ παρὰ τὸ κνῶ, τὸ ξύω· ἀφ' οὗ κνύω, ὡς ἀπὸ τοῦ πλήθω πληθύω. ἀπὸ τοῦ κνύω Ἡσίοδος τὴν φθορὰν κνύος ὠνόμασε·

καὶ γάρ σφιν κεφαλῇσι κατὰ κνύος αἶνον ἔχευεν[d]·

ὡς ἀπὸ τοῦ θύω θύος· καὶ φλύω φλύος· ἀπὸ δὲ τοῦ κνῶ κνάπτω, ὡς βῶ βάπτω· καὶ ῥῶ ῥάπτω· καὶ θῶ θάπτω· καὶ παράγωγον ἐκ τοῦ κνῶ κναίω, τὸ φθείρω· καὶ κνίζω, ὡς στῶ στίζω· κνίζω δὲ ἐστὶν τὸ ἐξεπιστολῆς[e], καὶ ἰσχνῶς ξύειν, ἡ δὲ κνίσσα παρὰ τὸ κνίσω μέλλοντα γέγονεν, ἔκτασιν λαβόντα τοῦ ἰῶτα· οἷον, ἡ κατ' ὀλίγον τὴν αἴσθησιν ἐρεθίζουσα καὶ ἀποξύουσα· ὃ καὶ ἐπίπλους εἴρηται παρὰ τὸ εὐανάδοτον εἶναι πρὸς τὴν αἴσθησιν· καὶ ἡ κόνις δὲ ἐκ τοῦ κνῶ.

Κάρη: (Il. Δ. 443.) Ὄνομα οὐδέτερον αἰτιατικῆς τῶν πληθυντικῶν ἐκ τοῦ κάρηνον· ἡ εὐθεῖα τῶν ἑνικῶν, τὸ κάρηνον, καὶ ἡ γενικὴ τῶν πληθυντικῶν, τῶν καρήνων,

βῆ δὲ κατ' Οὐλύμποιο καρήνων. (Il. A. 44.)

σημαίνει δὲ ἀκρωτηρίων, ὅ ἐστι κεφαλῶν· ὅτι δὲ πεπονθὸς ἐστὶ τὸ κάρη, καὶ οὐχ ὑγιὲς, δῆλον· τὰ εἰς η λήγοντα οὐδέτερα οὐδέποτε ἑνικῆς πτώσεως ἐστὶ, ἀλλ' ἢ δοτικὴ, ἢ πληθυντική, ὡς

[c] MS. κνύζω. [d] Hes. Frag. V. 1. Gaisf. [e] Cod. ἐξεπιστο. leg. ἐξεπιπολῆς.

τὸ τείχη· βέλη· σκέλη· τοῦτο δὲ οὔτε εὐθείας ἐστὶν, οὔτε ἑνικῆς, οὔτε πληθυντικῆς· κατὰ συγκοπὴν οὖν ἄρα τὸ κάρη ἀπὸ τοῦ κάρηνον[f].

Κεκορήμεθα[g]: (Od. Θ. 98.) Τοῦτο παρὰ τὸ κορῶ κορεῖς· τοῦτο παρὰ τὸ κόρος· τὸ δὲ κόρος παρὰ τὸ κείρω.

Κάρη: (Il. Ε. 214.) Ὄνομα οὐδέτερον αἰτιατικῆς τῶν πληθυντικῶν ὡς ἔφημεν· ἡ εὐθεῖα τῶν ἑνικῶν τὸ κάρα· τὸ ρα μακρόν· ὥσπερ τὸ ἡμέρα· ὅτι τὰ εἰς α λήγοντα οὐδέτερα συστέλλει τὸ α· βῆμα· δῶμα· πλὴν τὴν κάρα· γίνεται δὲ παρὰ τὸ κάρηνον, καὶ τὸ πληθυντικὸν κάρηνα, καὶ κατὰ συγκοπὴν κάρη· ἰστέον δὲ ὅτι τὸ κάρα ὡς λέγει ὁ τεχνικὸς, τὸ κάρα· λίπα· ἄλιφα ἀποκοπῇ ἐστίν· ἀεὶ δὲ ὁ ποιητὴς τῷ κάρη χρῆται· τὸ οὖν,

ἐξ ὀρέων ἐπὶ κάρ. (Il. Π. 393.)

ἐκ ποίου λέγεται εἶναι; ἐκ τοῦ κάρα, ἢ ἀπὸ τοῦ κάρη; εἰ γὰρ ὅτι ὁ ποιητὴς τὸ κάρη λέγει· τὸ δὲ κάρα γίνεται παρὰ τὸ κέρας, ὃ σημαίνει τὴν τρίχα· καὶ τροπῇ τοῦ α εἰς η γίνεται κάρη· ἢ ἀπὸ τοῦ κείρω· ὁ β′ ἀόριστος ἔκαρον.

Κομόωντας: (Il. Β. 542.) Μετοχή· τὸ θέμα κομῶ· ποίας συζυγίας ἐστί; καὶ πρώτης καὶ β′· καὶ τί σημαίνει; ὅτε ἐστὶ πρώτης, τὸ θεραπεύω καὶ ἐπιμελοῦμαι· καὶ ὅτε ἐστὶ δευτέρας τί σημαίνει; τὸ εὐφραίνομαι καὶ ἀγάλλομαι, καὶ τὸ τὰς τρίχας τρέφω· τοῦ πρώτου παράδειγμα·

τούτω μὲν θεράποντε κομείτων. (Il. Θ. 109.)

ἐξ οὗ κατὰ παραγωγὴν κομίζω, καὶ

κόμισαί τέ με. (Il. Ε. 359.)

τὸ δὲ κωμαστὴς οὐκ ἔστιν ἐκ τούτου, ἀλλ᾽ ἐκ τοῦ κομάζω· τὸ δὲ κόμη ἐκ τοῦ κόσμος, ὥσπερ γὰρ κόσμον ὁ δημιουργὸς ἐνέθηκε τῷ ἀνθρώπῳ τὰς τρίχας· ἐκ δὲ τοῦ κομῶ καὶ τοῦ ἵππος γίνεται ἱπποκόμος, καὶ γηρωκόμος· βαρύνεται· ἐπειδὴ τὰ ἀπὸ ῥήματος συντιθέμενα ὀνόματα πρὸ μιᾶς ἔχουσι τὸν τόνον· ἱπποκόμος· γηρωκόμος· εἰ δὲ ἀπὸ ὀνομάτων ἀναβιβάζεται·

[f] Cf. Etym. M. p. 491, 1. [g] Cod. εκορίμεθα.

ἱππόκομον πήληκα. (Il. Π. 797.)

τοῦτο γὰρ ἀπὸ τοῦ κόμη συνετέθη οὐκ ἀπὸ τοῦ ῥήματος.

Κομῶ: Τὸ ἐπιμελοῦμαι· α΄ συζυγίας τῶν περισπωμένων· κανὼν γάρ ἐστιν ὁ λέγων ὅτι οὐ μόνον ἐν ταῖς συνθέσεσι τῶν ῥημάτων εἰώθασι μεταβολαὶ γίνεσθαι συζυγιῶν, ἀλλὰ καὶ ἐν τῇ ἁπλότητι· οἷον, συλῶ συλᾷς· ἔστι δὲ συζυγίας δευτέρας τῶν περισπωμένων· ἱεροσυλῶ δὲ πρώτης· ἔστι φημὶ τὸ λέγω συζυγίας δευτέρας τῶν εἰς μι· ἠμὶ δὲ κατὰ ἀφαίρεσιν τοῦ φ· συζυγίας τῆς αὐτῆς.

Κρατεράς: (Il. Β. 40.) Ἐκ τοῦ κράτος· τὰ δὲ εἰς τερος τρισύλλαβα παράγωγα προπαροξύνονται· οἷον κύντερος· πρότερος· σφέτερος· δεύτερος· τοῦτο δὲ ὀξύνεται· διατί; διότι οὐκ ἐγένετο ἡ παραγωγὴ αὐτοῦ διὰ τοῦ τερος ἀλλὰ διὰ τοῦ ερος, τὸ γὰρ τ, τοῦ πρωτοτύπου ἐστί· καὶ τὸ βλαβερὸς ἐκ τοῦ βλάβη· τό τε ψιλὸν, διατί; τὰ διὰ τοῦ ερος ὑπὲρ δύο συλλαβὰς ὀξύτονα τριγενῆ διὰ τοῦ ε ψιλοῦ γράφεται· οἷον γοερός· φοβερός· μυσερός· κρατερός· διατί ὀξύνεται; διότι τὰ μὲν ἄλλα ἀπὸ παραγωγῆς ἔσχον τὸ τ· τὸ μὲν πρότερος ἐκ τῆς πρὸ προθέσεως κατὰ παραγωγήν· τὸ σφέτερος ἐκ τῆς σφῶν γενικῆς τῶν πληθυντικῶν· τὸ κύντερος ἐκ τοῦ κυνὸς κυνώτερος, ἐκ παραγωγῆς κύντερος· τὸ δὲ κρατὸς ἀπὸ τοῦ πρωτοτύπου ἐκ τοῦ κράτος, καὶ ἐξ αὐτοῦ κρατερός.

Κλισία: (Il. Β. 91.) Καὶ κλισιάων, τῶν σκηνῶν· παρὰ τὸ ἀνακλίνεσθαι ἡμᾶς ἐν αὐταῖς κεκοπωμένοι· κέκλισαι κλίσις κλισία· ὡς κόνις κονία· θέσις θεσία, καὶ συνθεσία.

Κήδω: (Il. Α. 56.) Τὸ φροντίζω· παρὰ τὸ ἔδω τὸ ἐσθιῶ· κατεσθίουσι γὰρ τρόπον τινὰ ἑαυτοὺς οἱ μεριμνοῦντες· ὅθεν μελεδώνη ἡ φροντὶς παρὰ τὸ τὰ μέλη ἔδειν· λοιπὸν ἔδω, καὶ τροπῇ τοῦ ε εἰς η, καὶ πλεονασμῷ τοῦ κ κήδω.

Κιχάνω: (Il. Α. 26.) Τὸ κι ἰῶτα διατί; ἀπὸ τοῦ κίχω βαρυτότως· τοῦτο παρὰ τὸ κίω, τὸ πορεύομαι· καὶ περισπώμενον κιχῶ καὶ κιχάνω, καὶ κατὰ παραγωγήν· τὸ δὲ κίω γράφεται διὰ τοῦ ἰῶτα, πρὸς ἀντιδιαστολὴν τοῦ κείω, τὸ κοιμῶμαι· ἡ μετοχὴ κείων, κείοντες, καὶ μετὰ τῆς κατὰ κατακείοντες,

καὶ συγκοπῇ κακκείοντες· τὰ διὰ τοῦ ηχω ῥήματα, μὴ ἔχοντα ὄνομα ἀντιπαρακείμενον, εἰ μὲν βαρύνεται διὰ τοῦ η γράφεται· οἷον, σμήχω, τὸ καθαίρω· λήχω, τὸ λαγχάνω· νήχω, τὸ κολυμβῶ· πρόσκειται μὴ ἔχοντα ὀνόματα ἀντιπαρακείμενα, διὰ τὸ λείχω· ἐξ οὗ καὶ λοιχὸς, ὁ λαίμαργος, καὶ τραπεζολοιχός· εἰ δὲ περισπῶνται διὰ τοῦ ι γράφεται· οἷον τριχῶ· στιχῶ· ἐξ οὗ τὸ "στιχόωντο," καὶ

αἰὲν[h] ὁμοστιχάει. (Il. O. 685.)

διχῶ "διχόωσαν σελήνην·" ὀμιχῶ τὸ[i] οὐρῶ· σεσημείωται βληχῶ· ἔστι ποιὰ φωνὴ τῶν προβάτων, καὶ ἠχῶ, ἐξ οὗ τὸ ἤχησεν[k].

ΚΛΫΤΕ: (Il. B. 56.) Ῥῆμα ἀορίστου α'· ἐξ οὗ ἔχει μακρὸν τὸ υ, ὁ γὰρ ἐνεστὼς βραχὺ ἔχει· σημαίνει δύο· τὸ δοξάζω, καὶ τὸ ἀκούω· τὸ μὲν δοξάζω γίνεται ἐκ τοῦ κλέος, κλέω, καὶ ὥσπερ ἀπὸ τοῦ ῥέω γίνεται ῥύω, καὶ ἀπὸ τοῦ χέω χύω, καὶ ξέω ξύω, οὕτως καὶ κλέω κλύω· τὸ δὲ ἀκούω παρὰ τὸ καλῶ κλῶ· κλύω, κλῦμι, ἔκλυν, κλὺς, κλῦθι, καὶ κατὰ ἀναδιπλασιασμὸν κέκλυθι· τὸ κλυ βραχύ· διατί; ἰστέον ὅτι τὰ προστακτικὰ τοῦ ἐνεστῶτος βραχείᾳ θέλουσι παραλήγεσθαι.

ΚΛΗΐΣ: Πολυκλῆϊς· παρὰ τὸ κλείω κλείσω· καὶ ἀποβολῇ τοῦ ω, κλεὶς, καὶ ἐν διαλύσει κλέϊς, καὶ ἐπαυξήσει τοῦ ε εἰς η κληΐς[l]· τὸ ι μακρόν· ἐπειδὴ τὰ εἰς ις ὀξύτονα θηλυκὰ, ὅτε ἐκτείνουσι τὸ ἰῶτα, σύμφωνον ἔχουσι πρὸ αὐτοῦ· οἷον κρηπίς· σφραγίς· βαλβίς[m]· ἀκτίς· ὅτε δὲ καθαριεύουσι, συστέλλουσιν αὐτό· οἷον Βρισηΐς·

χειρὸς ἑλόντ' ἀγέμεν Βρισηΐδα καλλιπάρηον. (Il. A. 323.)

Χρυσηΐς·

ἐκ δὲ Χρυσηῒς νηὸς βῆ. (Il. A. 439.)

νηΐς·

Νηῒς Ἀβαρβαρέη. (Il. Z. 22.)

σεσημείωται τὸ κληῒς καθαρεῦον καὶ ἐκτεῖνον τὸ υ, μετὰ τοῦ πολὺς πολυκλῆϊς· ἀνεβίβασε τὸν τόνον· τὰ γὰρ εἰς ις θηλυκὰ,

[h] Cod. αἴ. [i] Cod. τῷ. [k] Cf. Etym. M. p. 515, 53.
[l] Cod. κλεΐς. [m] Cod. βλαβίς.

εἰ μὲν βαρύνονται, ἐν τῇ συνθέσει προπαροξύνονται· οἷον, πόλις ἀκρόπολις· μῆτις πολύμητις καὶ ἀγκυλόμητις· εἰ δὲ ὀξύνεται, εἰ μὲν τοῦ αὐτοῦ γένους ὦσι, τὸν αὐτὸν τόνον φυλάττουσιν· οἷον, αἰγὶς καταιγίς· νυχὶς παννυχίς· οἰκὶς περιοικίς· εἰ δ' ἀρσενικοῦ γένους ὦσιν, εἰ μὲν ἐκτείνουσι τὸ δίχρονον ἐν τῇ συνθέσει, παροξύνονται· οἷον ἀκτὶς,

χρυσάκτις ἥλιος

κνημὶς εὔκνημις·

εὐκνήμιδας Ἀχαιούς. (Il. Γ. 156.)

κληῒς πολυκλήϊς, ὁ πολυκλήϊς· εἰ δὲ βραχὺ αὐτὸ ἔχουσι, προπαροξύνονται ἐν τῇ συνθέσει· οἷον, πατρὶς εὔπατρις, καὶ λιπόπατρις· ἀσπὶς ῥίψασπις· καὶ σημαίνει τὸν δειλὸν στρατιώτην, παρὰ τὸ ῥίπτειν τὴν ἀσπίδα, καὶ φεύγειν[n].

Κλαγγῆι· ˺Ἐνοπῆι: (Il. Γ. 2.) ˺Ἐπιῤῥήματα εἰσὶ ποιήτητος· γίνεται δὲ τὸ κλαγγὴ ἐκ τοῦ κλάζω· πεποίηται ἡ φωνὴ ἐπὶ τῆς προκρούσεως τῶν βελῶν· κλαγγὴ δὲ ἡ βοὴ τῶν γεράνων· ἀπὸ γὰρ τοῦ ἤχου ἰδιότητος οἱ σοφώτατοι τῶν ποιητῶν τὰ τοιουτότροπα τῶν ὀνομάτων σχηματίζουσιν.

Κιχείη: (Il. B. 188.) ˺Ῥῆμα τῶν εἰς μι εὐκτικῶν· ἀόριστος β'. κίχημι παρὰ τὸ κιχῶ α' συζυγίας τῶν περισπωμένων.

Κρείων: (Il. A. 130.) Ἔστι ὄνομα μετοχικόν· ἀπὸ γὰρ μετοχῆς μετήχθη[o] εἰς ὄνομα· ἔστι γὰρ κρατῶ, καὶ σημαίνει τὸ ἄρχω· ἐξ αὐτοῦ κατὰ παραγωγὴν κρατείω, τὸ τει δίφθογγος· τὰ διὰ τοῦ ειω παρ' ἐνεστῶτος ἢ μέλλοντος παρηγμένα, διὰ τῆς ει διφθόγγου· ὄψω ὀψείω· θῶ θείω· τούτου ἡ μετοχὴ κρατείων, καὶ συγκοπῇ κρείων.

Κρονίων: (Il. A. 528.) Ποίου εἴδους παραγώγου; πατρωνυμικοῦ· κλίνεται Κρονίωνος· τὰ εἰς ων πατρωνυμικὰ φυλάττουσι τὸ ω ἐπὶ τῆς γενικῆς· ἡ δοτικὴ Κρονίωνι, τὸ γὰρ

Ζηνὸς οὐκ ἂν ἐγὼ Κρονίωνος, (Il. Ξ. 247.)

ὑπερβιβασμὸν ἔπαθεν τοῦ χρόνου· καὶ τὴν μὲν παραλήγουσαν συνέστειλε· ἄλλως τε τὸ Κρονίων διὰ τοῦ ἰῶτα· ἐπειδὴ καὶ Κρονίδης διὰ τοῦ ι· τὰ γὰρ εἰς ων πατρωνυμικὰ τὴν παραλή-

[n] Cf. Etym. M. p. 518, 28.

[o] Cod. μετήχρη.

γουσαν θέλουσιν ἔχειν τῶν εἰς δης· Ἀτρείδης Ἀτρείων· Πηλείδης Πηλείων· οὕτως καὶ Κρονίδης Κρονίων· τοῦτο διὰ τοῦ ἰῶτα· ἐπεὶ ἀπὸ τοῦ Κρόνος γέγονε· τὰ δὲ ἀπὸ τῶν εἰς ος διὰ τοῦ ιδης γινόμενα, διὰ τοῦ ι γράφεται· οἷον Αἴακος Αἰακίδης· Πρίαμος Πριαμίδης· Δάρδανος Δαρδανίδης· πλὴν τοῦ Κύθνος Κυθνείδης· ἔστι δὲ ὄνομα κύριον· τὰ δὲ εἰς ος, εἰ μὲν καθαριεύουσιν, διὰ τοῦ αδης ποιοῦσι τὸ πατρωνυμικόν· Θυέστιος Θυεστιάδης· Τελαμώνιος Τελαμωνιάδης· εἰ δὲ μὴ καθαριεύουσι, διὰ τοῦ ιδης· Πρίαμος Πριαμίδης· Κρόνος Κρονίδης.

Κλέος· καὶ Δυσκλέα: (Il. B. 215.) Παρὰ τὸ δυς μόριον καὶ τὸ κλέος· τὸ κλέος παρὰ τὸ κλείω τὸ δοξάζω· καὶ Ὅμηρος,

ἐγὼ δέ σε κλείω κατ' ἀπείρονα γαῖαν. (Od. P. 418.)

ἀντὶ τοῦ ἄν μοι δῷς τι περιφημίσαι σε ἔχω εἰς πᾶσαν τὴν γῆν.

Κρατός: (Il. A. 530.) Ἡ εὐθεῖα κράς· καὶ κλίνεται κρατός· ὁ κανών· τὰ εἰς ας ὀξύτονα μονοσύλλαβα κύρια εἰσὶ, καὶ διὰ τοῦ ντ κλίνονται· οἷον Ζάς· Φθάς· Πράς· τὸ κρὰς προσηγορικόν ἐστι· διὸ καὶ ὡς διήλλαξε παρὰ τὸ σημαινόμενον, διήλλαξε καὶ παρὰ τὴν κλίσιν.

Κινῶ: (Il. B. 147.) Σεσημείωται τὸ κίω κινῶ· καὶ κύω κυνῶ· καί ἐστι μακρὸν τὸ ι· καὶ γέγονεν ἐκ τοῦ ἶς, ὃ σημαίνει τὴν δύναμιν· καὶ γράφεται διὰ τοῦ ἰῶτα ὡς δικατάληκτον· μακρὸν δὲ τὸ ι· λέγει γὰρ ὁ κανών· τὰ εἰς ιν καὶ ὀξύτονα.

Κύματα: (Il. B. 144.) Ἐκ τοῦ κυκῶ· καί ἐστιν ἡ χρῆσις

δεινὸν ἀμφ' Ἀχιλῆα κυκώμενον ἵστατο κῦμα. (Il. Φ. 240.)

καί ἐστι μακρὸν τὸ υ, ὡς καὶ προείρηται· τὰ εἰς μα δισύλλαβα, τῷ υ παραληγόμενα, συστέλλουσιν αὐτό· οἷον πλύμα· χύμα· λύμα· σεσημείωται τὸ κῦμα· τὸ δὲ λῦμα ποιητικῶς ἐκτείνεται· τὸ δὲ θῦμα ἱστορεῖ Ἀριστοκλῆς ἐν τῷ παρὰ[p] διαλέκτων ἐκτεινόμενον.

Κονίη: (Il. B. 150.) Ὄνομα τὸ νι ἰῶτα· ὥσπερ ἐστὶ τὸ καρδία, καὶ τὸ ἄλφα μακρὸν ἐκεῖ· γίνεται ἐκ τοῦ καίνω, τὸ φθείρω· ἐξ οὗ μετὰ τοῦ φάος φάσκανος, ὁ τοῖς φάεσι καίνων· ἤγουν διαφθείρων· καὶ ἐν συγκοπῇ κνᾶ ῥῆμα εἰς μι κνῆμι, ὁ

[p] Leg. περὶ cum Etym. M. p. 545, 9. sed ibi διαλέκτου.

παρατατικὸς ἔκνην, τὸ τρίτον ἔκνη, καὶ κνῆ

ἐπὶ δ' αἴγειον κνῆ τυρόν. (Il. Λ. 638.)

ἐκ τοῦ κνῶ, τὸ διακόπτω, κνὶς, καὶ πλεονασμῷ τοῦ ο, κόνις· ἡ εἰς μικρὰ κεκομμένη καὶ τεταμμένη.

Κιχείω: (Il. Γ. 291.) Τὰ διὰ τοῦ εω βαρύτονα παρ' ἐνεστῶτος, ἢ μέλλοντος παρηγμένα, διὰ τῆς ει διφθόγγου γράφεται· ὄψω ὀψείω· κίχω κιχείω, παρὰ τὸ κίω τὸ περιπατῶ, πλεονασμῷ τοῦ χ· κίχω, καὶ περισπώμενον κιχῶ, καὶ κιχείω.

Κοιρανέων: (Il. Β. 207.) Μετοχὴ ἐντελής ἐστιν, ἢ συνηρημένη πῶς· ποίας συζυγίας; πρώτης τῶν περισπωμένων· καὶ τὰς εἰς ων μετοχὰς ἀπὸ τῆς πρώτης συζυγίας τῶν περισπωμένων γινομένας, οἱ Ἴωνες διὰ τοῦ εων προφέρουσιν· οἷον, φρονῶν φρονέων· νοῶν νοέων· οὕτως κοιρανῶν κοιρανέων· παρὰ τὸ κοίρανος· τοῦτο παρὰ τὸ καιρός· ὁ τοῦ καιροῦ ἄρχων.

Κυρτός: (Il. Δ. 426.) Ἐκ τοῦ κύπτω κυπτὸς, καὶ πλεονασμῷ τοῦ ρω, καὶ ἀποβολῇ τῶν συμφώνων, κυρτός· διαφέρει κύρτος καὶ κυρτός· κύρτος βαρυτόνως εἶδος δικτύου ὡς σπυρίδιον, τὸ λεγόμενον κυρτάριον· κυρτὸς ὀξυτόνως τὸ ἐπίθετον[q].

Κεκληγώς: (Il. Ε. 591.) Μετοχὴ συζυγίας τετάρτης· κράζω· τὸ α φύσει μακρόν· τὰ γὰρ διὰ τοῦ αζω ῥήματα δισύλλαβα συστέλλει τὸ α· οἷον βάζω· φράζω· σφάζω· λάζω· χάζω· πλὴν τοῦ κράζω· τὰ δὲ ὑπὲρ δύο συλλαβὰς συστέλλει τὸ α· οἷον ἀνιάζω· μιμνάζω· ὑποπιάζω· χωρὶς τῶν ἐχόντων τὸ α πρὸ τοῦ ι· οἷον ματαίζω, τὸ μάταια βουλεύομαι· σφαδάζω, τὸ ἀδημονῶ· τεράζω, τὸ τερατοποιῶ· βοράζω τὸ ἐσθίω· καὶ τί διαφέρει τὸ ὑποπιέζω τοῦ ὑποπιάζω; οὐδέν· τὸ μὲν γὰρ ὑποπιέζω ἐστὶ κοινὸν, τὸ δὲ ὑποπιάζω Δωρικόν· οἱ γὰρ Δωριεῖς τὸ ε εἰς α τρέπουσι· τὸ γὰρ Ἄρτεμις Ἄρταμις λέγουσιν· ἔστι δὲ καὶ πρωτότυπον τὸ πιέζω· τὸ δὲ ὑποπιέζω παράγωγον· ἐκ γὰρ τοῦ ὑποπιέζω γίνεται κατὰ τροπὴν Δωρικὴν, ὡς ἔφαμεν, τοῦ ε εἰς α, ὡς τρέχω τράχω· καὶ τὸ ει δίφθογγον εἰς αι· εἶθε αἴθε· τὸ δὲ κράζω ἐκ τοῦ κρῶ, κατὰ παράγωγον ῥῆμα κράζω, καὶ κρώζω ἐπὶ ὀρνέων· ὁ παρακείμενος κέκραγα· καὶ οἱ Ἴωνες τρέπουσι τὸ α εἰς

[q] Cf. Etym. M. p. 548, 47.

η, καὶ τὸ ρ εἰς λ· καὶ γίνεται κέκληγα, καὶ ἡ μετοχὴ κεκληγώς.

Κερτομῶ: (Il. Β. 256.) Σχῆμα παρασύνθετον, ἐκ τοῦ κέρτομος· τοῦτο ἐκ τοῦ κέαρ τέμνειν, οἱονεὶ ὁ χλευαστής.

Κλαίω: (Il. Α. 362.) Διχῶς γίνεται καὶ ἐκ τοῦ κλῶ, τὸ κλαίω· διακλᾶται γὰρ ἡ φωνὴ τῶν ἀνθρώπων ἐν τῷ κλαίειν· ἀπὸ δὲ τοῦ κλῶ, τοῦ σημαίνοντος τὸ καλῶ, γίνεται κλαίω· εἰώθασι γὰρ οἱ ἄνθρωποι καλεῖν τοὺς ἀπαθανόντας ἐν τῷ κλαίειν καὶ θρηνεῖν.

Κήρυκος: (Il. Κ. 315.) Ὄνομα· τὸ ρυ μακρόν· ὡς τὸ πέρδικος· ἡ γὰρ ὀφειλομένη ἐν τῇ εὐθείᾳ μακρὰ μετῆλθεν ἐν τῇ γενικῇ· ὤφειλε δὲ ἡ εὐθεῖα ἔχειν μακρὸν τὸ υ· ἀλλ' ἐπειδὴ κανών ἐστιν ὁ λέγων, ὅτι οὐδέποτε τὸ υ, ἢ τὸ ι πρὸ τοῦ ξ εὑρίσκεται φύσει μακρὸν, χωρὶς εἰ μὴ λόγῳ ἀρχούσης παραχθῇ, ὡς ἐπὶ τοῦ ἰξεύω ἴξευον· τοῦτο οὖν ἐπὶ μὲν τῆς εὐθείας ἐστὶ βραχύ· ἐπὶ δὲ τῆς γενικῆς μακρόν· ἐπὶ δὲ μόνου ἑνὸς στίχου συνέστειλε,

κήρυκι Ἠπυτίδῃ. (Il. Ρ. 324.)

τὸ κήρυξ ἐκ τοῦ γῆρυς· τοῦτο παρὰ τὸ γέρας γῆρυς.

Κενεά: Ἐκ τοῦ κενὸς πλεονασμῷ τοῦ ε κενεός[r].

Κλαίω: Τὸ παθητικὸν κλαίομαι· αἴτιον τῆς τῶν παθητικῶν ῥημάτων γενέσεως ἡ τῶν ἐνεργητικῶν ἐστιν πὶ πλαμετάβασιν· εἰκότως καὶ τὰ παθητικὰ ἄρα τῶν προκειμένων ἐνεργητικῶν τοῦ κλαίω, καὶ τοῦ θρηνῶ, καὶ τῶν ὁμοίων ὑφίσταται· τὸ κλαι δίφθογγος· ἐφ' ὧν γὰρ οἱ Ἀττικοὶ * * * * ἔστιν ἐπέκτασις, συλλαβὴ πλεονάζουσα κατὰ τὸ μέσον τὸν αὐτὸν τόνον φυλάττουσα· οἷον ἀδελφὸς ἀδελφεός· κενὸς καὶ κενεός.

Κῆρες: (Il. Β. 302.) Κὴρ ὁ θάνατος ἐκ τοῦ ἔκαα γίνεται· τοὺς γὰρ ἀποθνήσκοντας ἔκαιον οἱ παλαιοί.

Καπνίζω: (Il. Β. 399.) Ἐκ τοῦ καπνός· ὁ παρὰ τὸ καίω καὶ τὸ πνοή· κυρίως γὰρ λέγεται καπνὸν, ἡ ἐκ τῆς καύσεως πνοὴ, καὶ ἐξ αὐτοῦ καπνίζω.

[r] Post hanc vocem est indicium parvæ lacunæ in Codice, et quæ sequi debuissent, videntur exturbata migrasse ad calcem insequentis vocis κλαίω.

Κεῖνος:

θ' ὡς ἀγόρευεν. (Il. B. 330.)

ὁ μὲν Ἡρωδιανὸς οὕτως· ὁ δὲ Ἀρίσταρχος,

κεῖνος τόσσ' ἠγόρευε·

ζητοῦσι δέ τινες ποῖον ἐστὶν ἀναλογώτερον τὸ κεῖνος, ἢ τὸ ἐκεῖνος; ἔστι δὲ εἰπεῖν, ὅτι κατά τι μέν ἐστιν ἀναλογώτερον τὸ κεῖνος, κατά τι δὲ τὸ ἐκεῖνος· καθὸ μέν ἐστι λέγειν, ὅτι οὐδέποτε πρωτότυπος ἀντωνυμία ἀπαθὴς οὖσα ὑπερβαίνει τὴν δισυλλαβίαν· οἷον, ἐγώ· αὐτός· οὗτος· τὸ κεῖνος ἄρα ἐστὶν ἀναλογώτερον· πρόσκειται πρωτότυπος διὰ τὸ νωΐτερος· σφωΐτερος· παράγωγα γὰρ αὗται αἱ ἀντωνυμίαι· ἀπαθεῖς εἴπομεν διὰ τὸ οὑτοσί· ἐκεινοσί· καθὸ δὲ αἱ μονοπρόσωποι ἀντωνυμίαι ἀπὸ φωνήεντος θέλουσιν ἄρχεσθαι· οἷον, οὗτος· αὐτός· ὁ δὲ ἀναλογώτερον τὸ ἐκεῖνος ἵνα ἀπὸ φωνήεντος ἄρξηται[s].

Κοναβῶ: (Il. B. 334.) Ἐκ τοῦ κόναβος· τοῦτο ἐκ τοῦ κόνις· κυρίως γὰρ λέγεται κόναβος ἡ ἐν τῇ γῇ βοή· ὥσπερ καὶ τὸ ἄραβος, ἐκ τοῦ ἄρα καὶ τοῦ βοή, ἔραβος καὶ ἄραβος· λοιπὸν οὖν λέγουσι τινὲς ὅτι ἐκ τοῦ κόνις καὶ τὸ βοὴ γίνεται κόνιβος, καὶ τροπῇ τοῦ ἰῶτα εἰς α κόναβος· οὐκ ἔστι δέ· οὐ δὲ γὰρ τρέπεται πότε τὸ ι εἰς α, ἀλλ' ἐστὶ μᾶλλον ἐκ τοῦ κονία, ὃ σημαίνει τὴν κόνιν, καὶ τοῦ βοή· καὶ κατὰ παραγωγὴν κονίαβος καὶ κόναβος[t].

Κελαινεφής: (Il. A. 397.) Ποίου σχήματος; σύνθετον. πόθεν; συνετέθει ἐκ τοῦ μελαίνω καὶ τὸ νέφος· ὁ τὰ νέφη μελαίνων· καὶ κατὰ συγκοπὴν, ὡς τανύω τανύπεπλος, γίνεται κελαινεφής· συγκοπῇ τῆς νω συλλαβῆς, καὶ τροπῇ τοῦ μυ εἰς κ· διατὶ συγκόπτεται; κανὼν ἐστὶν ὁ λέγων· καθόλου τὰ ὑπὲρ δύο συλλαβὰς βαρύτονα συντιθέμενα ἐκκόπτει μακροσυλλαβήν[u]· οἷον, γαννύω, γαννύεις, γαννύει, Γανυμήδης· τανύω τανύπεπλος· ὑφαίνω ὑφαιμενὴς καὶ οὐ λέγομεν ὑφαιμενής· νέφος· τὰ διὰ

[s] Hæc etiam habet Etym. M. 508, 25. [t] Cf. Etym. M. p. 528, 10. [u] Sic vid. se habere Cod. scriptura; sed est nequaquam distincta.

τοῦ εφος ἅπαντα διὰ τοῦ ε ψιλοῦ, πλὴν τοῦ λαῖφος, παρὰ τὸ λίαν φαίνεσθαι.

Κεδάζω: (Il. B. 398.) Ἐκ τοῦ σκεδῶ· λέγεται γὰρ καὶ μετὰ τοῦ σ, καὶ χωρὶς τοῦ σ· διὰ τοῦ ε ψιλοῦ γράφεται· τὰ γὰρ διὰ τοῦ εδω ῥήματα, εἴτε βαρύτονα, εἴτε περισπώμενα, διὰ τοῦ ε ψιλοῦ γράφεται· ἔδω τὸ ἐσθίω· μέδω· ταῦτα δὲ διφορεῖται, καὶ βαρύνεται παρὰ τῷ ποιητῇ,

Δωδώνης μεδέων. (Il. Π. 234.)

καὶ ἐκ τοῦ ἐδῶ περισπωμένου ῥήματος, ὄνομα ἔδεσμα, ὡς ἀπὸ παρακειμένου, τοῦ ἔδεσμαι· οὗ τὸ τρίτον ἔδεσται, καὶ ἐξ αὐτοῦ ἐδεστὸν, καὶ ἀνέδεστον, τὸ μὴ ἐσθιόμενον· σεσημείωται τὸ αἰδῶ, ὃ σημαίνει τὸ αἰδοῦμαι· γράφεται δὲ διὰ τῆς αι διφθόγγου· περισπώμενα δέ εἰσι· πεδῶ· μεδῶ· σκεδῶ.

Κῦδος: (Il. A. 279.) Παρὰ τὸ κύειν δέος· ἢ παρὰ τὸ κύειν ἡδονήν· κύηδος, καὶ κατὰ κρᾶσιν κῦδος· καὶ τὸ ὑπερθετικὸν κύδιστος· κῦδος, κυδότερος, κυδότατος, καὶ κύδιστος.

Κύκνος: (Il. B. 460.) Ὄνομα· ἔστι δὲ εἰδικόν· τὸ γὰρ γένος ἐστὶν ὁ ὄρνις καὶ τὸ πετηνόν· ὁ γὰρ ποιητὴς πάντοτε τὰ γενικὰ προστάσσει, καὶ οὕτως τὰ εἰδικά· γίνεται δὲ παρὰ τὸ κλῶ, τὸ φωνῶ· ἐξ οὗ κλῳὸς καὶ πλεονασμῷ τοῦ ο κολοιός· οὕτως γίνεται κύκνος· κλῶ, τὸ φωνῶ, κρακτικὸν γάρ ἐστι τὸ ζῶον, ὡς καὶ ἦχος· ἐκ τοῦ κλῶ, κλύω κατὰ παραγωγὴν, καὶ ἐξ αὐτοῦ ὄνομα ῥηματικὸν κλύκος· καὶ ὑπερβιβασμῷ, καὶ μεταθέσει τοῦ λ εἰς ν, κύκνος.

Καΰστριος: (Il. B. 461.) Τὸ στρι ἰῶτα· ὡς κάπριος· ἔστι δὲ ἀπὸ Καΰστρου· Κάϋστρος δὲ ἐστὶ υἱὸς Πενθεσιλείας τῆς Ἀμαζόνος, ὃς ἐν Ἀσκάλωνι[x] ἔγημε τὴν Δερκετώ· καὶ ἐξ αὐτῆς ἔσχε τὴν Σεμίραμιν ἡ τοῦ καὶ τὰ Βαβυλώνια τείχη κατεσκεύασε· λοιπὸν ἐστὶ Κάϋστρος· καὶ ἐξ αὐτοῦ, ὡς Αἰτωλὸς Αἰτώλιος· τὰ γὰρ εἰς ος διὰ τοῦ ιος ἐπὶ τοῦ αὐτοῦ σημαινομένου παραλαμβάνεται.

Κλαγγηδόν: (Il. B. 463.) Ἐπίρρημα ποιότητος· γίνεται

[x] Cod. ἀνασκάλωνι sed corr. ex Etym. M. p. 493, 42. mox ἥτις leg.

δὲ ἐκ τοῦ κλαγγή· τοῦτο ἐκ τοῦ κλάζω· καὶ ὁ μέλλων κλάγξω· ἔκλαγξαν· ἐκτύπησαν· ἤχησαν· μιμεῖται δὲ τὴν τοῦ χαλκοῦ βοήν· ἢ ἀπὸ τοῦ κράζω τροπῇ, καὶ πλεονασμῷ τοῦ γ, ὡς τὸ ἐρίδουπος ἐρίγδουπος· καὶ ὤφειλεν ὁ ἐνεστὼς ἔχει τὸ νυ· ἀλλὰ κανὼν ἐστὶν ὁ λέγων· ὅτι οὐδέποτε τοῦ ν πρὸ τοῦ ξ ἐν μιᾷ λέξει εὑρίσκεται· πρόσκειται ἐν μιᾷ λέξει· διὰ τὸ ἐν ζᾶξαι[y] τοῦτο γὰρ οὐκ ἔστιν ἐν μιᾷ λέξει ἀλλὰ δύο· ὅμοιον ἐστὶ καὶ τὸ πλάγχθη, ἀπὸ τοῦ πλάζω γενόμενον, καὶ μὴ ἔχον τὸ νυ· ἔστι γὰρ πλανῶ, ἐξ αὐτοῦ πλανάζω, καὶ ἐν συγκοπῇ πλάνζω· καὶ ἔχει τὸ νυ, ἀλλὰ διὰ τὸν κανόνα ἀποβάλλει τὸ νυ· γίνεται οὖν πλάζω χωρὶς τοῦ νυ, καὶ ὁ μέλλων πλάγξω· καὶ ἔχει οὕτως· λοιπὸν ἐκ τοῦ κλάζω, ὅπερ γίνεται κρῶ κράζω, καὶ κλάζω· ὁ μέλλων κλάγξω, καὶ ἐξ αὐτοῦ κλαγγή· ὄνομα ῥηματικόν· καὶ ἐπίῤῥημα κλαγγηδόν· τὸ γη η διατί; τὰ εἰς δον λήγοντα ἐπιῤῥήματα ἁπλᾶ ὑπὲρ δύο συλλαβὰς, τῷ η θέλει παραλήγεσθαι· οἷον καναχηδόν· κλαγγηδόν· κρουνηδόν[z]· ῥοιζηδόν· σεσημείωται τὸ βοτρυδὸν, τῷ υ παραληγόμενον· πρόσκειται ἁπλᾶ διὰ τὸ σχεδὸν καὶ διακριδόν[a]· ταῦτα γὰρ σύνθετα εἰσί· πρόσκειται ὑπὲρ δύο συλλαβὰς διὰ τὸ ῥυδόν· τοῦτο γὰρ δισύλλαβον ἐστὶ, καὶ ἡ χρῆσις,

ἐγὼ ῥυδὸν ἀφνειοῖο. (Od. O. 425.)

Κεκορυθμένα: (Il. Γ. 18.) Μετοχὴ χρόνου παρακειμένου· τὸ ῥῆμα κορύθω· συζυγίας τρίτης τῶν βαρυτόνων· ἐκ τοῦ κόρυς κόρυθος κορύθω· τὸ δὲ κόρυς παρὰ τὸ κάρα κάρυς· κορύθω ὁ μέλλων κορύσω, κεκόρυκα, κεκόρυσμαι, καὶ μετοχὴ κεκορυσμένος· καὶ οἱ Ἀττικοὶ τρέπουσι τὸ σ εἰς θ· τὸ γὰρ κλαυσμὸς κλαυθμὸς λέγουσι, καὶ ἀρισμὸς ἀριθμός.

Κεραόν: (Il. Γ. 24.) Ἐκ τοῦ κέρας κέρατος γίνεται κεραὸς ὀξυτόνως· καὶ ἐπειδὴ ἀπὸ τῆς κέρατος γενικῆς γέγονεν, ὤφειλε προπαροξύνεσθαι· ἀλλ᾽ ἐπειδὴ κανὼν ἐστὶν ὁ λέγων, ὅτι τὰ εἰς ος λήγοντα καθαρὰ τρισύλλαβα τῷ α μόνῳ παραληγόμενα ὀξύνονται· οἷον, Δαναός· ἀλαός· ἐξ οὗ καὶ ἀλαοσκοπίη·

[y] Leg. vid. ἐνζεῦξαι cum Etym. M. p. 516, 25.

[z] Cod. κρουνιδόν.

[a] Cod. διακρυδον.

ἀγλαὸς ὁ λαμπρός· ταναὸς ὁ μακρός· τούτοις συνεξηκολούθησε τὸ κεραός.

Κέρδιον: (Il. Γ. 41.) Ὄνομα γένους οὐδετέρου· τὸ ἀρσενικὸν ὁ κερδίων· τρίτον τύπον οὐκ ἔχει· τὸ δὲ οὐδέτερον ὡμοφώνησε[b] τῇ κλητικῇ τοῦ ἀρσενικοῦ· διατὶ προπαροξύνεται; ἐπειδὴ τὰ συγκριτικὰ ἅπαντα προπαροξύνονται· οἷον ἐνδοξότερος· γοργότερος· ἐπεὶ οὖν τὸ καλλίων καὶ κερδίων, διὰ τὴν ἐπὶ τέλους μακρὰν οὐκ ἠδύνατο προπαροξύνεσθαι, τὸν κεχρεωστημένον ἐν τῇ εὐθείᾳ ἀναδέξατο ἐν τῇ κλητικῇ.

Καγχαλόωσι: (Il. Γ. 43.) Ῥῆμα ἐνεργητικὸν συζυγίας δευτέρας τῶν περισπωμένων τρίτου προσώπου τῶν πληθυντικῶν· ἔστι γὰρ καγχαλάομεν καγχαλῶμεν, τὸ τρίτον καγχαλάωσι καγχαλῶσι, καὶ πλεονασμῷ τοῦ ο ποιητικῷ καγχαλόωσι· γίνεται δὲ ἐκ τοῦ χαίρω· ὁ μέλλων χαρῶ· καὶ μεταθέσει τοῦ ρ εἰς λ, χαλῶ, καὶ κατὰ ἀναδιπλασιασμὸν χαχαλῶ, καὶ τροπῇ τοῦ χι εἰς κ, καὶ πλεονασμῷ τοῦ ν, καὶ πάλιν διὰ τὴν ἐπιφορὰν τοῦ χι τροπῇ τοῦ ν εἰς γ.

Κεκλιμένοι: Κεκαλυμμένοι· κεκρυμμένοι· ὡς τό,

στήλῃ κεκλιμένος[c]. (Il. Λ. 371.)

Κτίλος: (Il. Γ. 196.) Ὁ κριός, οὐχ ἁπλῶς, ἀλλ' ὁ προεξάρχων τῆς ποίμνης· γίνεται παρὰ τὸ κίω, τὸ πορεύομαι, κῖλος καὶ κτίλος[d]· ἐτυμολογεῖται παρὰ τὸ κίειν τῶν λοιπῶν, ἤγουν προπορεύεσθαι· ἢ παρὰ τὸ ἄγω ὁ μέλλων ἄξω, τὸ ῥηματικὸν[e] ὄνομα ἄκτιλος, καὶ ἀποβολῇ τοῦ α κτίλος· τὸ κτι ἰῶτα· τὰ διὰ τοῦ ιλος ἀρσενικὰ βαρύτονα, μὴ ὄντα ἀπὸ ὀνόματος, ἔχοντα τὴν ει δίφθογγον, διὰ τοῦ ἰῶτα γράφεται· σεσημείωται τὸ Νεῖλος· τοῦτο γὰρ διὰ διφθόγγου ἐκ τῆς ἐτυμολογίας παρὰ τὸ νέαν ἰλὺν ἔχειν· καὶ τί ἔχει νέαν ἰλύν; ἐπειδὴ ἐναντίως φέρεται ὡς πρὸς τοὺς λοιποὺς ποταμούς, οἱ μὲν γὰρ λοιποὶ τῷ χειμῶνι πλημμυροῦσι· τῷ δὲ θέρει ἀνεκτότερον· ῥεῖ οὗτος δὲ τοὐναντίον· τῷ μὲν χειμῶνι ἀνεκτότερον ῥεῖ· τῷ δὲ θέρει πλημμυρεῖ· καὶ ἐξερχόμενος ποτίζει πᾶσαν τὴν γῆν ἐκείνην[f].

[b] Cod. ὡμοφόνησε. [c] Cod. κεκλισμένοι. [d] Cod. κτυλος.
[e] Cod. ῥῆμα. [f] Cf. Etym. M. p. 602, 9.

Καρπαλίμως: (Il. Α. 359.) Τὸ λι ἰῶτα ἀπὸ τοῦ ὀνόματος· ἔστι γὰρ τὸ ὄνομα καρπάλιμος· τὰ διὰ τοῦ ιμος παράγωγα· γίνεται ἐκ τοῦ κραιπνὸς κραίπνιμος, πλεονασμῷ τῆς αλ συλλαβῆς, καὶ τροπῇ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον, ἐκβολῇ τοῦ ι, καὶ μεταθέσει τοῦ ρ, καρπάλιμος· καὶ ἡ γενικὴ τῶν πληθυντικῶν καρπαλίμων, καὶ ἐξ αὐτοῦ ἐπίῤῥημα καρπαλίμως· ποσαχῶς προφέρονται τὰ τῆς μεσότητος ἐπιῤῥήματα; πενταχῶς· κατὰ ἔπαινον· ὡς τὸ καλῶς· ἀγαθῶς· κατὰ ψόγον· πονηρῶς· ἀθέως· κατὰ ἐπιτήδευμα· ὡς τὸ γραμματικῶς· φιλοσόφως· κατὰ μετουσίαν· ὡς τὸ καρκίνως· ἀνθρωπίνως· κατὰ διαστολὴν ὡς τὸ ἄλλως· οὕτως.

Κασίγνητος: (Il. Δ. 155.) Ποίου σχήματος; σύνθετον· καὶ τί ἐστι σύνθετον; τὸ ἐκ δύο ἢ ἐκ πλειόνων λέξεων συγκείμενον· τοῦ γὰρ παρασυνθέτου κατὰ τὸ τέλος γίνεται ἡ κίνησις· οἷον Φίλιππος φιλιππίζω· τὸ δὲ κατ' ἀρχὴν γινόμενον μένει ὡσαύτως σύνθετον· τὸ κασίγνητος γίνεται ἐκ τοῦ κάσις, ὃ σημαίνει τὸν ἀδελφὸν, καὶ τοῦ γνητὸς, τοῦτο ἐκ τοῦ γεννῶ.

Κρητήρ: (Il. Α. 470.) Ἐκ τοῦ κρατὴρ κατὰ τροπὴν Ἰωνικὴν τοῦ α εἰς η, ὡς τὸ πρᾶγμα πρῆγμα· τὸ κρα μακρὸν ἐκ τοῦ κρῶ κράσω· καὶ εἰ μὲν καθαριεύει ὁ ἐνεστὼς, ἢ τῷ ε παραλήγεται, ὅπερ ἀπὸ τοῦ κερῶ, ὅπερ ἀπὸ τοῦ κέρας, ὃ σημαίνει τὸ κέρατον· οἱ γὰρ παλαιοὶ κέρατι ἐχρῶντο ἀντὶ προχόου.

Κύπελλον: (Il. Α. 596.) Παρὰ τὸ κῦφος· ἢ παρὰ τὸ κύπτω, τὸ κεκυρτωμένον καὶ περιφερὲς ὄντα· παρὰ τὸ κύειν τὸν πηλόν· πηλὸς δὲ ὁ οἶνος παρὰ Ἀττικοῖς· παρὰ τὸ πάλλειν καὶ καταβάλλειν τὰς φρένας, ἐξ οὗ καὶ κάπηλος παρὰ τὸ χέειν τὸν πηλόν.

Κουλεός: (Il. Α. 220.) Τὸ λε ψιλόν· τὰ διὰ τοῦ εος ὀξύτονα μονογενῆ, διὰ τοῦ ε γράφονται· οἷον, ἐλέος, σημαίνει δὲ τὸν ἐλεεινὸν,

ἡ δ' ἐλέον γναμπτοῖσι[g] πεπαρμένη. (Hes. Op. I. 203.)

γίνεται ἐκ τοῦ κοῖλον κοιλέος, καὶ τροπῇ τοῦ ι εἰς υ, κουλέος, τὸ κοῖλον καὶ βαθύτατον.

[g] MS. γναμποῖσι.

Κεφαλέων: (Il. Γ. 273.) Ὁ κανών· οἱ Αἰολεῖς διὰ τοῦ αων· οἱ Δωριεῖς διὰ τοῦ εων· ὁ δὲ Ζηνόδοτος γράφει τὸ λαι δίφθογγον, ὡς κτητικὸν αὐτὸ λαβών· κακῶς δέ· κανὼν γάρ ἐστιν ὁ λέγων, τὸ κτητικῶν ἐπὶ τῶν σωματικῶν μέρων λαμβανόμενον κατὰ τεθνηκότος θέλει παραλαμβανέσθαι· οἷον, βοεία κεφαλή· ἡ τοῦ τεθνηκότος· καὶ ἀνθρώπειος πούς· ὁ τοῦ τελευτηκότος· οὐ γὰρ ἐπὶ ζώντων εἴποι τὶς ἄν· διὸ καὶ μέμφονται Ζηνοδότῳ, ἐπειδὴ τὸ,

ἀρνῶν ἐκ κεφαλέων,

ἀνεγίνωσκε κτητικόν· κτητικῇ γὰρ φωνῇ ἐχρήσατο, ὡς ἐπὶ ζώντων ἀρνῶν· οὐκ ἔπαθε πλεονασμὸν ἀλλὰ διαίρεσιν[h].

Κραίνων: (Il. Α. 41.) Τὸ κραι δίφθογγος· διότι ἀνεφάνη τὸ α ἐν τῷ μέλλοντι κρανῶ· ὁ ἀόριστος ἔκρανα· τὸ προστακτικὸν κρῆνον, καὶ πλεονασμῷ ἑτέρου η κρήηνον· κραίνω, καὶ ὁ παρατατικὸς ἔκραινον, πλεονασμῷ τῆς αι διφθόγγου ἐκραίαινον.

Κνημῖδες: (Il. Γ. 330.) Καὶ μετὰ τοῦ εὖ μορίου· ἡ εὐθεῖα ὁ εὔκνημις· τὸ μις μακρόν· τὰ εἰς ις θηλυκὰ, ὅτε ἐκτείνει τὸ ι καὶ μακρὰ παραλήγεται, περιστίζεται τὸ ν· τότε δεῖ περιστίζειν τὸ ι καὶ τὸ υ ἡνίκα εὑρέθη πρὸ αὐτοῦ προστακτικὸν φωνῆεν κατὰ διάστασιν· γίνεται ἐκ τοῦ κνημὴ, παρὰ τὸ κινῶ, κινήσω, κινήμη, καὶ ἐν συγκοπῇ, κνήμῃσιν· ἰστέον δὲ ὅτι τὸ ὄπισθεν τοῦ σκέλους λέγεται ἰγνύη, καὶ μυὼν δὲ παρὰ τὸ σαρκῶδες καὶ νευρῶδες· κνημῖδες δὲ εἰσὶ τὰ ἐν ταῖς κνήμαις φορούμενα φυλακτήρια τῶν στρατιώτων.

Κλῆρος: (Il. Γ. 325.) Παρὰ τὸ καλῶ καλέσω· κλῶ κλήσω κλῆρος, ὁ καλῶν εἰς ἑαυτὸν τὸν λαχόντα· ὁ δὲ Ἡρωδιανὸς παρὰ τὸ κάλον, ὃ σημαίνει τὸ ξύλον· ἐπειδὴ ἐν ξύλοις ἀνέγραφον τὰ ὀνόματα αὐτῶν, καὶ ὁ ποιητὴς,

ὃς μιν ἐπιγράψας κυνέῃ βάλε φαίδιμος Αἴας. (Il. Η. 187.)

ὅ ἐστιν ἐπιξέσας.

Κυνέη: (Il. Γ. 336.) Εἶδος περικεφαλαίας, Ἰωνικῶς, καὶ κοινῶς κυνέα· ὁ κανών· τὰ εἰς ος ἀρσενικὰ ποιοῦντα κατ' ἰδίαν θηλυκὰ * * * * * * * * * * * τὰ εἰς ος ἤγουν κύνεος· τὸ

[h] Hæc omnia habet Etym. M. p. 507, 15.

ὁλόκληρον κύνειος· τὸ νει δίφθογγος· τὰ διὰ τοῦ ιος ὀνόματα, σημαίνοντα μέρος σωματικόν· ἀποβάλλει δὲ τὸ ι, ὡς τὸ χρύσειος· γίνεται ἐκ τοῦ κύων κυνὸς, κύνειος.

Κορυθαίολος: (Il. B. 816.) Ἐκ τοῦ κόρυς κόρυθος, καὶ τὸ αἰόλλω ῥῆμα· εἰ γὰρ ἦν ἀπὸ τοῦ αἰόλος ὄνομα, ὤφειλε προπαροξύνεσθαι· χωρὶς εἰ μὴ σύνθετον εἴη, ἕνεκα ἐνεργείας παροξυνόμενον· οἷον, πλήσιος παραπλήσιος· αἰόλος παναίολος· τὸ γὰρ κορυθαίολος οὐκ ἔχει ἐγκείμενον τὸ αἰόλος ἀλλὰ[i] τὸ αἰόλλω ῥῆμα, τὸ δηλοῦν τὸ κινῶ· γίνεται ἐκ τοῦ ἀέλλω ἀόλλω, καὶ πλεονασμῷ τοῦ ι αἰόλλω· ἐξ οὗ καὶ αἴλουρος τὸ ζῶον, παρὰ τὸ αἰόλλειν, ὅ ἐστι κινεῖν τὴν οὐράν[k].

Κοτέοντε: (Il. B. 223.) Τὸ ῥῆμα κοτῶ, ἐκ τοῦ κότος· τὸ κο μικρόν· τὰ ἔχοντα τὸ ε ἐγκείμενον· ποίου εἴδους τῶν ὑποπεπτωκότων; εἰδικοῦ· τὸ γενικὸν θυμός· γίνεται παρὰ τὸ κῶ, τὸ κοιμῶμαι· κέω κόος, καὶ κότος· ἡ κοιμωμένη καὶ ἡσυχάζουσα ἐν τῇ ψυχῇ μῆνις.

Κόρυθος: (Il. Γ. 362.) Τὸ ρυ βραχύ· διατί; πᾶσα γενικὴ διὰ τοῦ θος κλινομένη μακρὰν ἔχει τὴν παραλήγουσαν· οἷον, ὄρνις ὄρνιθος· μέρμις μέρμιθος· κῶμυς κώμυθος, σημαίνει δὲ τὸν δεσμὸν τοῦ χόρτου· πλὴν τοῦ κόρυς κόρυθος· τοῦτο γὰρ τὸν χρόνον τῆς εὐθείας ἐφύλαξε καὶ ἐν τῇ γενικῇ· γίνεται παρὰ τὸ κάρα κάρυς, καὶ κόρυς.

Κεστός: (Il. Ξ. 214.) Παρὰ τὸ κέντω βαρύτονον ὁ μέλλων κένσω Αἰολικῶς· ἐξ οὗ τὸ

κένσαι ὁμοκλήσας. (Il. Ψ. 337.)

καὶ τὸ ῥηματικὸν ὄνομα,

κέντορες ἵππων. (Il. Δ. 391.)

ὁ παρακείμενος κέκεκα· ὁ παθητικὸς κέκεσμαι· τὸ τρίτον κέκεσται, κεστός.

Κτάμενος: (Il. Γ. 375.) Ἐκ τοῦ κτῶ, τὸ φονεύω καὶ ἀναιρῶ, γίνεται κτῆμι· ὁ μέλλων κτήσω, ἔκτηκα, ἔκταμαι, ἐκτάθην, ἐκτάμην, κτάμενος ἡ μετοχή· τί δὲ ἐστὶ τὸ ἰσχυρῶς ἀναιρεθέντος; ἐπειδὴ θέλων ὁ ποιητὴς δεῖξαι τὸν ἰσχυρὸν τοῦ

[i] Cod. om. ἀλλά. [k] Cf. Etym. M. p. 531, 40.

δέρματος· τῶν δὲ θνησιμαίων τὰ δέρματα ἀσθενέστερα εἰσὶν ὡς προδιαφθαρέντων· τούτου ἕνεκα εἶπε τὸ ἰσχυρῶς ἀναιρεθέντος.

Κηώεις: (Il. Γ. 382.) Ἐκ τοῦ κέω, τὸ κοιμῶμαι, κεώεις, καὶ τροπῇ κηώεις· οἱονεὶ ὁ πρὸς τὸ κοιμᾶσθαι ηὐτρεπισμένος καὶ εἰργασμένος οἶκος· καὶ ὁ ποιητὴς,

ὄρσο κέων ὦ ξεῖνε. (Od. H. 342.)

ἀντὶ τοῦ κοιμήθητι διεγερθείς.

Κεῖθι: (Il. Γ. 402.) Τὸ κει δίφθογγος· τὰ εἰς θι λήγοντα ἐπιῤῥήματα τὴν παραλήγουσαν θέλει φυλάσσειν τῶν εἰς θεν ἐπιῤῥημάτων· ἀντὶ τοῦ ἐκεῖσε ἐπὶ τόπου· γίνεται οὖν ἐκ τοῦ ἐκεῖνος.

Κύνεσσι: (Il. A. 4.) Δοτικὴ τῶν πληθυντικῶν κατὰ διάλεκτον Αἰολικήν· καί ἐστιν ἀπὸ τῆς εὐθείας τῶν πληθυντικῶν· οἱ γὰρ Αἰολεῖς ἀπὸ τῶν εἰς ευς εὐθείων πληθυντικῶν, προθέσει τῆς σι συλλαβῆς ποιοῦσι τὰς δοτικὰς τῶν πληθυντικῶν· ἔστιν ἡ εὐθεῖα κύων, καὶ ἡ γενικὴ ὤφειλεν κύονος· δύο κανόνες εἰσὶν οἱ μαχόμενοι· ὁ μὲν εἷς λέγει ὅτι τὰ εἰς ων βαρύτονα, συνεσταλμένῳ διχρόνῳ παραληγόμενα, φυλάσσει τὸ ω ἐπὶ τῆς γενικῆς· οἷον Ἀμφιτρύονος· Ἰξίονος· ἕτερος δὲ λέγει, ὅτι τὰ εἰς ων κοινὰ τῷ γένει τρέπουσι τὸ ω ἐπὶ τῆς γενικῆς· οἷον σώφρονος· γείτονος· πλὴν τοῦ εἴρων εἴρωνος· αἴθων αἴθωνος· ταῦτα γὰρ φυλάττουσιν· οὕτως οὖν καὶ κύονος· τῶν οὖν δύο κανόνων μαχομένων ἐγένετο συγκοπὴ καὶ ἐκλήθη κυνός· ἡ μέντοι κλητικὴ εὕρηται κύον διὰ τοῦ ο μικροῦ· ὡς ἀπὸ τῆς κύονος γενικῆς· γίνεται παρὰ τὸ ὠκύς· τὸ γὰρ ζῶον ταχύ ἐστι· καὶ ὑπερβιβασμῷ τοῦ ω κύων· ἢ παρὰ τὸ κύω, τὸ φιλῶ· φιλοδέσποτον γὰρ τὸ ζῶον· τὸ δὲ κύω σημαίνει τρία· τὸ φιλῶ, τὸ προσκυνῶ, τὸ τίκτω.

Κίων: (Il. A. 35.) Ἐκ τοῦ κίω, ἔκιον· καὶ κιὼν ἡ μετοχὴ ἀορίστου β΄· τὸ δὲ κίω σημαίνει δύο· κίω τὸ πορεύομαι· ἐξ οὗ τὸ κιχῶ κιχάνω, κίχημι, καὶ κτίλος ὁ κριὸς, ὁ προηγούμενος· κείω, τὸ κοιμῶμαι· ἐξ οὗ τὸ κακκείοντες· κήω τὸ κη η· σημαίνει δὲ τὸ καίω.

Κρήηνον: (Il. A. 41.) Κραίνω ἐστὶ τὸ ἐπιτελῶ· παρὰ

τὸ κάραν ἤτοι κεφαλὴν ἐπιθεῖναι τῷ πράγματι· ἔστι τὸ θέμα καραίνω, ἀπὸ τοῦ κάραν· ἐν συγκοπῇ κραίνω κρανῶ, καὶ ὁ ἀόριστος ἔκρανα, Ἰωνικῶς ἔκρηνα, καὶ τὸ προστακτικὸν κρῆνον, καὶ πλεονασμῷ τοῦ η κρήηνον.

Καίω: (Il. A. 52.) Ὁ μέλλων καύσω· ἐκλείψει τοῦ σ, ἀποβολῇ τοῦ υ, καὶ τροπῇ τοῦ α εἰς η ἔκηα· ἢ παρὰ τὸ καίω, ὁ παρακείμενος κέκηα, καὶ ἀποβολῇ τοῦ κ· τὸ δὲ καίω παρὰ τὸ κῶ, τὸ καίω.

Κῆρ: (Il. A. 44.) Παρὰ τὸ κέαρ· καὶ προείρηται.

Κῆλα: (Il. A. 53.) Παρὰ τὸ καίω· κυρίως γὰρ σημαίνει τὸν κεραυνὸν, καὶ τὸν πρηστῆρα ἡ λέξις· ἢ παρὰ τὸ ἥσω μέλλοντος, τουτέστιν ἀφήσω, καὶ πέμψω· ἀπὸ τοῦ ἵημι τὸ πέμπω, ἦλον καὶ κῆλον.

Κνίσσης: (Il. A. 66.) Τοῦ λίπους καὶ τῆς ἀναθυμιάσεως· τουτέστι τοῦ καπνοῦ· εἴρηται κνίσσα ἀπὸ τοῦ κνίζω· ὁ μέλλων κνίσω, ὃ σημαίνει τὸ λεπτύνω· λεπτότατος γάρ ἐστιν ὁ ἐπίπλους, τουτέστι τὸ λεγόμενον κνισσάριον· τοῦτο δὲ ἐστὶ καὶ τὸ συκάμινον κνίζοντα, τουτέστι τῷ ὄνυχι διακαθαίρων· καὶ ἐν τῷ Νόμῳ,

ἀποκνιεῖ ὁ ἱερεὺς τὸ ὁλοκαύτωμα[1].

Κέλεαι: (Il. A. 74.) Ἐνεστῶτος παθητικοῦ δευτέρου προσώπου Ἰωνικοῦ· τὸ θέμα κελεύω· κατὰ συγκοπὴν τῆς ευ διφθόγγου, κέλω· ὁ παθητικὸς κέλομαι, καὶ τὸ κέλεαι Ἰωνικὸν ἐκ τοῦ δευτέρου προσώπου.

Κρείσσων: (Il. A. 80.) Ἀπὸ τοῦ κράτος γίνεται κρατύς· ὄνομα συγκριτικὸν κρατύτερος, κρατείων, κράσσων· καὶ τροπῇ τοῦ α εἰς ε, ὡς βάραθρον βέρεθρον, καὶ πλεονασμῷ τοῦ ι κρείσσων.

Κούρη: (Il. A. 111.) Παρὰ τὸ οὐρῶ, τὸ φυλάσσω, οὔρη· καὶ πλεονασμῷ τοῦ κ· ἢ παρὰ τὸ κείρω, τὸ κουρεύω, κόρη· καὶ κούρη Ἰωνικὸν κατὰ πλεονασμὸν τοῦ υ· ἡ κειρομένη ἔτι καὶ νηπιάζουσα.

Κρήγυον: (Il. A. 106.) Παρὰ τὸ κῆρ, ὃ δηλοῖ τὴν ψυ-

[1] Etym. M. p. 522, 29. leg. τὸ ὁλοκάρπωμα.

χὴν, καὶ τὸ ἡδὺ γίνεται κερήδιον· τουτέστι, τὸ τῷ κέαρι ἡδὺ καὶ προσηνές· ὃ ταυτὸν ἐστὶ τὸ θυμῆρες, καὶ συγκοπῇ, καὶ τροπῇ τοῦ α εἰς γ.

Κάθου[m]: Παρὰ τὸ ἕω τὸ καθέζομαι· ὁ μέλλων ἕσω· ὁ β' ἀόριστος, ἕον· ὁ μέσος β' ἀόριστος ἑόμην· ἑόυ, καὶ κράσει οὗ· καὶ τὸ προστακτικὸν οὗ· καὶ μετὰ τῆς κατά.

Κλυταιμνήστρας: (Il. A. 113.) Παρὰ τὸ κλυτὸν, ὃ σημαίνει τὸν ἔνδοξον, καὶ τὸ μήδω, τὸ φροντίζω κλυτομήστρα· τουτέστιν ἡ ἔνδοξα φροντίζουσα. τροπῇ τοῦ ο εἰς η, καὶ προσθέσει τοῦ ι, καὶ πλεονασμῷ τοῦ μυ, Κλυταιμνήστρα· ἰστέον δὲ ὅτι τὰ εἰς ος ὀκταχῶς συντίθησιν.

Κερδαλεόφρων: (Il. A. 149.) Παρὰ τὴν φρένα, καὶ τὸ κερδαλέος· τοῦτο παρὰ τὸ κέρδω, κερδαίνω· τοῦτο παρὰ τὸ κέαρ, καὶ τὸ αἶνος· τουτέστι τὴν ψυχὴν ἰαῖνον· ὅ ἐστιν εὐφραῖνον· τὰ δὲ διὰ τοῦ αλεος πάντα παροξύνεται· οἷον, διψαλέος· γηραλέος· πλὴν τοῦ δαιδάλεος.

Κόμη: (Il. A. 197.) Παρὰ τὸ κείρω, κόρη· τροπῇ τοῦ ρ εἰς μ, κόμη· ἢ παρὰ τὸν κοσμὸν εἶναι ταύτην τοῦ σώματος· κώμη δὲ ἡ χώρα· τοῦτο παρὰ τὸ χῶ, τὸ χωρῶ, χώμη καὶ κώμη.

Κήδετο: (Il. A. 56.) Ὁ Ἀρίσταρχος ἀντὶ τοῦ ἠνιᾶτο· καί ἐστι μετὰ τῆς περί· ἵν' ᾖ, ἠνιᾶτο γὰρ περὶ Δαναῶν,

σέ τε κήδων ἠδὲ σὰ τέκνα. (Il. Ω. 542.)
καλόν τοι σὺν ἐμοὶ τὸν κήδειν. (Il. I. 615.)

δηλοῖ καὶ τὸ ἐφρόντιζε·

κήδετο οἰκήων, οὓς κτήσατο δῖος Ὀδυσσεύς. (Od. Ξ. 4.)

ὅθεν κηδεσταὶ, ὅ τε πατὴρ τῆς γαμετῆς, καὶ αὐτὸς ὁ γαμῶν.

Κυνῶπα: (Il. A. 159.) Ἀναιδὲς πρόσωπον ἔχων, καὶ κυνός· ἀπὸ τοῦ κύων, καὶ κυνὸς, καὶ τὸ ὢψ ὠπός· κυνῶπις, ὡς γλαυκῶπις, καὶ βοῶπις· ἡ γενικὴ εἰς ου, καὶ ἡ κλητικὴ εἰς α.

Κεκάμω: (Il. A. 168.) Ἔστι κάμνω· καὶ ὁ β' ἀόριστος ἔκαμον· ἐὰν κάμω, καὶ ἀναδιπλασιασμῷ κεκάμω, ὡς λάχωσι λελάχωσιν.

Κορώνισιν: (Il. B. 771.) Ὑποκοριστικὸν ἐκ τοῦ κορώνη

[m] Cod. καύθου.

*κορωνίς· τοῦτο ἐκ τοῦ κάρα· δι' ἧς ὑψοῦ ἀνέχειν ἐστὶ, καὶ κορώνη ἐκ τοῦ γαῦρον, * * * καὶ κορώνη ὁ γαῦρος.*

Κώπη: (Il. A. 219.) Ἡ *λαβὴ τοῦ ξίφους· παρὰ τὸ μὴ κόπτειν τὴν χεῖρα· κόπτω οὖν κώπη· τῆς θέσει μακρᾶς γενομένης φύσει, ὡς ἀπὸ τοῦ κολλῶ κωλύω.*

Κεχαροίατο: (Il. A. 256.) Β' *μέσου ἀορίστου παθητικοῦ εὐκτικοῦ* Ἰωνικοῦ *τρίτου τῶν πληθυντικῶν· οἱ γὰρ* Ἴωνες *πᾶν ῥῆμα εὐκτικὸν τρίτου προσώπου τῶν πληθυντικῶν ἔχον τὸ υ, κατὰ μετάθεσιν τοῦ νυ εἰς α προφέρονται· οἷον, μνήσαντο μνησαίατο· πύθοιντο πυθοίατο· λέγοιντο λεγοίατο· ἔστιν οὖν ἐκ τοῦ χαίρω ῥήματος· ὁ β' ἀόριστος ἔχαρον, ἐχάρην, χαροίμην, καὶ ἐν ἀναδιπλασιασμῷ κεχαροίμην· τὸ δὲ χαίρω ἐκ τοῦ χῶ, τὸ χωρῶ.*

Καί: Σύνδεσμος *συμπλεκτικός· ἰσοδυναμῶν τῷ τέ· καὶ προείρηται.*

Κήδω: (Il. B. 27.) Σημαίνει *τὸ θάπτω· γίνεται παρὰ τὸ χῶ, τὸ χωννύω· οὗ ὁ μέλλων χήσω, καὶ μετάγεται ὁ μέλλων εἰς ἐνεστῶτα, καὶ τροπῇ τοῦ χι εἰς κ· καὶ τοῦ σ εις δ, κήδω.*

Κεκάδοντο: (Il. O. 574.) Ἀπὸ *τοῦ χάζω χάσω, κέχαδα· ὁ ἀόριστος ἔχαδον, ὡς φράζω φράσω, ἔφραδα, ἔφραδον· καὶ τροπῇ τοῦ δασέος εἰς ψιλὸν, ἔκαδον· καὶ ὁ παθητικὸς ἐκαδόμην, ἐκαδόμεθα, ἐκάδοντο, καὶ προσελεύσει τοῦ κ κεκάδοντο.*

Κόσμηθεν: (Il. Γ. 1.) Ἔστι *κοσμῶ κοσμήσω· ὁ παρακείμενος κεκόσμηκα· ὁ παθητικὸς κεκόσμημαι, ὁ ἀόριστος ἐκοσμήθην· καὶ τὸ τρίτον τῶν πληθυντικῶν ἐκοσμήθησαν ὤφειλεν εἶναι, ἀλλ' οἱ* Αἰολεῖς *ἐναντίον τῷ κειμένῳ ποιοῦσι· λέγει γὰρ τὸ κείμενον ὅτι τὰ ἔχοντα τὴν μετοχὴν εἰς σ ὀξύτονον, ποιοῦσι τὰ τρίτα τῶν πληθυντικῶν ἰσοσύλλαβα τοῖς πρώτοις· τὰ δὲ μὴ ἔχοντα ποιοῦσι τὰ τρίτα ἐνδεῖν τοῖς πρώτοις συλλαβήν· οὗτοι δὲ οὐχ οὕτως, ἀλλὰ τὰ ἔχοντα τὴν μετοχὴν ὡς τὰ μὴ ἔχοντα· οἷον, τετυφὼς, τετύφαμεν, τέτυφαν, οὐχὶ τετύφασι· καὶ πάλιν ἔτυπτον, ἐτύπτομεν, ἐτύπτεσαν, οὐχὶ ἔτυπτον· ἠγέρθημεν, ἤγερθεν, οὐχὶ ἠγέρθησαν· οὕτως οὖν ἐκοσμήθημεν, ἐκόσμηθεν, οὐχὶ ἐκοσμήθησαν· ἀντὶ τοῦ διετάχθησαν.*

Κτεάτισσα: (Il. Π. 57.) Τὸ θέμα κτεατίζω· τοῦτο παρὰ τὸ κτῶ μονοσύλλαβον, τὸ σημαῖνον τὸ κτῶμαι· ὁ μέλλων κτήσω, καὶ ὡς μνήσω μνήμων, οὕτως κτήσω κτήμων, καὶ ἀκτήμων,

οὐδέ κεν ἀκτήμων ἐριτίμοιο χρυσοῖο. (Il. I. 126.)

παρὰ τὸ κτῶ γίνεται καὶ κτέαρ,

υἱὸν δ' οὐ τέκετ' ἄλλον, ἐπὶ κτεάτεσσι λιπέσθαι. (Il. E. 154.)

καὶ ὡς γόνατι γονατίζω, οὕτως κτέατι κτεατίζω· ἢ ὥσπερ παρὰ τὸ ῥήσσω ῥητὸς, καὶ τρήσω τρητὸς,

τρητοῖο λιθοῖο. (Od. N. 77.)

καὶ κτητὸς,

κτητοὶ δὲ τρίποδές τε. (Il. I. 407.)

οὕτως παρὰ τὸ ἐρῶ ἐράσω ἐρατός· ἀπὸ τούτου τοῦ εἰς τος γίνεται παράγωγον ῥῆμα διὰ τοῦ ιζω ἐρατὸς ἐρατίζω·

ὁ δὲ κρειῶν ἐρατίζων. (Il. Λ. 550.)

πειρητὸς,

οὐδ' ἀπειρήτως μαντεύομαι. (Od. B. 170.)

πειρητίζω,

ἆσσον ἴεν πολυκάρπου ἀλωῆς, πειρητίζων. (Od. Ω. 220.)

κτητὸς κτητίζω, καὶ διαλύσει τοῦ η εἰς ε καὶ α, κτεατίζω· ὡς ζῆθος ζέαθος· κτητὸς κτέατος,

Κτεάτου υἷες, (Il. N. 185.)

παρ' οὗ καὶ τὸ κτέανον, οὗ σύνθετον φιλοκτέανος, καὶ ὑπερθετικὸν,

Ἀτρείδη κύδιστε φιλοκτεανώτατε πάντων. (Il. A. 122.)

Δωρικῶς κτεάτιξα.

Κρῖ: (Il. E. 196.) Ὄνομα οὐδέτερον, μὴ ὄνομα στοιχείου, εἰς φωνῆεν λῆγον εἰς συνεσταλμένον αὐτὸ λήγει· γόνυ· δόρυ· μέλι· πόμα· πρόσκειται ὄνομα στοιχείου διὰ τὸ ἄλφα· ξι· μυ· ὥστε πέπονθεν, ὡς τὸ κάρη· δῶ· πρόσκειται εἰς φωνῆεν λῆγον διὰ τὸ οὗς· φῶς· κῆρ· μακρὸν τὸ ι· μετὰ γὰρ τὰς ἀποκοπὰς ἐκτάσεις ἀκολουθοῦσιν· ἔνια γὰρ ἐνιαχοῦ· πόθεν πώ· αὐτόθεν αὐτώ· τουτόθεν τουτώ· παρὰ Συῤῥακουσίοις οὕτως λεγόμενα· ὁμοίως ἱδρῶτα ἱδρῶ· κάρηνον κάρη.

Καλά: (Il. B. 44.) Ὄνομα ἐπιθετικὸν οὐδέτερον πτῶσις

αἰτιατική· ὅπερ Ὅμηρος οὐδέποτε κατὰ συστολὴν, ἀλλ' ἀεὶ ἐκτεταμένως προφέρεται· καὶ ἐὰν ἀντ' ἐπιῤῥήματος παραλαμβάνῃ αὐτὸ,

οὐ γὰρ καλὸν ἀτέμβειν[n]. (Od. Υ. 294.)
ὅς[o] μοι καλὰ τὸν οἶτον. (Il. Ω. 388.)

ὀξύνεται· τὰ εἰς λος λήγοντα βραχείᾳ παραληγόμενα βαρύνεται, εἰ μὴ πρὸς διάφορον σημαινόμενον· οἷον, θόλος πρὸς τὸ θολός· τὸ μὲν θολὸς ἐπὶ τοῦ Πρυτανείου· τὸ δὲ θόλος ἐπὶ τῆς σηπίας· οὕτως ἄρα τὸ καλὸς ὀξύνθη πρὸς τὸ κάλος,

ἐν δ' ὑπέρας τε κάλους τε. (Od. Ε. 260.)

παραδείγματα τοῦ βαρέος τόνου· φίλος· στόλος· πίλος· πόλος· μύλος· Μόλος·

Μηριόνη[p] Μόλου υἱέ. (Il. Ν. 249.)

ὁ ποιητὴς τοῦ καλοῦ ἐκτείνει τὴν παραλήγουσαν.

Κακόν: (Il. Α. 82.) *Ὄνομα ἐπιθετικὸν οὐδέτερον· ἔστι δὲ καὶ ἀρσενικὸν τὸν κακόν· γίνεται τὸ κακὸς παρὰ τὸ χάζω τὸ ὑποχωρῶ, καὶ ἁρμόζει, εἴτε ἐπὶ τοῦ δειλοῦ, εἴτε ἐπὶ τοῦ πονηροῦ· τροπῇ τοῦ χ εἰς κ κακός· ὡς τὸ κεκάδοντο· ἀπὸ γὰρ τοῦ χάζω ὁ β' ἀόριστος ἔχαδον, ὁ μέσος παθητικὸς ἐχαδόμην, ἐχαδόμεθα, ἐχάδοντο· καὶ κατὰ ἀναδιπλασιασμὸν χεχάδοντο, καὶ τροπῇ κεκάδοντο· καὶ τὸ κεκαδήσει· χαδῶ γάρ ἐστι περισπώμενον, ὁ μέλλων χαδήσω, τὸ τρίτον χαδήσει, κατὰ διπλασιασμὸν χεχαδήσει· καὶ τροπῇ τοῦ χ εἰς κ κεχαδήσει· καὶ τὸ κεχαδών· χάζω ἔχαδον, ἡ μετοχὴ ὁ χαδών· κατὰ διπλασιασμὸν χεχαδὼν, καὶ τροπῇ κεκαδών· ἀπὸ δὲ τοῦ χάζω καὶ κάδος, ἀγγεῖον χωρητικόν· παρὰ δὲ τὸ κακὸς κακίζω ῥῆμα, ἔνθεν τὸ,*

ἐπεὶ οὐ κακιζόμενόν γε κατέκτα. (Il. Ω. 214.)

ἀπὸ τοῦ κακίζω, κατὰ ἀποβολὴν τοῦ κ, καὶ ἐν πλεονασμῷ τοῦ ι αἰκίζω· τὸ δὲ κακὸν λαμβάνεται καὶ ἀντὶ ἐπιῤῥήματος· ἡνίκα οὐδέτερον φαίνεται πτώσεως αἰτιατικῆς, ὡς ἐνταῦθα,

ὅττι τοι ἐν μεγάροισι κακόν τ' ἀγαθόν τε τέτυκται. (Od. Δ. 392.)

φέρεται γὰρ ἐπὶ ῥῆμα τὸ τέτυκται.

[n] Cod. ἀτέμβῃ. [o] Cod. ὥς. [p] Cod. Μηριόνου.

Καί: Σύνδεσμος συμπλεκτικὸς ἀθροιστικὸς ἰσοδυναμῶν τῷ τε, ὡς προείρηται· διαφέρων αὐτοῦ τάξει· ὁ μὲν γὰρ τὰ ὄπισθεν συμπλέκει·

Ἀρκεσίλαός τε Προθοήνωρ τε Κλόνιός τε. (Il. B. 495.)

ὁ δὲ τὰ ἐπιφερόμενα· καὶ Ἀρκεσίλαος καὶ Προθοήνωρ.

Κῶν:

καὶ Κῶν Εὐρυπύλοιο πόλιν. (Il. B. 677.)

ἡ εὐθεῖα κακῶς· ὁ τόνος περισπώμενος· οὐδὲν ἄλλο εἰς ως θηλυκὸν περισπᾶται ἢ μόνον τὸ Κῶς, ὃ συμπέπτωκεν οὐδετέρῳ τῷ Κῶς, καὶ ἐπιῤῥήματι πευστικῷ κατὰ τοὺς νεωτέρους Ἴωνας·

κακῶς δὲ θεαί.

ἡ δὲ περισπωμένη ἐπὶ μὲν τοῦ οὐδετέρου ἐκ τοῦ κῶας·

φέρε δὴ δίφρον καὶ κῶας ἐπ' αὐτοῦ. (Od. T. 97.)

ἐπὶ δὲ τοῦ θηλυκοῦ ἐκ τοῦ Κῶας, Κῶς ἢ Κῶος,

καί μιν ἔπειτα Κῶονδ' εὖ ναιομένην. (Il. Ξ. 255.)

κλιτέον δὲ Κῶς Κῶος Κῶ καὶ Κῶν· ἡ κλητικὴ ὦ Κῶ· ὁ κανών· πᾶσα μονοσύλλαβος εὐθεῖα περισπωμένη ἀρσενικοῦ ἢ θηλυκοῦ ὀνόματος, ἀπαρασχημάτιστος οὐδετέρῳ γένει, ἀποβολῇ τοῦ σ τὴν κλητικὴν ποιεῖ· γλαῦς· γραῦς· ναῦς ναῦ· σῦς σῦ· παῖς παῖ· βοῦς βοῦ· νοῦς νοῦ· οὕτως Κῶς Κῶ· πρόσκειται ἐπὶ ἀρσενικῶν ἢ θηλυκῶν· ἐπεὶ τῶν οὐδετέρων ἡ αὐτὴ φωνὴ ἐστὶν ἐν εὐθείᾳ καὶ κλητικῇ· οἷον τὸ φῶς ὦ φῶς· πρόσκειται ὅτι μὴ ἔχει παρασχηματισμὸν οὐδετέρου, διὰ τὸ εἷς καὶ πᾶς· μὴ τοῦ πατρὸς μειωτικὸν, ἐπεί τοί γε ὦ πᾶ· ὁπότε δὴ παρεσχημάτισται πᾶς παντὸς, ὦ πᾶς· ἂν γὰρ γένηται ὦ πᾶς Ἀττικόν ἐστιν, ὡς τὸ ὦ Κῶς· τίνι δὲ λόγῳ παραπεφύλακται τὰ παρεσχηματισμένα· ὁπόταν γὰρ ὁ παρασχηματισμὸς γένηται οὐδετέρου ἐν περισσοσυλλάβῳ γενικῇ συνεμπίπτει τῇ κλητικῇ τὸ οὐδέτερον· οἷον, ταχὺς ταχέος, τὸ ταχὺ, τοῦ ταχέος, ὦ ταχύ· σώφρων σώφρονος, τὸ σῶφρον, ὦ σῶφρον· τλήμων τλήμονος, ὦ τλῆμον· εὐσεβὴς εὐσεβέος, τὸ εὐσεβές· ἔστι οὖν πᾶς παντὸς παρασχηματισμὸς οὐδετέρου τὸ πᾶν, ὦ πᾶν ἡ κλητική· διὰ τοῦτο τὰ παρεσχηματισμένα ἐφυλάξατο ὁ κανὼν, ὅτι συνεμπίπτει τὸ οὐδέτερον· εἰ οὖν τοῦ εἰς τὴν κλητικὴν ζητεῖς, εἰ μὲν τῷ λόγῳ

τῶν μονοσυλλάβων, ὡς γραῦς γραῦ· ἀποβολῇ τοῦ σ ποιεῖ τὴν κλητικήν· ἀλλὰ μάχεται ὁ παρασχηματισμός· εἷς γὰρ ἑντὸς ἕν· μαχομένων οὖν τῶν δύο κανόνων, ἐξέστη ἡ κλητική· ἡ εὐθεῖα τῶν δυϊκῶν τὰ Κώ· καθόλου γὰρ ἐὰν φθάσῃ ἡ γενικὴ εἰς ω περατωθῆναι[q] καὶ τὸ δυϊκὸν εἰς ω, χωρὶς εἰ μὴ Ἰωνικὴ εἴη, διὰ τὸ Ἀτρείδεω, τῆς ἕω, τὸν ἕω· τοῦ Μενέλεω, τὼ Μενέλεω· ταῖν Κῷν, αἱ Κῶ, τῶν Κῶν, ταῖς Κῶς, τὰς Κῶς, ὦ Κῶ.

Κατά: Συντάσσεται γενικῇ καὶ αἰτιατικῇ "κατ' Ἀπολλωνίου· κατ' Ἀπολλώνιον·" ἔχει ἐξαίρετα ἡ κατά· ἀντιστρέφεται "ἄστυ κάτα·" πλεονάζει τὸ ι καταὶ, καὶ ἐν συνθέσει,

καταιβαταὶ ἀνθρώποισιν. (Od. N. 110.)

ἀντὶ τοῦ καταβαταί· συγκόπτεται καὶ ὅλην συλλαβὴν ἀποβάλλει·

κάκτανε Βελλεροφόντην. (Il. Z. 164.)

τρέπουσα τὸ α εἰς ω ποιεῖ ἐπίῤῥημα, τὸ κάτω· εἰ δὲ συντάσσεται γενικῇ τίνι συντάσσεσθαι εἴπομεν ἐν τῷ[r]

τῇ ἴκελος Πάτροκλε κάτα δάκρυον εἴβεις; (Il. Π. 11.)

καὶ λέγομεν ὅτι κατείβεις ἐστὶ τὸ ἑξῆς, ὡς ἐν τῷ

λέων κατὰ ταῦρον ἐδηδῶς. (Il. P. 542.)

καὶ

οἳ κατὰ βοῦς Ὑπερίονος Ἠελίοιο
ἤσθιον. (Od. A. 8.)

ἔστι γὰρ τὸ ἀκόλουθον κατήσθιον βοῦς· οὕτως καὶ ἐνταῦθα "κατείβεις δάκρυα·" ὁπότε δὲ τὴν σύνταξιν ἔχει πρὸς αἰτιατικὴν ἕτερον ἔχει νοητὸν, "κατ' Ἀπολλώνιον πεποίηται· κατὰ Δίωνα."

Κεῖνον:

ὃς κεῖνον δύστηνον· (Od. Δ. 182.)

νῦν ἀναφορικὴ ἀντωνυμία· ἔστιν δὲ ἡ δεικτική,

καὶ νῦν οἱ πάρα κεῖνος ἀνήρ. (Il. E. 604.)

καὶ ἡ δεῖξις μὲν αὕτη ἐν διαστήματι· οὐκ ἔστιν δὲ ὁμοία τῇ οὗτος, ὥς τινες φασίν· ὁ γὰρ λέγων οὗτος, οἷός τε ἐστὶ καὶ

q Cod. περατωθεῖναι. r Cod. ἐνω (π written above).

λαβέσθαι τοῦ παρόντος· ὁ δὲ λέγων ἐκεῖνος, ὡς ἐν διαστήματι δείκνυσιν· ὅτι δὲ οὐχ ὁμοία ἡ λέξις τῇ οὗτος δῆλον,

οὗτός τοι Διόμηδες ἀνήρ. (Il. Ε. 477.)

πλησιάσας φησίν· ἆρον τὸ οὗτος καὶ ποίησον τὸ ἐκεῖνος· "κεῖνός τοι Διόμηδες ἀνὴρ" οὐ δύναται, οὐ γὰρ ἐν ἀποστήματι ἐστί· γράφεται διὰ τῆς ει διφθόγγου· τῆνος γὰρ καὶ κῆνος Συῤῥηκούσιοι· οἶδεν ὁ ποιητὴς διφορουμένην·

κείνου μέντοι ὅδ' υἱός. (Od. Δ. 157.)

ὡς κείνῳ ἀναφανδόν. (Od. Δ. 222.)

οἶδε δὲ τὴν ἐκεῖνος,

μηδ' ἀντιάσειας ἐκείνῳ. (Od. Σ. 146.)

διὸ ἐν τῷ

ἐπεὶ καὶ κεῖνος ἐπίστροφος ἦεν ἀνθρώπων. (Od. Α. 177.)

Ἀρίσταρχος ἀξιοῖ,

ἐπεὶ καὶ κεῖνος,

ἐπεὶ κᾀκεῖνος.

κατὰ ἔκθλιψιν τοῦ ι καὶ κρᾶσιν· εἰ γὰρ ἠγνόει τὴν ἐκεῖνος ὁ ποιητὴς, ἐχρῆν τὸ πάθος παραλαμβάνειν· εἰ δὲ οἶδε τὴν δισύλλαβον παρελάβωμεν, ὥσπερ κἂν τούτῳ·

καὶ κεῖθι θεῷ ὡς εὐχετοῴμην. (Od. Θ. 467.)

οὐχὶ κᾀκεῖθι· οἶδε γὰρ καὶ τὸ κεῖθι·

κεῖθι δὴ αἰνότατον. (Od. Θ. 119.)

οἶδε καὶ τὸ κεῖσε, τὸ εἰς τόπον·

οἱ κεῖσέ γε φέρτεροί εἰσι. (Il. Ψ. 461.)

καὶ τὸ κεῖθεν,

κεῖθεν δ' ἐς Σπαρτήν τε. (Od. Α. 285.)

παρὰ τὸ ἐκεῖθι· κεῖθι· καὶ κεῖ, παρὰ Ἀρχιλόχῳ[s]· ψιλοῦται ἐκεῖνος· τὸ ε πρὸ τοῦ κ ὁπότε μὴ ἐγκλίσεως εἴη ῥηματικῆς, μὴ δὲ ἀπὸ προθέσεως γενομένη δασύνεται· ἕκηνος· ἕκυρος· ἕκαστος· Ἑκάβη· τὸ ἐκεχειρία οὐχ εἶχε τὸ κ, ἀλλὰ τὸ χ, ἐχεχειρία· διὸ καὶ ἐφυλάχθη τὸ πνεῦμα τοῦ ἔχω· πρόσκειται μὴ ἀπὸ προθέσεως γενόμενον, διὰ τὸ ἔκπωμα· ἐκτός· πρόσκειται εἰ μὴ ἐγκλίσεως ῥηματικῆς, διὰ τὸ ἐκάλουν· ἔκρινον· τὰ τοιαῦτα· τὸ

[s] Cod. ἀρχιλόγω.

ἐκεῖνος, ἐπεὶ ἀφαιρεῖται καὶ προστίθεται τὸ ι, κατὰ τοῦτο ψιλοῦται· καὶ γὰρ τὸ ε προερχόμενον καὶ ἀποπίπτον, ψιλοῦται· καὶ ἄλλως αἱ τοῦ τρίτου προσώπου ἀντωνυμίαι ἀρχόμεναι ἀπὸ τοῦ ε δασύνονται· ἑοῦ· ἑῷ· ἑόν· ἡ δέ ἐκεῖνος ψιλοῦται· ἐπεὶ αἱ ἀρχόμεναι ἀπὸ τούτου συμφώνου οὐκ εἶχον μεταξὺ, ἡ δέ γε ἐκεῖνος ἔχει.

Κύκλα:

χρύσεα δέ σφ' ὑπὸ κύκλα ἑκάστῳ πυθμένι θῆκε. (Il. Σ. 375.)

τινὲς ὑφὲν ἀναγινώσκουσιν ὑπόκυκλα, ὡς ὑπότροχα· ὁμοίως ἐν τῇ Ὀδυσσείᾳ ἐπὶ τοῦ ταλάρου,

τάλαρόν θ' ὑπόκυκλον ὄπασσε. (Od. Δ. 131.)

ἀλλ' ἐκεῖ μὲν κατεπεῖγον, ἐνταῦθα δὲ τὸ ἑξῆς ἐστὶν ὑπέθηκε κύκλα· τὸ δὲ κύϊκλα μεταπλασμός ἐστιν· ὁ δὲ τοιοῦτος μεταπλασμὸς τὸν αὐτὸν τόνον φυλάττει· θύρσους θύρσα· λύχνους λύχνα· ἐρετμοὺς ἐρετμά· εἰ οὖν κύκλα καὶ κύκλοι· καὶ εἰς τοῦτο ἀληθὲς πῶς ἀπὸ τοῦ μηροὺς τὰ μῆρα· μήποτ' οὖν τοῦ μηρία[t] συγκοπή· καὶ ἄλλως οὐ τὸ αὐτὸ σημαινόμενον· οἱ μὲν γὰρ μηροὶ ἐπὶ ἀνθρώπων[u] καὶ ἐπὶ ἄλλων τινῶν, ἀλλὰ καὶ ἐπὶ τῶν ἐναγιζομένων· γίνεται παρὰ τὸ κλῶ, ἀφ' οὗ μονοσύλλαβον κλός· καὶ ἐπεὶ οὐδὲν εἰς ος λήγει μονοσύλλαβον ὄνομα, ἀναδιπλασιασμὸν δεξάμενον ἐγένετο κύκλος· ὡς παρὰ τὸ θῶ, τὸ θηλάζω, θος, καὶ κατὰ ἀναδιπλασιασμὸν τηθός· οὐκ ἀντιπίπτει τὸ πος διὰ τὸ πάθος· ἔνθεν ὁ ποιητὴς οὐδέποτε ἐπὶ τοῦ μονοσυλλάβου ὕφεσιν ἐποιήσατο ἀλλ' ἐν τῷ συνθέτῳ,

ἀέλλοπος Ἶρις. (Il. Θ. 409.)

Καλλίτριχα:

καλλίτριχα μῆλα νομεύων. (Od. I. 336.)

ἡ εὐθεῖα τὸ καλλίτριχον, ὡς ἀπὸ τοῦ ὁ καλλίτριχος ἀρσενικοῦ· ὥσπερ γὰρ ἀπὸ τοῦ σύζυξ σύζυγος γίνεται εὐθεῖα ὁ σύζυγος, τοῦ συζύγου, καὶ παρὰ τὴν νυχὸς γενικὴν πάννυχος,

πάννυχοι ἐγρήσσοντες. (Il. Λ. 550.)

καὶ πολυπίδαξ πολυπίδακος πολυπιδάκου, οὕτως καὶ καλλίθριξ καλλίτριχος· καὶ καλλίτριχος εὐθεῖα, ἐξ ἧς καὶ τὸ οὐδέτερον· τὸ δὲ

[t] Cod. μυρία. [u] Leg. vid. μηρία δέ.

πρίν γ' ἐπ' Ἀχιλλῆος καλλίτριχε βήμεναι ἵππω. (Il. P. 504.)

οὐκ ἀπὸ καλλίτριχος, καλλιτρίχω γὰρ ἂν ἦν· ἀλλ' ἀπὸ τοῦ καλλίθριξ· τὸ δὲ νομεύων, ἀντὶ τοῦ νομεύσας· ἔθος γὰρ τῷ ποιητῇ παρῳχημένοις ἀντὶ συντελικῶν χρῆσθαι· οἷον,

τοῖσι δ' ἀνιστάμενος μετέφη. (Il. A. 58.)

ἀντὶ τοῦ ἀναστάς.

Κνέφας:

νήστιες ἄχρι μάλα κνέφαος. (Od. Σ. 369.)

οἱ μὲν κατὰ στέρησιν τοῦ φάους, νέφας, καὶ πλεονασμῷ τοῦ κ, ὡς ἐν τῷ κτύπος καὶ καυλὸς, κνέφας·

δύη τ' ἠέλιος καὶ ἐπὶ κνέφας ἱερὸν ἔλθῃ. (Il. Λ. 194.)

ὅτι δὲ ἡ νη στέρησις ἐστὶ, δῆλον· κτῶ δὲ τὸ φονεύω·

ὁπότε κεν τούτους κτέωμεν. (Od. X. 216.)

κτῶ κτὰρ νέκταρ, τὸ μὴ τῶν κτεινομένων· οἷον, τὸ μὴ διδόμενον θνητοῖς· καὶ νεκρὸς, κατὰ στέρησιν τῆς κηρός· καὶ νεβρὸς, κατὰ στέρησιν τῆς βορᾶς· οἱ δὲ οὐ πλεονασμὸν εἶναι τοῦ κ λέγουσιν, ἀλλὰ φασὶ κενὸν τὸ φάος κνέφας· καὶ κατὰ συγκοπὴν, ὥσπερ καὶ τὸ κνώσσειν, ὃ σημαίνει τὸ κοιμᾶσθαι,

ἡδὺ μάλα κνώσσουσα. (Od. Δ. 809.)

ὄσσω γὰρ ἐστὶ τὸ βλέπω, καὶ κενόσσω· τὸ κενοῦσθαι οὖν τὸ βλέπειν· κενώσσω καὶ κνώσσω κατὰ συγκοπήν· τὰ δὲ εἰς ας οὐδέτερα, ὡς ἐπὶ τὸ πολὺ, τῇ γενικῇ καθαριεύει παρὰ τοῖς Ἴωσι· δέπαος· κρέαος· γέραος· σπέπαος· πρόσκειται ὡς ἐπὶ τὸ πόλυ, διὰ τὸ ὕδατος καὶ οὔατος[v] οὐ γὰρ εὕρηται οὔαος καὶ ὕδαος· τὸ ἀλείφατος ὡς ἀπὸ τοῦ ἄλειφαρ, ἢ ἄλειφα· ἀπὸ γὰρ τῶν εἰς α οὐδετέρων καὶ εἰς αρ, οὐ γίνεται ἔνδεια τοῦ τ· οἷον, νόημα νοήματος, καὶ ἧπαρ ἥπατος· τὸ καρήατος οὐκ ἀπὸ καρήαρ.

Κεχαρηότα: (Il. H. 312.) Μετοχὴ ἑνικὴ ἁπλῆ ἐνεργητικὴ, χρόνου παρακειμένου καὶ ὑπερσυντελικοῦ· οὐκ ἀπὸ τοῦ χαίρω, τούτου γὰρ ὁ παρακείμενος κέχαρκα, καὶ ὁ μέσος κέχηρα, κεχηρὼς, καὶ γίνεται κεχηρότα· τῆς δέ γε κεχαρκὼς κεχαρκότος· ἀλλ' οὔτε ἀπὸ τοῦ χαιρῶ χαιρήσω· καὶ τούτου γὰρ

[v] Cod. ὄνατος.

ὁ παρακείμενος κεχαίρηκα, καὶ ἡ μετοχὴ γίνεται κεχαιρηκὼς, καὶ γίνεται κεχαιρηκότος· ἀλλὰ κρεῖττον λέγειν, ὅτι ἀπὸ τοῦ χαρῶ, ὅπερ γίνεται καθ' ὑποστολὴν τοῦ ι· τούτου ὁ παρακείμενος κεχάρηκα, ὡς ἀπὸ τοῦ βαρῶ βεβάρηκα· ἡ μετοχὴ κεχαρηκὼς, ὡς βεβαρηκώς· ἡ αἰτία κεχαρηκότα, ὕφεσις τοῦ κ κεχαρηότα· τούτῳ δὲ τῷ χαρῶ συνεχῶς κέχρηνται οἱ παλαιοὶ,

σὺ δ' οὖν ἐπειδὴ τοῦτο κεχάρηκας ποιῶν.

Ἀριστοφάνης Σφῆξιν[w]· ὡς οὖν ἀπὸ τοῦ βεβαρηκότα ὑφέσεως γενομένης γίνεται βεβαρηότα, ἀφ' οὗ

οἵ δ' ἦλθον οἴνῳ βεβαρηότες υἷες Ἀχαιῶν. (Od. Γ. 139.)

τέτληκα τετληκὼς, τετληκότι, ὑφέσει τοῦ κ,

τετληότι θυμῷ· (Od. Δ. 447.)

πέπτηκα πεπτηκὼς,

πεπτηὼς γὰρ ἔκειτο. (Od. X. 362.)

οὕτως οὖν καὶ ἀπὸ τοῦ κεχαρηκότα ὕφεσις ἐγένετο τοῦ κ· τοῦ δὲ χαίρω, ὁ μέλλων χαιρήσω· ἀφ' οὗ ῥηματικὸν ὄνομα Χαιρήμων, ὡς αἰδῶ αἰδήσω αἰδήμων· τοῦ δὲ χαίρω κεχάρηκα, ἀφ' οὗ τὸ

κεχαρημένος ἔλθοι

ἀπὸ δὲ τοῦ μέλλοντος τοῦ χαρήσω τὸ ἀπαρέμφατον χαρήσειν, καὶ παράγωγον χαρησέμεν, ὃ γίνεται κατὰ πλεονασμὸν,

κεχαρησέμεν ὑστάτιόν περ[x].

ἔθος γὰρ αὐτῷ πλεονάζειν τὴν κε συλλαβὴν κατ' ἀρχήν· οἷον, χάροιτο,

οὕνεκέν οἱ κεχάροιτο γυνή. (Od. B. 249.)

ὁ παρατατικὸς ἐχαρόμεθα, ἐχάρεσθε, ἐχάροντο,

κεχάροντο δὲ πάντες Ἀχαιοί. (Od. Δ. 344.)

Ἰστέον δὲ ὅτι ἔσθ' ὅτε μετὰ τὴν ὕφεσιν τοῦ κ συστολὴ ἐπηκόλουθεν· ἑστηκότος,

ἑσταότος μὲν καλὸν ἀκούειν. (Il. T. 79.)

καὶ τῇ ὑφέσει τοῦ κ συστολὴ γίνεται, τοῦ η συστελλομένου· ἤτε εἰς τὸ α, ἤτε εἰς τὸ ε· εἰς μὲν τὸ α· οἷον, βέβηκα, ἡ μετοχὴ βεβηκὼς, ὑφέσει τοῦ κ βεβηὼς, καὶ συστολῇ βεβαώς· εἰς δὲ τὸ ε· ἕστηκα ἑστηκὼς ἑστηὼς ἑστεώς·

[w] v. 764. [x] Il. Θ. 353. edd. ὀλλυμένων Δαναῶν κεκαδησόμεθ' ὑστάτιόν περ. κεχαρησέμεν est Il. O. 98.

ἑστεότα χ' αὐτοῦ

διὰ τοῦ ε· τεθνηκὼς τεθνηὼς τεθνεώς[y].

Κτείς: Σημαίνει τὸν κτένα· ἔχει δὲ ἀφαίρεσιν τοῦ ε, ὡς τὸ ῥυτῆρες· ἐρυτῆρες γάρ ἐστι τὸ ἐντελές· καὶ τὸ χεὶρ δὲ ἀφαίρεσιν ἔχει τοῦ ε· καὶ νίκη ἐνιείκη τὶς οὖσα, καὶ ἐνὶ εἴκουσα· καὶ τοῦτο δὲ ἐκτείς ἐστι· παρὰ γὰρ τὸ ἐκτείνω ἐκτεὶς, καὶ κτείς· ἡ ἐκτείνουσα[z] εἰς μῆκος τοὺς τριχάς.

Καδδέ: (Od. Π. 190.)

κάδδ' ἔπεσε κονίῃσι μακών. (Il. Π. 469.)

μέρος λόγου ἐστὶν, ἢ μέρος λέξεως πρὸς τὸ νοητόν· τοῦτο δὲ λέγομεν ὅτι διαλύει ὁ ποιητὴς συνθέτους λέξεις, οὐδέποτε ἁπλᾶς, καὶ πολλῶν μεταξὺ κειμένων· οἷον,

νήπιοι οἳ κατὰ βοῦς Ὑπερίονος Ἠελίοιο
ἤσθιον. (Od. A. 8.)

τὸ γὰρ ἑξῆς ἔστιν "κατήσθιον·"

ἂν' δ' ἴσχον τελαμῶνα. (Il. E. 798.)

τούτου τοῦ εἴδους καὶ τὸ

κάδδ' ἔπεσε κονίῃσι μάκων·

ζητοῦμεν οὖν καὶ τὸ τοῖς δεσσι πῶς εἴρηται· καὶ ἄμεινον λέγειν ἐπέκτασιν· τοῦτο μιμούμενος Ἀλκαῖος φησὶ "τῶν δεῶν" ὅπερ τινὲς ἀγνοίᾳ τ' ἀκριβοῦς ἀνέγνωσαν "τῶν δεῶν," ἵν' ᾖ τῶν δεῖν· οὐκ εἰσὶν οὖν μέρη λόγου ἀλλὰ μέρη λέξεως· πρόθεσις οὖν ἡ κατὰ νῦν ἔχουσα πρὸς τὸ ῥῆμα σύνταξιν, ἀναστρεφομένη συγκοπτομένη, εἰς ἐπίῤῥημα παρηγμένη τῷ κάτω, μόνη δὲ ἐκβάλλουσα τελευταίαν συλλαβὴν μετὰ συμφώνου· τῶν δὲ ἄλλων οὐδεμία τοῦτο πάσχει· οἷον ἡ ἀνὰ ἂν γενομένη ἀποβάλλει μὲν τὸ φωνῆεν, οὐκ ἔτι δὲ τὸ σύμφωνον· ἡ παρὰ γενομένη παρ· ἡ μέντοι κατὰ γίνεται κα· κάκτανε· κάτθανε· καὶ τὸ αἴτιον λέγομεν πόθεν γίνεται· ἔθος γὰρ αὐτῇ τῇ προθέσει συγκοπτομένῃ τροπὴν ποιεῖσθαι τοῦ τ πρὸς τὸ ἐπιφερόμενον σύμφωνον, ὥστε ταὐτὸν εἶναι· εἰ μὴ εἴη τὸ ἐπιφερόμενον δασύ· κατάθανεν κάτθανεν· καταχεύειν κακχεύειν· ταύτῃ οὖν καὶ τὸ Ἀτθὶς, καὶ τὸ Βάκχος.

[y] Hæc multo pleniora quam in Etym. M. p. 507, 41.

[z] Cod. κτείνουσα.

Κύκλωπες: (Od. H. 206.) Οὐχ ὡς Ἡσίοδος[y],

> Κύκλωπες δ' ὄνομ' ἦσαν ἐπώνυμον οὕνεκ' ἄρ' αὐτοῖς
> κυκλοτερὴς ὀφθαλμὸς ἕεις ἐνέκειτο[z] μετώπῳ.

Κύκλωπες οὖν κατὰ συγκοπὴν κυκλήπωτες[a]· οὗ χάριν αὐτοὺς ἔφυγον Φαίακες,

> οἳ πρὶν μέν ποτ' ἔναιον ἐν εὐρυχόρῳ Ὑπερείῃ·
> ἀγχοῦ Κυκλώπων ἀνδρῶν ὑπερηνορεόντων·
> οἵ σφεας σινέσκοντο· (Od. Z. 4.)

ἀλλ' οὐδὲ ἦσαν πάντες μονόφθαλμοι· οὐ γὰρ ἂν ἐσίγησεν Ὅμηρος τὸ τεράτευμα· ἀλλ' οὐδὲ ὁ Πολύφημος μονόφθαλμος ὤν, παρὰ τὸ μέτωπον εἶχε τὴν θέσιν τοῦ ὀφθαλμοῦ· ἐκλάσθησαν δὲ καὶ ἐθάμβησαν τὸ μέγεθος ἰδόντες ὀφθαλμὸν, οὐκ ἐνεκρώθησαν ἐπὶ τῇ μορφῇ· ἔδει γὰρ Ὅμηρον εἰπόντα,

> ἡμῖν δὲ κατεκλάσθη φίλον ἦτορ
> δείσαντες φθόγγοντε βαρὺν αὐτόν τε πέλωρον. (Od. I. 257.)

προσεπιζεῦξαι τοιοῦτόν τι· "μοῦνον τ' ὀφθαλμὸν μέσσον ἐόντα μετώπῳ[b]."

Κίρκη: (Od. Θ. 448.) Ἡ κιρνῶσα τὰ φάρμακα· ἢ παρὰ τὴν κερκίδα· ἡ δὲ κερκὶς ἀπὸ τοῦ γινομένου ψόφου κατὰ μίμησιν· τὰς δὲ παιπαλώδεις γυναῖκας ἀπ' ἐκείνης Κίρκας καλοῦμεν· ἐπεὶ φαρμακὶς ἦν ἐκείνη.

Κομεῖν[c]: (Od. Z. 207.) Τὸ ὡραΐζειν τὸ σῶμα· ἐπεὶ καὶ κομμώτριαν λέγει τὴν κοσμοῦσαν καὶ ἐμπλέκουσαν· καὶ τὸ κομῆσαι ἀπὸ τούτου, τὸ ἐπιμελείας ἀξιῶσαι.

Κνημούς: (Il. B. 821.) Τοὺς δασεῖς τόπους· ἐπεὶ καὶ ἡμῶν αἱ κνῆμαι τῶν ἄλλων μερῶν τῶν ποδῶν δασεῖαι.

Κρύσταλλον: (Od. Ξ. 477.) Τὸ διὰ κρύος ἠλλοιωμένον ὕδωρ.

Κτύπος: (Il. K. 535.) Ἀπὸ τοῦ τύπτω τύψω τύπος, καὶ πλεονασμῷ τοῦ κ κτύπος.

Κεραμεύς: (Il. Σ. 601.) Ὄνομα κύριον, ἀφ' οὗ ὁ ἐν Ἀθήναις δῆμος Κεραμεικός.

[y] Theog. 144. [z] MS. ἐνέκει τω μετώπω. [a] Leg. κυκλώωπες.
[b] Hæc habet etiam Etym. Gud. p. 352, 43. sæpius a nostro corrigendus, et a Cod. Barocc. 50. f. 309. [c] Cod. κομνεῖν.

Κορύβαντες: Οἱ καταβάντες τὴν κόρην ἀναγαγεῖν, καὶ μὴ ἀποστρέψαντες.

Κρῖ: (Il. Θ. 560.) Ἡ κριθὴ οὐ κατὰ ἀποκοπὴν, ἐπεὶ οὐ περιεσπᾶτο· ἀλλὰ κοινῶς ὥσπερ καὶ κατὰ διώνυμον, καὶ κατὰ τὸ οὐδέτερον, καὶ κατὰ τὸ θηλυκόν· ὥσπερ τὸ ἔτος καὶ ὁ ἐνιαυτός· καὶ πάλιν τὸ ἦμαρ καὶ ἡμέρα.

Καδμηΐδι Γαίῃ: Ὥσπερ παρὰ τὸ Δάρδανος ἐκπίπτει πατρωνυμικὸν εἰς ις Δαρδανίς· καὶ παρὰ τὸ Πρίαμος Πριαμίς· οὕτως ἔδει καὶ παρὰ τὸ Κάδμος Καδμίς· τὸ ἄρα Καδμηῒς ἐπλεόνασε τὸ η· ὅτε οὖν φησὶν ὁ Ἴβυκος,

παρελέξατο Καδμίδι κούρᾳ

τὸ ὀφειλόμενον ἀπέδωκεν.

Κέκαυκα: Παρὰ τὸ καίω καύσω· πλεονάζει τὸ υ κατὰ τὸν μέλλοντα· ἐφ' ὧν γὰρ οἱ Ἀθηναῖοι ἐν τῷ ἐνεστῶτι τῆς αι διφθόγγου ἀποβάλλουσι τὸ ι, καὶ λέγουσι κλάω καὶ κάω, καὶ ὁ μέλλων πλεονάζει τὸ υ, ὡς ἐπὶ τοῦ πταίω καὶ παλαίω, τὸ δὲ α τοῦ κλάω καὶ κάω ἐκτεινόμενόν ἐστιν.

Κεκάδοντο: (Il. Ο. 574.) Κ· χάζω, χάσω, κέχαδα, ἔχαδον· οὗ τὸ παθητικὸν ἐχαδόμην ἐχάδοντο, κατ' ἀναδιπλασιασμὸν καὶ τροπὴν κεκάδοντο.

Καθεδοῦμαι[d]:

ὁρῶ τινα ἐπὶ τοῦ βήματος καθεδούμενον[e].

παρὰ Μενάνδρῳ, καὶ παρὰ τοῖς λοιποῖς Ἀθηναίοις· δύναται δὲ δευτέρου εἶναι μέλλοντος τοῦ καθέζομαι.

Κατακείαται:

δοιοὶ γὰρ πίθοι κατακείαται ἐν Διὸς οὔδει. (Il. Ω. 527.)

πλεονάζει ἐνταῦθα τὸ ι· ἀνάλογος δὲ ὁ παρατατικὸς,

κέατο ψυχὰς ὀλέσαντες. (Il. Ν. 763.)

ὥσπερ καὶ ἐπὶ τοῦ εἵατο· ἀπὸ γὰρ τοῦ ἧμαι δασυνομένου, ὃ σημαίνει τὸ κάθημαι, ἐνεστῶτος χρόνου, γίνεται τὸ Ἰωνικὸν ἕαται,

οἱ δὴ νῦν ἕαται σιγῇ. (Il. Γ. 134.)

[d] Hæc vox aliunde irrepsit, nam haud Homerica esse videtur.
[e] Cod. καθαιδούμενον.

καὶ ἀπὸ τοῦ παρατατικοῦ οὖν τοῦ ἥμην, ἧσο, ἧτο, τὸ Ἰωνικὸν ἕατο· καὶ πλεονασμῷ τοῦ ἰῶτα εἵατο,

τέλος τοῦ Κάππα.

ἈΡΧΗ ΤΟΥ Λ ΣΤΟΙΧΕΙΟΥ.

Λιγυφθόγγοισι: (Il. B. 50.) Σύνθετον ὄνομα παρὰ τὸ λιγὺς, καὶ τὸ φθογγή· τὸ γυς ψιλόν· τὰ εἰς υς ἐπ' εὐθείας καὶ ἑνικῆς πτώσεως· τὸ λι ι· τὰ ἀμφιβαλλόμενα κατὰ τὴν πρώτην συλλαβήν· τὸ θηλυκὸν λίγεια, καὶ σεσημείωται τὸ λάχεια· λίγεια· κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι τὰ εἰς α θηλυκὰ, ἀπὸ τῶν εἰς υς ἀρσενικῶν γινόμενα, εἰ μὲν βαρύνονται τὰ εἰς υς ἀρσενικὰ, προπαροξύνονται[f] τὰ θηλυκά· οἷον ταχὺς ταχεῖα· ὀξὺς ὀξεῖα· σεσημείωται τὸ ἐλαχὺς ἐλάχεια, σημαίνει τὴν μικράν· καὶ λιγὺς λίγεια· καὶ παρὰ τὸ λίγεια ἐστὶν εἰπεῖν, ὅτι παράκειται αὐτῷ τὸ λιγῶ, τὸ ὑμνῶ· ἐξ οὗ καὶ λιγαίνω· γίνεται παρὰ τὸ λίαν ἰαίνειν, ὅ ἐστιν εὐφραίνειν· καὶ διατὶ βαρύνεται τὸ λίγεια; διότι ἔχει ῥῆμα ἀντιπαρακείμενον· τὰ ἀπὸ ἐνεστώτων παρηγμένα διὰ τοῦ εια θηλυκὰ προπαροξύνονται ἅπαντα· οἷον, μήδω Μήδεια· θέρω θέρεια· οὕτως καὶ λιγῶ λίγεια· καὶ ἄλλως· τὰ εἰς υς ὑπὲρ δύο συλλαβὰς συστέλλοντα τὸ υ προπαροξύνονται· οἷον, Λεύκοφρυς· ἥμισυς· ἀτράφαξυς· σημαίνει δὲ εἶδος βοτάνης χρυσολαχάνου· πέλεκυς· οὕτως οὖν καὶ ἔλαχυς ὤφειλεν εἶναι· ἀλλ' ἐπεὶ τὰ εἰς υς ἔχοντα οὐδετέρου παρασχηματισμὸν παραληγόμενα τῷ α ὀξύνονται· οἷον, βραδύς· ταχύς· πραΰς· τούτου χάριν καὶ τὸ ἐλαχὺς ὀξύνεται· τὴν οὖν κεχρεωστημένην παροξύτονον τάσιν ἐν τῷ θηλυκῷ ἀνεδέξατο.

Λιπαροῖσιν: (Il. B. 44.) Ἀπὸ τοῦ λιπάναι γίνεται λιπαρός· τὰ γὰρ εἰς ναι ἀπαρέμφατα ποιοῦσιν εἰς ρος ὀνόματα ἰσοσυλλαβοῦντα τοῖς ῥήμασιν· καὶ ἢ τὸ α παραλήγεται, ἢ τῷ ε· μιαίνω μιαρός· χλιαίνω χλιαρός· θλιβῆναι θλιβερός· στυγῆναι στυγερός· μυσάναι μυσαρός· τακῆναι τακερός.

Λάχνη: (Il. B. 219.) Ἡ τρίχωσις· παρὰ τὸ λα ἐπιτατι-

[f] Leg. προπερισπῶνται.

κὸν μόριον, καὶ τὸ[g] ἔχω, τὸ κρατῶ, γίνεται λάχνη[h], καὶ κατὰ κρᾶσιν λάχνη· παράγεται δὲ παρὰ τὸ λάζω, τὸ κρατῶ· ὁ μέλλων λάξω, καὶ ἐξ αὐτοῦ λάχνη· οὐδὲν γὰρ εὐληπτότερον τῆς τριχός.

Λαβρός: (Il. B. 148.) Ὁ ἀδδηφάγος· ἐκ τοῦ βορὰ, ὃ σημαίνει τὴν τροφὴν, ἢ ἀπὸ τοῦ Βορέας, ὃ σημαίνει τὸν ἄνεμον.

Λήϊον: (Il. B. 147.) Ἐτυμολογεῖται παρὰ τὸ ἰέναι, καὶ τὸ λα ἐπιτατικὸν, καὶ τροπῇ τοῦ α εἰς η, λήϊον.

Λωβήσαιο: (Il. A. 232.) Ῥῆμα εὐκτικὸν μέσου ἀορίστου· λωβῶ ἐκ τοῦ λοβός· τοῦτο ἀπὸ μεταφορᾶς τῶν ἠκρωτηριασμένων[i]· ἐπειδὴ οἱ παλαιοὶ τοὺς ἔν τινι ἀτοπήματι ἁλόντας ἐνυβρίζοντες, τὰ ἄκρα τῶν ὤτων ἀπέτεμον, ὡς καὶ ὁ ποιητὴς πρὸς τὸν Ἶρον· καὶ ταῦτα ὁ Ὠρίων· ὁ δὲ Ἡρωδιανὸς λέγει, ὅτι ἐκ τοῦ λαβή ἐστι, ὃ σημαίνει τὸ ξίφος· ἐξ αὐτοῦ γίνεται λαβὴ, καὶ τὸ α τρέπεται εἰς ω· ὡς φάρος φαριαμὸς, καὶ φωριαμός· καὶ γίνεται λώβη· καὶ βαρύνεται· ἐπειδὴ τὰ εἰς βη λήγοντα δισύλλαβα φύσει μακρᾷ παραληγόμενα, ὑπεσταλμένης τῆς οι διφθόγγου, βαρύνεται· Θήβη[k] στίβη· σημαίνει δὲ τὸν ὀρθρινὸν παγετόν· τὸ δὲ λαβὴ ὀξύνεται· ἐπειδὴ τὰ εἰς βη λήγοντα κύρια βαρύνεσθαι θέλει· εἰ μέντοι ῥηματικὰ ὑπάρχει, ἢ προσηγορικὰ, ὀξυνέσθαι θέλουσι· τοῦ μέντοι προτέρου παραδείγματα· Φοίβη· Βοίβη· ὀνόματα κύρια ὄντα, βαρύνεται· τὸ μέντοι λαβὴ, καὶ στοιβὴ, καὶ λοιβὴ ὀξύνεται, ῥηματικὰ ὑπάρχοντα, καὶ προσηγορικά· σεσημείωται τὸ βλάβη· λώβη· τὸ λω μέγα, διατί; κανὼν γάρ ἐστιν ὁ λέγων· τὰ εἰς βη λήγοντα δισύλλαβα βαρύτονα, φύσει μακρᾷ παραλήγεσθαι θέλουσιν· οἷον· Ἥβη· Θήβη[l]· στίβη·

μή μ' ἄμυδις στίβη καὶ θῆλυς ἐέρση. (Od. E. 467.)

ἢ παρὰ τὸ λῶ τὸ θέλω, κατὰ ἀντίφρασιν· ἣν οὐδεὶς θέλει.

Λειμών: (Il. B. 463.) Ὁ παράδεισος· παρὰ τὸ λείβω, τὸ

[g] Cod. τῶ. [h] Leg. λαέχνη. [i] Cod. ἠρωτηριασμένων. [k] Cod. θήβη (ï above).
[l] Cf. Etym. M. p. 570, 35. et Gud. p. 359, 7.

καταστάζω· λείβων καὶ λειμών· ἔστι δὲ περιεκτικὸν, ὡς καὶ τὸ χειμών.

Λάος: Σημαίνει δύο· τὸ κύριον ὄνομα, καὶ τὸ προσηγορικὸν, τουτέστι τὸν λίθον· κατὰ πόσους τρόπους διαφέρει τὸ κύριον τοῦ προσηγορικοῦ; κατὰ δύο· κατὰ χρόνον καὶ κατὰ κλίσιν· πῶς; ὅτι τὸ μὲν κύριον Λάας μακρὸν ἔχει τὸ α, τὸ δὲ προσηγορικὸν βραχύ· καὶ ὅτι τὸ μὲν κύριον ἰσοσυλλάβως κλίνεται· ἀπυβολῇ γὰρ τοῦ σ ποιεῖ τὴν γενικήν· οἷον, ὁ Λάας τοῦ Λάα· τὸ δὲ περιττοσυλλάβως· οἷον, λάας λάαος; καὶ ἐπὶ τὸ κύριον μακροκαταληκτεῖ, καὶ δισύλλαβον ἐστὶ, καὶ πάντα τὰ τοῦ κανόνος φυλάττει, ὥσπερ τὸ Αἴας· διατί οὐκ ἐκλίθη διὰ τοῦ ντ; ἐπειδὴ κανὼν ἐστὶν ὁ λέγων· τὰ συνηρημένα τὴν τῶν ἐντελῶν φυλάττει κλίσιν· καὶ γὰρ ἀπὸ τοῦ λάας γίνεται τοῦ προσηγορικοῦ· καὶ γὰρ ἐκεῖνος λιθόγλυφος ἦν· διὰ τοῦτο ἀπὸ μεταφορᾶς τοῦ προσηγορικοῦ κέκληται τὸ κύριον· ἐκ γοῦν τοῦ λάας τοῦ προσηγορικοῦ γίνεται ἡ γενικὴ λάαος· καὶ μετάγεται ἕτερα εὐθεῖα λάαος, καὶ κλίνεται λαάου· καὶ κατὰ κρᾶσιν τοῦ αο εἰς α μακρὸν, ὡς Μενέλαος Μενέλεως· Πτερέλαος Πτερέλας· οὕτως καὶ λάαος, λάας λάου· καὶ ἐπεὶ τὴν κλίσιν τοῦ ἐντελοῦς ἐφύλαξε, διατί μὴ καὶ τὴν κατάληξιν αὐτοῦ; ἐπειδὴ τὸ ὄνομα Δωρικόν ἐστιν· οἱ δὲ Δωριεῖς εἰς α περατοῦσι τὴν γενικὴν, τοῦ πάπα καὶ τοῦ Ἑρμία[m].

Λαερτιάδης: (Il. Γ. 200.) Γίνεται παρὰ τὸ Λαέρτιος ὄνομα κύριον· ὥσπερ Βούσιρις λέγεται παρὰ τὸ τοὺς βοῦς εἴρειν· ἀνδρεῖος γὰρ ἦν, ὥστε καὶ δύνασθαι αὐτὸν μόνον δύο ζευγνύειν βοῦς· οὕτω καὶ Λαέρτης γίνεται παρὰ τὸ δύνασθαι λάας ἀερτάζειν, ἤγουν κουφίζειν λίθους· ἐκ τοῦ Λαέρτιος οὖν Λαερτιάδης, τὸ πατρωνυμικόν· τὰ γὰρ εἰς ος ὀνόματα εἰ μὲν καθαριεύουσι διὰ τοῦ αδης ποιοῦσι τὸ πατρωνυμικόν· οἷον, Νηλήϊος Νηληϊάδης· Θυέστιος Θυεστιάδης· εἰ δὲ μὴ καθαριεύουσι, διὰ τοῦ ιδης· Πρίαμος Πριαμίδης· ἰστέον δὲ ὅτι οὐ ποιοῦμεν ἀπὸ προσηγορικῶν πατρωνυμικόν· τὰ γὰρ προσηγορικὰ[n] κοινὰ

[m] Cf. Etym. M. p. 552, 30. et seq.

[n] Cod. τὰ γὰρ πατρωνυμικὰ, τὰ γὰρ προσηγορικά.

εἰσὶ καὶ κατὰ πολλῶν λέγονται· εἰ οὖν ἄνθρωπος Ἀνθρωπίδης εἴπωμεν, ἐδηλώσαμεν τινὰ ἐκ πολλῶν γεγενῆσθαι, ὅπερ ἐστὶν ἄτοπον· μόνον δὲ λέγουσι γεγενῆσθαι τὸν Πᾶνα παρὰ πολλῶν, ὅθεν καὶ αὐτὴν εἴληφε τὴν ὀνομασίαν[o].

Λιλαίω: (Il. Γ. 133.) Γίνεται ἐκ τοῦ λιλῶ· καὶ ὥσπερ γίνεται ἐκ τοῦ κερῶ κεραίω, καὶ περῶ περαίω, οὕτω καὶ λιλῶ λιλαίω, κατὰ παραγωγήν· τὸ λιλῶ ἐκ τοῦ λῶ τὸ θέλω, κατὰ ἀναδιπλασιασμὸν λιλῶ· τὸ λαι δίφθογγος· διατί; τὰ εἰς ω λήγοντα ῥήματα, μὴ ἐπιδεχόμενα συναίρεσιν ἐπὶ δευτέρου καὶ τρίτου προσώπου, διὰ τῆς αι διφθόγγου γράφεται· οἷον, παλαίω· λιλαίω.

Λείριον: Τὸ ἄνθος παρὰ τὸ λεῖον, ὃ σημαίνει τὸ ὁμαλόν· λεῖον καὶ πλεονασμῷ τοῦ ρ λείριον, ὡς ἔγχος ἔγχει ἐγχείδιον, καὶ πλεονασμῷ τοῦ ρ ἐγχειρίδιον.

Λαοδίκη: (Il. Γ. 124.) Παρὰ τὸ λαὸς καὶ δίκη· τὰ δὲ εἰς ος ὀκταχῶς συντίθεται.

Λυκάονος: (Il. B. 826.) Ὁ κανών· τὰ εἰς ων βαρύτονα διχρόνῳ ἐκτεταμένῳ παραλήγεται.

Λυσιτελής: Τὸ σι ἰῶτα διατί; τὰ ἀπὸ μελλόντων συντιθέμενα ὀνόματα διὰ τοῦ ι γράφεται κατὰ τὴν παραλήγουσαν· οἷον ἵστημι στήσω Στησίχορος· τέρπω τέρψω τερψίβροτος· αἴθω αἴσω αἰθίοψ· οὕτως οὐκ καὶ τὸ λύω λύσω, καὶ τὸ τέλος, λυσιτελής.

Λιάσθη:

ὃ δ᾽ ὕπαιθα λιάσθη· (Il. O. 250.)

τὸ θέμα λιάζω, τὸ ἐγκλίνω· ἔστι γὰρ καὶ ἐπὶ ἑτέρου σημαινομένου, ὅπερ παρὰ τὸ λίαν λιάζω· καὶ ἐπιτατικὸν ἐστὶν, ὡς αἰαὶ αἰάζω ἐπιτατικόν· τούτου ἕτερον δὲ τὸ ἐκκλίνω·

ἀμφὶ δ᾽ ἄρα σφι λιάζετο. (Il. Ω. 96.)

ἀπὸ τούτου δὲ ῥηματικὸν ὄνομα λίαστος, ὃ κατὰ στέρησιν ἀλίαστος·

πόλεμος δ᾽ ἀλίαστος ἐτύχθη. (Il. M. 471.)

[o] Hinc sæpe corrig. Etym. Gud. p. 360, 20.

ὃν οὐκ ἔστιν ἐκκλῖναι· τοῦ ἐλιάσθη ἡ μετοχὴ λιασθείς· πρός τι οἶδε λαμβάνει,

ἔντερα χερσὶ λιασθείς. (Il. Υ. 418.)

οἷον ἐγκλίνας πρὸς αὐτὸν ἔλαβε τὰ ἔντερα· τὸ Ἰωνικὸν ἐλίασθεν, ὡς ἐκόσμηθεν, ὡς ἐπὶ τῆς ὄρνιθος,

σὺν δὲ πτερὰ πυκνὰ λίασθεν. (Il. Ψ. 879.)

γίνεται δὲ τὸ λιάζω, ὥσπερ παρὰ τὸ πορῶ πορίζω· αἰτῶ αἰτίζω· οὕτως καὶ ἀλῶ ἀλίζω, εἶτα καθ' ὑπέρθεσιν λιάζω.

Λίμνη: (Il. B. 711.) Οἱ μὲν παρὰ τὸ λείβω, οἱ δὲ κατὰ ἀναστροφὴν ὑπερβιβαζομένου τοῦ στοιχείου, εἰ καὶ μὴ τὸ αὐτὸ σημαίνει· ἐγγὺς μὲν εἶναι τοῦ σημαινομένου· ὡς γὰρ παρὰ τὸ πατὴρ πάτρη· μητὴρ μήτρη· ποιμὴν ποίμνη, οὕτως λιμὴν λίμνη· οἱ δὲ παρὰ τὸ λίαν μένειν· οἱ δὲ παρώνυμον· ὡς γὰρ παρὰ τὸ εὔφρονος Εὐφρόνη· Ἑρμίονος Ἑρμιόνη· οὕτως λιμένος λιμένη καὶ λίμνη· βαρύνεται· τὰ εἰς νη θηλυκὰ μονογενῆ, μετ' ἐπιπλοκῆς συμφώνου, βαρύνεται· φάτνη· ποίμνη.

Λευκός: (Il. Γ. 103.) Παρὰ τὸ λεύσσω, τὸ βλέπω· ὁ εὐσύνοπτος καὶ εὐειδὴς, καὶ λαμπρός· ἐξ οὗ καὶ λευκὸν λέγεται χρῶμα διακριτικὸν ὄψεως· τὸ μὲν γὰρ λευκὸν διακρίνει καὶ διαχέει τὴν ὄψιν· μέλαν δὲ λέγεται χρῶμα συγκριτικὸν ὄψεως· τὸ γὰρ μέλαν συγκρίνει καὶ συγχέει τὴν ὄψιν.

Λευκώλενος: (Il. A. 55.) Παρὰ τὸ λευκὸς καὶ τὸ ὠλένη, ὃ σημαίνει τὸν βραχίονα· τοῦτο δὲ παρὰ τὸ δι' αὐτῶν ὁλοῦσθαι τὰς πράξεις, τουτέστι πληροῦσθαι· ὠλέναι λέγονται τὰ ἄνω τῶν βραχιόνων· τὸ δὲ λευκὸν παρὰ τὸ λεύσσω, τὸ βλέπω· ὡς ἐκ τοῦ ἐναντίου τὸ μέλαν, τὸ μὴ βλεπόμενον, παρὰ τὴν μὴ, καὶ τὸ λάω, τὸ βλέπω.

Λακεδαίμων· Λακεδαίμονος: (Il. Γ. 443.) Ὁ κανών· τὰ δὲ κοινὰ τῷ γένει διὰ τοῦ ο· ὁ Λακεδαίμων γὰρ ἀνὴρ ἀπὸ πόλεως, καὶ ἡ Λακεδαίμων πόλις· καὶ ἡ κλητικὴ ὦ Λακεδαῖμον· ὁ τόνος· τὰ εἰς ων σύνθετα, ὅταν εἰς ον εἴη, ἀναβιβάζεται· σεσημείωται τὸ ὦ Λακεδαῖμον, καὶ τὸ Παλαῖμον· Παλαίμων δὲ λέγεται ὁ ἔμπειρος τῆς παλαιστικῆς· ἐκ τοῦ πάλη, ὃ σημαίνει τὴν παλαίστραν, καὶ τοῦ αἵμων, ὃ σημαίνει τὸν ἔμπει-

ρον· τὸ δὲ Λακεδαίμων λαχεδαίμων τις οὖσα· ἐν αὐτῇ γὰρ πρῶτον ἔλαχον οἱ θεοὶ, καὶ ἐκληρήσαντο τὰς πόλεις.

Λαομεδοντιάδης: (Il. O. 527.) Ποίου εἴδους τῶν παραγώγων; πατρωνυμικοῦ· τὸ τι ι· διατί; πᾶσα γενικὴ εἰς ος διὰ τοῦ ιδης ποιεῖ τὸ πατρωνυμικόν· ἔστι Λαομέδοντος ἡ γενικὴ, καὶ τὸ πατρωνυμικὸν Λαομεδοντίδης· καὶ ὥσπερ Τελαμὼν Τελαμῶνος Τελαμωνίδης, καὶ ποιητικῷ πλεονασμῷ τοῦ α Τελαμωνιάδης[o]· οὕτως καὶ Λαομεδοντιάδης· ἡ κλητικὴ ὦ Λαομέδον· πᾶσα γενικὴ διὰ τοῦ ντ κλινομένη[p], καὶ μὴ δίφθογγος.

Λόφος: (Il. Γ. 337.) Σημαίνει τρία· τὸν τράχηλον, ἐξ οὗ τὸ ἐλώφησε· ἀπὸ μεταφορᾶς τῶν βοῶν τῶν ἀναπαυομένων ἐν τῷ λόφῳ, ἡνίκα ἀνεθῶσι τοῦ ζυγοῦ· γίνεται ἐκ τοῦ λέπω, τὸ λεπίζω, λόπος καὶ λόφος· ἀπὸ μεταφορᾶς τῶν βοῶν· κατὰ γὰρ τοῦτο τὸ μέρος πρῶτον ἀπάρχονται λεπίζειν καὶ ἐκδέρειν τὰ ζῶα· σημαίνει καὶ τὸ ἐπανάστημα τῆς περικεφαλαίας, καὶ τὸ ὄρος.

Λοιγός: (Il. A. 67.) Παρὰ τὸ λείπω λοιπὸς, καὶ λοιγός· λεῖψιν γὰρ ἀνθρώπων ἐργάζεται.

Λέχος: (Il. A. 31.) Παρὰ τὸ λέγω, τὸ κοιμῶμαι· ἐξ οὗ ἄλοχος, ἡ ὁμόλεχος· σημαίνει δὲ καὶ τὸ φθέγγομαι, καὶ τὸ μετρῶ.

Λαπάρα: (Il. Γ. 359.) Τὸ ρα μακρόν· τὰ εἰς ρα θηλυκὰ βραχεῖ ἢ βραχυνομένῳ· καὶ βραχύ ἐστιν ἢ βραχυνόμενον· δύο βραχέα ε ο· τρία βραχυνόμενα α ι υ· γίνεται ἐκ τοῦ λαπάζω, ὃ σημαίνει τὸ κενῶ· καὶ ὁ ποιητὴς,

μίαν πόλιν ἐξαλαπάξαι.

τοῦτο ἐκ τοῦ λάπαθον· ἔστι δὲ βοτάνη κενωτικὴ γαστρός· τοῦτο ἐκ τοῦ λα ἐπιτατικοῦ, καὶ τὸ πάθος· ἡ ἀπελαύνουσα τὸ πάθος· τί δέ ἐστι λαπάρα; ὁ κενὸς τῶν ὀστῶν τόπος, ὁ ὑποκάτω τῶν πλευρῶν κείμενος.

Λητοῦς: (Il. A. 8.) Παρὰ τὸ λήθω, τὸ λανθάνω· ὡς γὰρ ὁ Πλάτων φησὶν, ὅτι πραεῖα καὶ πάντας ἐλεοῦσα· τὸ δὲ ἥμερον

[o] Cod. Τελαμονιάδης.   [p] Cod. κληνομένη.

καὶ πρᾶον ἐκ τοῦ ἐπιλελῆσθαι τῶν εἰς αὐτὴν πεπλημμένων ἐμφαίνεται· ὁ δὲ Ἀρίσταρχος παρὰ τὸ λῶ τὸ θέλω, ἐπειδὴ ὃ ἂν τις θέλῃ παρ' αὐτοῦ λαμβάνει· τὸ δὲ λῶ σημαίνει τρία, λῶ, τὸ θέλω, ἐξ οὗ καὶ λέγω· λῶ, τὸ ἐπιθυμῶ, ἐξ οὗ καὶ λιλῶ, καὶ λελιημένος· λῶ, τὸ βλέπω, ὅπερ γίνεται ἀπὸ τοῦ λάω.

Λίσσομαι: (Il. A. 174.) Παρὰ τὸ λίαν ἵζω· τὸ θέμα λίσσω· ὁ μέλλων λίσω· ἢ παρὰ τὸ λιτῶ, τὸ παρακαλῶ· ἢ ἀπὸ μέλλοντος παρήχθη εἰς ἐνεστῶτα, καὶ ἐγένετο λίσσω, πλεονασμῷ ἑτέρου σίγμα.

Λαμπετόωντι: (Il. A. 104.) Λάμποντι· ὥσπερ ἀπὸ τοῦ εὔχω, εὐχέτης· βάλλω βελέτης, καὶ Ἑκατηβελέτης· οὕτως λάμπω λαμπέτης, καὶ ἐκ τούτου λαμπετῶ καὶ πλεονασμῷ τοῦ ο λαμπετόω, καὶ ἡ μετοχὴ λαμπετόων· συζυγίας δευτέρας τῶν περισπωμένων· οἱ γὰρ ποιηταὶ ἐπὶ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων ἔθος ἔχουσι πλεονάζειν τὸ ο,

βοόωντά τ' ἐφεύροι. (Il. B. 198.)

καὶ

ὁρόων ἐπὶ οἴνοπα πόντον. (Il. A. 350.)

Λεύσσετε: (Il. A. 120.) Ὁρᾶτε· Ἀρίσταρχος ἓν σ γράφει, ὡς ἀπὸ τοῦ μέλλοντος· λέγουσι δὲ αὐτὸ ἀπὸ τοῦ λεύσσω, τὸ βλέπω· ὁ μέλλων λεύσω, καὶ ἐξ αὐτοῦ τὸ λεύσετε· ὥσπερ,

ἄξετε δὲ Πριάμοιο βίην. (Il. Γ. 105.)

καὶ τὸ

οἴσετε[q] δ' ἄρνα λευκόν. (Il. Γ. 103.)

καὶ

καταβήσεο δίφρου. (Il. E. 109.)

τὸ δὲ λεύσω γίνεται οὕτως· ἔστι ῥῆμα βλέπω, ὅθεν καὶ τὸ ἀβλεπτῶ· ὅπερ κατ' Αἰολεῖς γίνεται βλέσσω, ὡς ὄπτω ὄσσω· ὅθεν "κακ' ὀσσόμενος" κατ' ἀποβολὴν τοῦ β, καὶ πλεονασμῷ τοῦ υ, λεύσσω.

Λασίοισιν: (Il. B. 189.) Ἐκ τοῦ λα ἐπιτατικοῦ, καὶ τοῦ σεύω, τὸ ὁρμῶ· ὀρθῶς γὰρ ὁρμῶνται τὰ διὰ τοῦ νοήματος· νῦν δὲ παρὰ τοῦ θυμοειδοῦς μέρους τῆς ψυχῆς, ἀφ' ὧν λέγει στή-

[q] Cod. οἴγετε.

θεσσιν· ὑπὸ γὰρ τὰ στέρνα κεῖται ἡ καρδία, ἐν ᾗ ἐστὶ τὸ πυρῶδες, καὶ θερμὸν, καὶ μανικὸν τῆς ψυχῆς.

Λόχοιδε: (Il. Α. 227.) Παρὰ τὸ λάχος· οἱ γὰρ λοχῶντες, οἱονεὶ κοιτάζοντες· ἡ δὲ τοῦ δε ἐπέκτασις, ἢ ἐφέλκυσις, τὴν εἰς τόπον ἐπιῤῥηματικὴν σύνταξιν σημαίνει.

Λώϊον: (Il. Α. 229.) Παρὰ τὸ λῶ, τὸ θέλω, καὶ τὸ συγκριτικὸν λῷον· καὶ ὡς πλείων καὶ ῥᾴων, καὶ ὄνομα ἐξ αὐτοῦ λώϊος, καὶ λώϊον, καὶ λῷον.

Λύπη: Διαιρεῖται εἰς δ'· εἰς ἄχος· εἰς ἄχθος· εἰς φθόνον· εἰς ἔλεον· τί ἐστιν ἄχος; λύπη ἀφωνίας ἐμποιοῦσα· τί ἐστιν ἄχθος; λύπη βαροῦσα καὶ ἐνοχλοῦσα ἐπὶ ἀφορήτοις συμβάσεσι· τί ἐστι φθόνος; λύπη ἐπ' ἀλλοτρίοις ἀγαθοῖς· τί ἐστιν ἔλεος; λύπη ἐπ' ἀλλοτρίοις κακοῖς.

Λευκός: (Il. Γ. 103.) Ὄνομα ἐπιθετικὸν ῥηματικὸν παρὰ τὸ λεύσσω· τὸ μὲν ἐπιθετικὸν ὀξύνεται, τὸ δὲ κύριον βαρύνεται·

ὁ δὲ Λεῦκον Ὀδυσσέως ἐσθλὸν ἑταῖρον. (Il. Δ. 491.)

τὰ δὲ εἰς κος ἐπιθετικὰ ὀξύνεται· γλαυκός· μικκός·

τοῖς μικκοῖς μικκὰ δίδωσι θεός[r].

Ληϊβοτείρης: (Od. Σ. 29.)

συὸς ὡς ληϊβοτείρης·

ὤφειλεν εἶναι ληϊβοτείρας, καὶ ἀρούρας· τὰ γὰρ εἰς ρα φυλάττει ἡ συνηθεία· ἀλλ' Ἰωνικὴ τροπὴ ἐγένετο· τὸ δὲ ἁπλοῦν αὐτοῦ βότειρα κατὰ παρώνυμον χαρακτῆρα· ὡς γὰρ παρὰ τὸ πατὴρ πάτειρα, καὶ ἐν συνθέσει εὐπάτειρα, καὶ παρὰ τὸ μήτηρ μήτειρα· οὕτως παρὰ τὸ βοτὴρ βότειρα, ἐν συνθέσει ληϊβότειρα· καὶ ὤφειλε ληϊοβότειρα· ὡς γὰρ παρὰ τὸ Ἄκτιον Ἀκτιονίκην· Πύθιον Πυθιονίκης· καὶ πληθυντικῶς, στάδιον σταδιοδρόμος, καὶ μένει τὸ ο· οὕτως λήϊον ληϊοβότειρα ἔδει εἶναι· συνεκόπη δὲ τὸ ο διὰ τὸ μετρικόν· ἐπάλληλοι γὰρ εὑρίσκοντο τρεῖς βραχεῖαι, καὶ κακοφωνία ἐγίνετο.

Λοιγός: (Il. Α. 67.) Ὀξυτόνως· τὰ εἰς γος δισύλλαβα φύσει μακρὰ παραληγόμενα ὀξύνονται· φηγός· πηγός· λοιγός·

[r] Hoc fragmentum a Callimacho esse profectum, docemur ab Etym. M. p. 587, 36. ubi tamen legitur δίδουσι θεοί.

παγός· πρόσκειται φύσει μακρὰ διὰ τὸ σπόγγος· φθόγγος· μάργος· ἓν ἀντιπίπτει τὸ Λάγος ἐπὶ τοῦ κυρίου, ὃ εἴδη[s] εἴρηται καὶ τρισυλλάβως, Λάαγος·

Λαάγου φίλος υἱὸς ἀριζῆλος Πτολεμαῖος·

οὐ φύσει οὖν δισυλλαβεῖ, ἀλλ' ἐκ τρισυλλάβου γέγονεν.

Λαός: (Il. A. 54.) Ὄνομα προσηγορικόν· ὁ μερισμὸς αὐτοῦ περιληπτικός· τί δὲ διαφορεῖ ἐμπεριεκτικὸν ἐμπεριληπτικοῦ; ἐμπεριληπτικὸν ἐστὶ τὸ πλήθους μὲν σημαντικὸν, ἑνικῶς δὲ λεγόμενον, μὴ τῆς φωνῆς παραγωγὴν ἀπὸ τοῦ ἐμπεριεχομένου ποιησάμενον· οἷον, λαός· πόλις· θέατρον· στρατός[t]· ἐμπεριεκτικὸν δὲ τὸ καὶ τῆς φωνῆς παραγωγὴν ἀπὸ τοῦ ἐμπεριεχομένου ποιησάμενον· ἱππὼν γὰρ περιεκτικὸς τόπος· ἀχυρών· ῥοδών· γίνεται δὲ λαὸς, ὡς Χρύσιππος ὁ Στωϊκὸς ἐτυμολογεῖ, παρὰ τὸ λαλῶ λαλὸς, καὶ λαός· παρὰ γὰρ τὴν φωνὴν φησὶν, ὡς καὶ μέροψ παρὰ τὴν ὄπα· ἐγένετο δὲ ἔλλειψις, ὡς παρὰ Ἀττικοῖς ἡ σίφη ἐκ τοῦ σίλφη παρ' ἡμῖν γενομένη· ὡς καὶ ὁ τάπης, παρὰ τὸ θάλπειν· εἴγε παρὰ τὸ χλιαίνειν ἡ χλαίνη· καὶ ἐγκλίσεως δὲ γίνεται ἀποβολῇ τοῦ λ· ἔστιν γὰρ λιλῶ ῥῆμα, τὸ σημαντικὸν τοῦ προθυμουμένου· ἐκ τοῦ λῶ διπλασιασθὲν, οὗ παράγωγον λιλαίω·

λιλαιομένη χροὸς ἆσαι. (Il. Φ. 168.)

τοῦ λιλῶ ὁ παρακείμενος λελίηκα· ὁ παθητικὸς λελίημαι λελιημένος, τὸ πληθυντικὸν λελιημένοι·

βάν ῥ' ἰθὺς Δαναῶν λελιημένοι. (Il. M. 106.)

ἄλλοι δὲ παρὰ τοὺς λάας ὠνομάσθαι·

Λαοὶ Δευκαλίωνος ὅσοι γενόμεσθα[v]·

Καλλίμαχος· Ἡσίοδος δὲ παρὰ τὸ ἀλὲς, τὸ σημαῖνον τὸ ἀθροῦν, ἀλαὸς λαός· ἀφαιρέσει τοῦ α, ὡς καὶ παρὰ Ἀριστοφάνει·

σφοδελὸν ἐν χύτραισι μεγάλαις ἑψόμενον·

τινὲς δὲ καὶ τῆς πάφ ἀλλὰ παρὰ τὸ ἀπαφίσκειν· καὶ παρ' Ἡσιόδῳ·

Ῥεῖα τέ μιν μαύρουσι θεοί. (Op. I. 323.)

ἡ τοῦ μακροῦ α ἀφαίρεσις σπάνιος· καὶ ἴσως ἐν τῷ,

[s] An legendum ἤδη? [t] Cod. στάτος. [v] Cod. γενόμεθα.

βάλε δὴ βάλε κήρυλος[u] εἴην·

ἐκ τοῦ ἀβάλε· τοῦ ναὸς[x] δὲ τράπεντος,

ἐν πιόνι[y] νηῷ. (Il. B. 549.)

καὶ τοῦ πάος,

καὶ πηῷ περ ἔοντι. (Od. K. 441.)

τὸ λαὸς ἄτρεπτος ἔμεινε παρ' Ὁμήρῳ, καίτοι τῇ μεταγενεστέρᾳ Ἰάδι τραπέν·

ληὸν ἀθρήσας·

Ἱππῶναξ· σημειωτέον δὲ, ὅτι οὐχ ἁπλῶς τὸν ὄχλον σημαίνει, ἀλλὰ τὸν ὑποτεταγμένον· Ἑκαταῖος γὰρ,

τὸν Ἡρακλέα τοῦ Εὐρυσθέως λεὼν

λέγει, καίτοι ἕνα ὄντα.

Λέξο:

ἐκτὸς μὲν δὴ λέξο, γέρον φίλε. (Il. Ω. 650.)

τριχῶς τοῦτο λέγεται παρὰ τῷ ποιητῇ· λέξαι,

ἀλλὰ σὺ μὲν κατάλεξαι, ἐγὼ δ' ὑπολείψομαι αὐτός. (Od. T. 44.)

καὶ

σὺ δ' αὐτόθι λέξεο μίμνων. (Il. I. 617.)

καὶ τὸ

ἐκτὸς μὲν δὴ λέξο γέρον. (Il. Ω. 650.)

τὸ μέντοι ἐνεργητικὸν αὐτοῦ ἐστὶ,

λέξον νῦν με τάχιστα. (Il. Ω. 635.)

ὥστε ἄλλο τὸ λέξον, καὶ ἄλλο τὸ λέξο· ὁμοίως καὶ τὸ ἔπορσον, καὶ τὸ ὄρσεο· τὸ γὰρ λέξο παρακειμένου ἐστὶ, καὶ ὑπερσυντελικοῦ, καὶ ἀποβολῇ τοῦ διπλασιασμοῦ λέλεξο λέξο, ὡς τὸ δέδεξο δέκτο·

Θέμιστι δὲ καλλιπαρῄῳ
δέκτο δέπας. (Il. O. 87.)

καὶ πάλιν λέκτο,

ἔπειτα δὲ λέκτο καὶ αὐτός. (Od. Δ. 453.)
τῷ δ' ἄρα παρκατάλεκτο γυνή. (Il. I. 664.)

οὕτως καὶ λέλεξο λέξο· ἢ ἐστὶ λέγω, τὸ κοιμῶμαι· ὁ μέλλων λέξω, καὶ μετάγεται εἰς ἐνεστῶτα· τοῦ τοίνυν λέξω τὸ προστακτικὸν λέξεο, ὡς τὸ φράζω φράζεο, καὶ ὄρσω ὄρσεο,

[u] Cod. κύρρηλος. [x] Cod. ν͗ο (ὸ superscript). [y] MS. πιόνη.

ὄρσεο Κυλλοπόδιον. (Il. Φ. 331.)

ταῦτα πάλιν καθ' ὑφαίρεσιν τοῦ ε ὄρσο ἐγένετο καὶ λέξο· τὸ δὲ λέξαι μέσον·

ἀλλὰ σὺ νῦν κατάλεξαι. (Od. Τ. 44.)

τὸ δὲ θέμα οἱ μὲν τοῦ λέγω φασὶν, ἀλλ' οὐκ ἔχουσιν ἐπὶ τούτου παραλαβεῖν, ἢ μόνον τὸ,

τανηλεγέος θανάτοιο. (Il. Θ. 70.)

ἤτοι τοῦ μακροκοιμήτου· οἱ δὲ λέχω φασὶ, καὶ δῆλον ἐκ τοῦ λέχος, ἐξ οὗ καὶ τὸ ἄλοχος.

Λελασμένος: (Il. Π. 538.) Τροπὴ ἐνταῦθα γίνεται τοῦ η εἰς α, ὡς καὶ ἐπὶ ἄλλων λεληκυῖα λελακυῖα· ἄληστον,

πένθος ἄλαστον ἔχουσα. (Il. Ω. 105.)

πεπηθυῖα, ὡς λεληθυῖα· ὡς ἀπὸ τοῦ θέματος τοῦ πάθω.

Λῷϊον: (Il. Α. 229.) Τὰ εἰς ων καθαρὰ δισύλλαβα συγκριτικὰ, διφθόγγῳ θέλουσι παραλήγεσθαι· τέσσαρα δὲ εἰσὶ ταῦτα· καὶ τὰ μὲν δύο ἐκφωνοῦσι τὸ ι· οἷον, μείων· πλείων· τὰ δὲ δύο ἀνεκφώνητον αὐτὸ ἔχουσιν· οἷον, λῴων· ῥᾴων· τὸ δὲ λῷον γέγονεν ἀπὸ τοῦ λῶ, τὸ θέλω· ὃ γὰρ νοεῖ τις ἑαυτῷ σύμφερον, τοῦτο καὶ θέλει· καὶ τὸ μὲν μείων γέγονεν ἀπὸ τοῦ μῆκος· ἢ ἀπὸ τῆς μιᾶς· τῆς γὰρ μιᾶς οὐδέν ἐστιν ἐλαττότερον· ἢ ἀπὸ τοῦ μέρος μερίων, καὶ κατὰ συγκοπὴν τοῦ ρω, καὶ συναιρέσει τοῦ ε καὶ ἰῶτα εἰς τὴν ει δίφθογγον, μείων· τὸ δὲ πλείων ἀπὸ τοῦ πολλὸς πολλείων, καὶ κατὰ συγκοπὴν πλείων.

Λόχος: (Il. Δ. 392.) Ἡ ἔνεδρα· ἢ ἀπὸ τοῦ τοὺς ἐπιλέκτους εὐθετεῖν εἰς τοῦτο· ἢ ἀπὸ τοῦ λέξασθαι, ὃ πολλὰ σημαίνει· καὶ ἀριθμηθῆναι, καὶ καθευδῆσαι, καὶ ἐπιλέκτους εἶναι· ὧν ἕν ἐστὶ τὸ διαλέξασθαι· ὅτι οἱ τοιοῦτοι ἐπίλεκτοι διεκρίνοντο εἰς τὰς ἐνέδρας,

εἰ γὰρ νῦν παρὰ νανσὶ λεγοίμεθα πάντες ἄριστοι
εἰς λόχον. (Il. Ν. 276.)

ἢ ὡς εἰς λέχος ἔχειν ἀνακρινομένους, ἵνα ἀθεώρητοι ὦσιν,

ὡς ἄρα φωνήσαντε παρὲξ ὁδοῦ ἐν νεκύεσσι
κλινθήτην. (Il. Κ. 350.)

Λαοί: (Il. Α. 10.) Οἱονεὶ λαλιοὶ, ἐπεὶ καὶ ἄνθρωπος[z] κατὰ

[z] Cod. ἄνθρωποι.

μίαν ἐτυμότητα ὁ διηρθρωμένην ἔχων τὴν ὄπα· διὸ καὶ αὐδηέντες[a],

ἦ νύ που ἀνθρώπων σχεδὸν εἰμὶ αὐδηέντων. (Od. Z. 125.)

φέρεται δὲ ἱστορία, ὅτι ἡ Μῆτις δυστοκούσης τῆς Ῥέας· αὐτὴ μὲν ἔτεκε τέκνον ὃ ἐκάλεσε Λάαν· τῇ δὲ Ῥέᾳ τεκούσῃ τὸν Δία ἀντικατήλλαξεν τὸν Λάαν αὐτῆς τὸν παῖδα· ἵνα ὁ Κρόνος ἀντὶ Διὸς τὸν Λάαν καταπίῃ· Ζεὺς οὖν ἡβήσας, εἰς τίμην τοῦ ἀντ᾽ αὐτοῦ καταποθέντος, λαοὺς ὠνόμασε τοὺς ἀνθρώπους· οἱ δὲ ὅτι Δευκαλίων λίθους ῥίπτων ἀνθρώπους ἐποίει· ἔστι δέ τι τοιοῦτο· κατακλυσμοῦ ὄντος ἔφυγον οἱ ἄνθρωποι εἰς τὰ ὄρη· καὶ μετὰ ταῦτα ἐπέστησαν τῇ γῇ εὐδίας γενομένης, ὡς ἐκπαγῆναι, καὶ ἀπὸ λίθων νομισθῆναι εἶναι.

Λέλογχα: (Od. Λ. 303.) Παρὰ τὸ λέγω, λέξω, λέλοχα, καὶ πλεονασμῷ τοῦ ν, καὶ τροπῇ τοῦ ν εἰς γ, λέλογχα, διὰ τὴν ἐπιφορὰν τοῦ χ· ἢ παρὰ τὸ λήχω, τὸ λαγχάνω· ὁ ἐνεργητικὸς παρακείμενος λέληχα· ὁ μέσος ὁμοίως τροπῇ τοῦ η εἰς ο, καὶ πλεονασμῷ τοῦ ν, καὶ τροπῇ τοῦ ν εἰς γ· λέλογχα.

Λίγξε: (Il. Δ. 125.) Τοῦτο δηλοῖ μίμησιν ἤχου[b], ὃν ἀφιεμένου τοῦ βέλους ἀποτέλει ἡ νευρά· τὰ δὲ κατὰ μίμησιν φωνῆς ἢ ἰδιότητα λεγόμενα γεγόνασιν[c]· καὶ τοίνυν τὸ λίγξε, εἰ καὶ ἀορίστου α΄ χαρακτῆρα ἔχει· ἀλλ᾽ οὖν τὸ θέμα αὐτοῦ μὴ ζητήσεις· ὅθεν τὸν Μένανδρον[d] τινὲς ἐμέμψαντο ἐν τῷ λέγειν,

ἐπιλλίζοντας ὀϊστούς.

τοῦ γὰρ λίγξε τὸ θέμα θελήσας εἰπεῖν, ἔφθειρε τὴν τοῦ ἤχου μίμησιν· οὐ γὰρ ἀπὸ θέματος τὰ τοιαῦτα κέκλιται, ἀλλ᾽ ἀπὸ τῶν φωνῶν μόνων αὐτῶν ἡ ὀνοματοποιΐα γέγονε· καὶ τὸ,

σίζε δὲ ὀφθαλμός. (Od. I. 394.)

καιόμενος γὰρ ὁ τοῦ Κύκλωπος ὀφθαλμὸς ποιὰν ἀπετέλεσε φωνήν· τοῦ οὖν σίζω χαρακτῆρα ἔχοντος ἐνεστῶτος χρόνου, μὴ ζήτει μηδένα χρόνον ἑτέρον, μὴ δὲ ἔγκλισιν ἑτέραν, μὴ δὲ ὡς καθεστήκασιν

[a] Cod. αὐδιέντες. [b] Cod. ἔχου. [c] Cod. γεγόνασιν.
[d] Etym. M. p. 712, 42. Νίκανδρος ἐν Ἀλεξιφαρμάκοις· ἐπιλίζοντας ὀϊστούς.

τὸ ἴζω κλίνῃς τὸ σίζω· ἵνα μὴ καὶ τὸ σημαινόμενον διαφθείρῃς· πάλιν ἔστι τὸ,

κύματα παφλάζοντα. (Il. N. 798.)

μὴ οὖν ὥσπερ τὸ θαυμάζω κλίνῃς παμφλάσω, ἢ πεπλάφακα, ἀφαιρήσεις γὰρ τὴν λέξιν τῆς ἐμφάσεως, τῆς τοῦ ἤχου μιμήσεως· πάλιν ἐστὶ παρὰ τῷ ποιητῇ,

κρίκε δὲ ξύλον. (Il. Π. 470.)

μιμητικῶς εἰρημένον· ἐφ' οὗ τινὲς οὐ προσεσχηκότες τῇ μιμήσει τῆς φωνῆς, ἠπόρησαν πῶς ἀπὸ θέματος τοῦ κρίζω ὁ β' ἀόριστος, οὔτε διὰ τοῦ γ, ὡς στίζω ἔστιγον, οὔτε διὰ τοῦ δ, ὡς φράδω ἔφραδον, ἀλλὰ διὰ τοῦ κ· καὶ ὁ μὲν Ἡρωδιανὸς λέγει, κρίζω εἶναι θέμα· ἐξ οὗ καὶ ῥηματικὸν ὄνομα τὸ "κριγὴ" παρ' Ἱππώνακτι· σχηματίζει δὲ αὐτὸ ἀπὸ τοῦ κρῶ μονοσυλλάβου, ἀφ' οὗ καὶ κρῶ κράζω[e], καὶ τροπῇ τοῦ α εἰς ι κρίζω, ὡς σεβάζω σεβίζω, στάζω στίζω· τοῦ κρίζω ὁ ἀόριστος ἔκριγε, καὶ τροπῇ τοῦ γ εἰς κ κρίκε· ἡμεῖς δὲ φαμὲν πεποιημένην εἶναι τὴν λέξιν, ὡς ἐπὶ τῶν λοιπῶν.

Λάβω: (Il. Θ. 191.) Ἔστι λαβῶ περισπώμενον θέμα· ὅπερ ἐν συνθέσει γίνεται μεσολαβῶ, καὶ ὁ μέλλων τοῦ λαβῶ, λαβήσω· καὶ παρ' Εὐπολίδι "λελάβηκα," ὡς μαθῶ μαθήσω· οὗ ὁ παρακείμενος μεμάθηκα.

Λελήφαται: Ἀπὸ τοῦ λήβω ἐνεστῶτος· ὁ μέλλων λήψω, ὁ ἐνεργητικὸς παρακείμενος λέληφα, καὶ εἴληφα· ἐκ τούτου καὶ τὸ ἀπείληφα, καὶ τὸ παθητικὸν λέλημμαι· Σοφοκλῆς,

οἴ μοι λέλημμαι·

τὸ τρίτον λέληπται, τὸ πληθυντικὸν Ἰακῶς λελήφαται.

Λελιχμότες: Παρ' Ἡσιόδῳ·

γλώσσῃσι[f] δνοφερῇσι λελιχμότες. (Theog. 826.)

μετοχὴ πληθυντικὴ παθητικοῦ παρακειμένου κατὰ συγκοπήν· ἔστι γάρ τι περισπώμενον λιχμῶ· οὗ ὁ παρακείμενος λελίχμηκα, καὶ ἡ μετοχὴ λελιχμηκὼς, καὶ κατὰ συγκοπὴν λελιχμώς· ἔνθεν οὔτε ἀπὸ τοῦ χραισμῶ, οὔτε ἀπὸ τοῦ ὀλισθῶ μέσοι

[e] Cod. κρόζω. [f] MS. γλώσσῃσι.

γεγόνασιν παρακείμενοι, ὥσπερ οὐδὲ ἀπὸ τοῦ λιχμῶ· ἵνα μὴ διὰ δύο συμφώνων ἐξενεχθῶσιν· ἔστι δὲ διὰ τοῦ ο ἡ γενικὴ, λελιχμότος· πᾶσα γὰρ μετοχὴ περιττοσυλλάβως κλινομένη συστέλλει τὸ φωνῆεν ἐν τῇ γενικῇ· χωρὶς εἰ μὴ εἴη ἀπὸ περισπωμένου, ἢ ἀπὸ κράσεως.

ἈΡΧΗ ΤΟΥ Μ.

Μέροψ: (Il. A. 250.) Διατὶ βαρύνεται; τὰ εἰς ψι λήγοντα ὀνόματα ἔχοντα πρὸ τοῦ ψ τὸ ε, ἢ τὸ ο, ἢ τὸ ι, εἴτε ἁπλᾶ εἴτε σύνθετα, βαρύνονται· τὸ ε· οἷον, "βοόκλεψ" παρὰ Ἀριστοφάνει· τὸ ι· οἷον, αἰγίλιψ· οἰκότριψ· τὸ ο· οἷον, εὐρύοψ· καλαύροψ.

Μετά: Πόσαις πτώσεσι συντάσσεται; τρισί· γενικῇ· δοτικῇ· αἰτιατικῇ· γενικῇ· οἷον, "μετὰ τοῦ φίλου" ἀντὶ τοῦ φίλου· δοτικῇ· "μετ' ἀνδράσι πολεμίζειν" ἔστι δὲ καὶ σύνταξις ποιητική· αἰτιατικῇ· "μετὰ τὸν Νῶε ὁ Ἀβραάμ·" σημαίνει δὲ οὕτως συντασσόμενος χρόνον· "μετὰ σέ· μετ' ἐκεῖνον·" ἐν δὲ ταῖς συνθέσεσι μάλιστα δηλοῖ τὴν ἐκ τόπου εἰς τόπον κίνησιν, ἢ χρόνον· οἷον μέτοικος· μετανάστης· μεταγενέστερος.

Μάρναντο: Παρὰ τὸ μάρνημι· τὸ παθητικὸν μάρναμαι· ὁ παρατατικὸς[g] * * * * * * * * * * * * * *[h] ὡς ἐν τῷ,

μήτ' αὐτὸν κτείνειν, μήτε μνάασθαι ἄκοιτιν. (Od. A. 39.)

ἀντὶ τοῦ μὴ ἔσο μνηστὴρ τῆς γυναικὸς αὐτοῦ· καὶ ἐν τῇ Ἰλιάδι,

μὴ μὲν ἐγὼ κούρῃ Βρισηΐδι χεῖρ'[i] ἐπενεῖκαι. (Il. T. 261.)

συνεχῶς γὰρ ὁ ποιητὴς τοῖς ἀπαρεμφάτοις ἀντὶ προστακτικοῖς κέχρηται· ὡς ἐν τῷ,

πειρᾶν δ' ὥς κεν Τρῶες ὑπερκύδαντας Ἀχαιούς. (Il. Δ. 66.)

ἀντὶ τοῦ ἀπόπειραν ποιησάτω· καί,

[g] Intercidit hic unum aut alterum folium. [h] Quæ seq. videntur ad particulam μὴ spectare. [i] Cod. χεῖρας.

πάντα μαλ᾽ ἀτρεκέως ἀγορευέμεν, ὡς ἐπιτέλλω. (Il. B. 10.)

ἀντὶ τοῦ ἀγόρευσον· τὸ δὲ μὴ σημαίνει δύο· ἀπαγόρευσιν καὶ δισταγμόν· ἀπαγόρευσιν· οἷον, μὴ φάγῃς· δισταγμόν· μὴ ἀπέθανεν ὁ δεῖνα;

Μέμφεαι: Ἐπὶ τῶν τρίτων προσώπων παθητικῶν οἱ Ἴωνες ἀποβάλλουσι τὸ τ τοῦ τρίτου προσώπου, καὶ δεύτερον ποιοῦσιν· ἐνεργητικὸν οὐκ ἔχει· γίνεται ἐκ τοῦ μομφή.

Μεθήμων: (Od. Z. 25.) Ὄνομα· τὸ θη η, ὥσπερ γὰρ ἀπὸ τοῦ νῶ, νοήσω νοήμων, οὕτως ἀπὸ τοῦ μεθῶ, μεθήσω μεθήμων· καὶ τρέπεται ἐπὶ τῆς γενικῆς τὸ ω εἰς ο, ὡς ῥηματικόν.

Μετάφρενον: (Il. B. 265.) Ἡ μετὰ τὸ ἔσχατον σημαίνει, καὶ τὸ ὀπίσω, ὡς τὸ, "μετ᾽ Ἀχιλλῆα·" καὶ "μετὰ θεόν·" σημαίνει καὶ τὴν ἄνω σχέσιν· ὡς τὸ μέτωπον, τὸ ὑπεράνω τῶν αἰπῶν· ὧδε τὸ ἔσχατον σημαίνει· τὸ ἀπὸ τοῦ ἥπατος καὶ τῆς κοιλίας· ἀπὸ γὰρ τούτων ἐστὶν ἐκεῖνο· διὰ τοῦτο καὶ ἡ μετὰ πρόθεσις ὀπίσω καὶ ἔσχατον δηλοῖ.

Μυρία: (Il. A. 2.) Ἀντὶ τοῦ πολλά· ἀορίστως· τὸ μυ βραχύ· ἐπὶ μὲν γὰρ τοῦ ἄλλου τοῦ σημαίνοντος ὡρισμένον πλῆθος, ἐκτεταμένον ἐστίν· ἀπὸ γὰρ τοῦ μυ γίνεται τοῦ στοιχείου, ὅπερ μακρὸν ἐστί· τοῦτο δὲ συστέλλεται τὸ σημαῖνον τὸ ἀόριστον πλῆθος.

Μέροψ: (Il. A. 250.) Συνώνυμον· γίνεται παρὰ τὸ μείρω, τὸ μερίζω· ὁ μεμερισμένην τὴν φωνὴν ἔχων, καὶ ἔναρθρον· ὡς πρὸς σύγκρισιν τῶν ἄλλων ζώων· ἐπειδὴ ἐὰν εἴπω ἄνθρωπος, μερίζεται εἰς συλλαβάς.

Μήν: (Il. B. 292.) Παρὰ τὸ μήνη, ὃ σημαίνει τὴν σελήνην· δι᾽ αὐτῆς γὰρ τελειοῦται ὁ μήν· ἢ παρὰ τὸ μεῖον, τὸ μικρὸν, γίνεται μειὴν, καὶ συγκοπῇ μήν· ἡ εἰς ἄκρον ἐλάττωσις καὶ ἀποτερμάτωσις τῆς σελήνης.

Μητίετα: (Il. A. 508.) Ἡ εὐθεῖα μητιέτης· παρὰ τὸ μῆτις· τοῦτο παρὰ τὸ μηδῶ· ἐκ τοῦ μῆτις γοῦν γίνεται μητίτης, καὶ πλεονασμῷ τοῦ ε, μητιέτης· ἡ αἰτιατικὴ, τὸν μητιέτην, καὶ κατὰ μεταπλασμὸν μητίετα· διατί προπαροξύνεται; αἱ γινόμεναι κατὰ μεταπλασμὸν εἰς α αἰτιατικαὶ, μὴ ἀπὸ προ-

ηγουμένης γενικῆς, ἢ δοτικῆς, εἰς α μεταπλασθείσης, ὑπὲρ δύο συλλαβὰς, προπαροξύνονται· εὔτροχον εὔτροχα· ἀλίτροχον ἀλίτροχα· πρόσκειται μὴ ἀπὸ προηγουμένης γενικῆς, ἢ δοτικῆς, διὰ τὸ ἱππότης ἱππότου ἱππότα· προμετεπλάσθη γάρ· πρόσκειται ὑπὲρ δύο συλλαβὰς, διὰ τὸ λιτοῦ λῖτα·

καταλῖτα πετάσσας[k]. (Od. A. 130.)

τὸν μητιέτη γὰρ καὶ μητίετα· καὶ ἡ κλητική· ὦ μητίετα· καὶ ὤφειλε βαρύνεσθαι· κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι τὰ εἰς ης ἰσοσυλλάβως, ἢ τὸ τ ἔχει, εἰς α ποιοῦσι τὴν κλητικήν· καὶ ὤφειλεν εἶναι μητιέτα ἀπὸ τῆς μητιέτης εὐθείας· ἀλλ' ἐπειδὴ ἕτερος κανὼν ἐστὶν ὁ λέγων, ὅτι πᾶσα πτῶσις συνεπάπτουσα[l] ἑτέρᾳ πτώσει κατὰ τὸν αὐτὸν ἀριθμὸν, καὶ τὸν αὐτὸν τόνον ἐπιδέχεται· τούτου χάριν ἡ κλητικὴ τὸν αὐτὸν τόνον ἐφύλαξε τῆς αἰτιατικῆς· καὶ ἡ εὐθεῖα πάλιν τῇ αἰτιατικῇ ὡμοφώνησεν[m].

Μάρτυροι: (Il. A. 338.) Δύο γενικὰς ἐπιδέχεται, ὡς τὸ ψίθυρ ψίθυρος, καὶ ψίθυρος ψιθύρου· οὕτως μάρτυς μάρτυος, καὶ πλεονασμῷ μάρτυρος· καὶ ἡ γενικὴ γίνεται εὐθεῖα, καὶ κλίνεται μάρτυρος μαρτύρου· τὸ δὲ μάρτυς γίνεται παρὰ τὸ μάρπτω, τὸ καταλαμβάνω· μάρπτυς καὶ μάρτυς, ἀποβολῇ τοῦ πι, ὁ ἐκ τοῦ κατειληφέναι δυνάμενος περὶ αὐτῶν εἰπεῖν· ἢ παρὰ τὸ μαίρω, τὸ λάμπω· ὁ λαμπρύνων, καὶ εἰς φῶς ἄγων τὸ ζητούμενον.

Μῆχος: (Il. B. 342.) Ἔστιν ὄνομα οὐδέτερον· τὸ μη η· λέγουσι τινὲς ὅτι ἐκ τοῦ μηχανὴ γίνεται κατὰ παρασχηματισμὸν μῆχος, ὡς ἡδονὴ ἦδος,

οὐ δέ τι δαιτὸς ἐσθλῆς ἔσσεται ἦδος[n]. (Il. A. 576.)

Μῶλος: (Il. B. 401.) Ἡ πολυχρόνιος μάχη· παρὰ τὸ μὴ λύεσθαι ταχέως· ἢ παρὰ τὸ ὁμοῦ ὀλλύειν· ἢ παρὰ τὸ μολεῖν· ἐκ δὲ τοῦ ὀλλύω, τὸ ὀλεθρεύω, γίνεται μολύνω· τὸ μυ μικρὸν, πλεονασμῷ τοῦ νυ· πέφυκε γὰρ τὸ νυ πλεονάζειν ἐν τοῖς ῥήμασιν· ἐκ τοῦ ὀλλύω πλεονασμῷ τοῦ νυ, ὀλλύνω, καὶ μολύνω· καὶ ἐξ αὐτοῦ κατὰ ἐπαύξησιν τὸ μῶλυς.

[k] Edd. ὑπὸ λῖτα. Cod. πετάσας. [l] Sic. leg. συνεμπίπτουσα.
[m] Cod. ὡμοφόνησεν. Cf. Etym. M. p. 585, 2. [n] Cod. εἶδος sed infr. corr. ead. man. ἦδος.

Μῆρα:

κατὰ μῆρ' ἐκάη. (Il. A. 464.)

τὸ ὁλόκληρον γάρ ἐστι τὰ μῆρα· καὶ ὤφειλεν εἶναι τὰ μηρὰ ὀξυτόνως· κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι τὰ ἀπὸ ἀρσενικοῦ, ἢ θηλυκοῦ εἰς οὐδέτερον γένος μεταπλαττομένου, τοῦ αὐτοῦ σημαινομένου ὁμότονον καθεστήκασιν· οἷον ἐρετμοὶ ἐρετμά· αἱ πυραὶ τὰ πυρά·

χίλι' ἄρ' ἐν πεδίῳ πυρὰ καίετο[o]. (Il Θ. 562.)

αἱ οἰκίαι τὰ οἰκία,

ὁδῷ ἔπι οἰκία ναίων. (Il. Z. 15.)

αἱ πλευραὶ τὰ πλευρά· ὤφειλε καὶ τοῦτο ὀξυτόνως· οὐκ ἔστι δέ· ἔδειξε γὰρ ὁ τόνος τὸ πάθος· ἔστι γὰρ τὸ μηρίον, καὶ τὰ μηρία τὸ πληθυντικόν· καὶ κατὰ συγκοπὴν τὰ μῆρα· διαφέρει τὸ ἀρσενικὸν τοῦ οὐδετέρου, ὅτι τὸ μὲν ἀρσενικὸν ὁ ποιητὴς τίθησιν καὶ ἐπὶ τῶν ἁγιαζομένων, ἤγουν θυομένων, καὶ ἐπὶ τῶν ἀνθρωπείων, ὡς τὸ,

μηροὺς ἐξέταμον. (Il. A. 460.)

καὶ ὡς τὸ,

τοῖοί τοι Μενέλαε μιάνθην αἵματι μηροί. (Il. Δ. 146.)

τὸ οὐδέτερον δὲ ἐπὶ τῶν ἁγιαζομένων, καὶ μόνον· ὡς τὸ,

αὐτὰρ ἐπεὶ κατὰ μῆρ' ἐκάη. (Il. A. 464.)

γίνεται παρὰ τὸ μείρω, τὸ μερίζω· ἀπ' αὐτοῦ γὰρ τόπου μερίζεται τὸ σῶμα, μέχρι γὰρ αὐτοῦ μερίζεται· ἔστι δὲ ὑποκοριστικὸν τὸ μηρίον.

Μυῖα: (Il. B. 469.) Γίνεται ἐκ τοῦ μυών[p]· σημαίνει δὲ τὸ παχὺ καὶ σαρκῶδες τῶν ὀπισθίων μέρων, τὸ συνεσφιγμένον ἀπὸ τῶν νεύρων· καὶ γίνεται παρὰ τὸ μύω, τὸ συσφίγγω· ἀφ' οὗ μυὼν,

ἔνθα πάχιστος
μυὼν ἀνθρώπου πέλεται. (Il. Π. 315.)

οἱονεὶ, ὁ συνεσφιγμένος τόπος· ἐξ αὐτοῦ γίνεται μύγα, ἡ σαρκώδης οὖσα καὶ παχεῖα· καὶ ὥσπερ ἀπὸ τοῦ ἀλύω πλεονάζει τὸ ἰῶτα, καὶ γίνεται ἀλυίω[q] σὺν τῷ ἰῶτα,

[o] Cod. κεοντο (αί written above). [p] Cod. μυ ut etiam infra. [q] Cod. ἀλιω (ῠ written above).

ἣ δ' ἀλυίουσ' ἀπεβήσατο. (Il. E. 352.)

οὕτως καὶ τὸ μυῖα πλεονασμῷ τοῦ ἰῶτα· καὶ ἡ γενικὴ τῶν πληθυντικῶν μυιάων[r].

Μεμαῶτες: (Il. B. 473.) Μετοχή· ἔστι δὲ μεμῶ τὸ προθυμοῦμαι· ἐξ οὗ ὄνομα ῥηματικὸν ματὸς, καὶ μετὰ τοῦ αὐτὸς γίνεται αὐτόματος, ὁ αὐτόκλητος· ὁ μέλλων μεμῶ, ὁ παρακείμενος μέμακα, ἡ μετοχὴ μεμακὼς, καὶ ἀποβολῇ τοῦ κ μεμαώς· καὶ κλίνεται μεμαότος καὶ μεμῶτος, κατὰ συναίρεσιν· καὶ τὸ πληθυντικὸν μεμῶτες, καὶ πλεονασμῷ τοῦ α ποιητικῶς μεμαῶτες· καὶ φυλάσσει τὸ ω μετὰ καὶ τοῦ πλεονασμοῦ· τὸ θηλυκὸν ἡ μεμῶσα.

Μιγέωσι: (Il. B. 475.) Ῥῆμα ὑποτακτικὸν παθητικὸν ἀορίστου β'· καὶ πρόδηλον ὅτι ἀόριστος β', ἐπειδὴ εἰ ἦν ἐνεστὼς μακρὸν ὤφειλεν ἔχειν τὸ ι· ὧδε δέ ἐστι βραχύ· ὥστε β' ἀόριστος ἐστίν· ὁ ἐνεστὼς μίγω· τὸ μι μικρόν· ἔστι γὰρ σμίσγω, καὶ ἡ θέσει μακρὰ μετεβλήθη εἰς τὴν φύσει μακράν· τὸ μι ἰῶτα· ἐπεὶ εἰ ἐγράφετο διὰ τῆς ει διφθόγγου ὤφειλεν εἶναι ὁ μέσος παρακειμένος μέμοιγα· τούτου χάριν γράφεται διὰ τοῦ ἰῶτα ὁ ἐνεστώς· καὶ ὁ β' ἀόριστος ἔμιγον· καὶ τὸ ὑποτακτικὸν μιγῶ, μιγῶμεν μιγῶσι, καὶ πλεονασμῷ τοῦ ε ποιητικοῦ μιγέωσιν.

Μυγδόνος: (Il. Γ. 186.) Ὁ κανών· ὅσα δὲ εἰς δων λήγει.

Μαχαίρας: (Il. Σ. 597.) Ὅτι ἐπὶ μέντοι τοῦ μάχαιρα μαχαίρας εἴπομεν· ὡς ἡ γενικὴ ἠναγκάσθη παρὰ τὸ αἵματι χαίρειν.

Μαρμαρέην: Ἡ εὐθεῖα μαρμαρέη· ὁ κανών· τὰ εἰς ος ἀρσενικὰ ποιοῦντα κατ' ἰδίαν θηλυκόν· ἐκ τοῦ μαρμάρεος· τοῦτο ἐκ τοῦ μαρμάρειος ἀποβολῇ τοῦ ι· ἐπὶ γὰρ διὰ τῶν εἰς ος κτητικῶν, οἱ Ἴωνες ἀποβάλλοντες τὸ ι τῆς ει διφθόγγου, διὰ τοῦ εος προφέρουσι· φλόγειος φλόγεος,

ἐς δ' ὄχεα φλόγεα. (Il. E. 745.)

τὸ ρει δίφθογγος· τὰ διὰ τοῦ ειος κτητικὰ σημαίνοντα μέρος σωματικὸν, ἢ μετουσιαστικὰ, διὰ τῆς ει διφθόγγου γράφονται·

[r] Cod. μυιάν.

οἷον, σιδήρειος· χρύσειος· οὕτως καὶ μαρμάρειος· γίνεται ἐκ τοῦ μάρμαρον, σημαίνει δὲ τὸ λευκόν· τοῦτο ἐκ τοῦ μαρμαίρω, τὸ λάμπω· μέλλων οὐκ ἔχει.

Μέγας: (Il. A. 239.) Τὸ ἐπίθετον συστέλλει τὸ α· διότι τὰ εἰς σ λήγοντα μετὰ διχρόνου, ἀποβολῇ τοῦ σ τὸ οὐδέτερον ποιοῦντα, συνεσταλμένον ἔχει τὸ δίχρονον· σημαίνει τὸ μέγας δύο· τὸ κύριον ὄνομα, ὅπερ ἰσοσυλλάβως κλίνεται· ὁ Μέγας τοῦ Μέγα· ἐξ οὗ τὸ πατρωνυμικὸν Μεγάδης[s], καὶ ὁ ποιητὴς,

καὶ Πέριμον Μεγάδην. (Il. Π. 695.)

ἤγουν τοῦ Μέγα τὸν υἱόν· καὶ διαφέρει τὸ κύριον τοῦ προσηγορικοῦ· ὅτι τὸ μὲν κύριον ἰσοσυλλάβως κλίνεται, καὶ ἐκτείνεται καὶ τὸ α· τὸ δὲ προσηγορικὸν περιττοσυλλαβεῖ, καὶ συστέλλει τὸ α.

Μενεαίνων: (Il. Γ. 379.) Ἐκ τοῦ μένος μενεαίνω.

Μόγος: (Il. Δ. 27.) Παρὰ τὸ μέγας· ἐν γὰρ τοῖς μεγάλοις πράγμασι κοπιῶμεν.

Μάχη: (Il. A. 521.) Παρὰ τὸ ἄχος ἄχη καὶ μάχη· πλεονασμῷ τοῦ μυ μάχη· ὡς ἄλευρον μάλευρον· χεὶρ χερὸς, χεράδιον, καὶ χερμάδιον.

Μείζων: (Il. A. 167.) Ποίου εἴδους τῶν παραγώγων; συγκριτικοῦ· ἐκ τοῦ μέγας· ὁ ἄτυπος μεγάτερος· ὁ β′ μεγίων, ὁ τρίτος μέσσων· καὶ οἱ μὲν Αἰολεῖς τὸ νίπτω νίσσω, καὶ τὸ βλέπω βλέσσω· οὐ ὑφαιροῦντες τὸ β, καὶ πλεονασμῷ τοῦ υ ποιοῦσι τὸ λεύσσω· ἡ δὲ τῶν Ταραντίνων διάλεκτος τὰ δύο σσ εἰς ζ τρέπουσι, καὶ γίνεται μέζων, καὶ πλεονασμῷ τοῦ ι μείζων· τὸ μέγας ποίου εἴδους τῶν ὑποπεπτωκότων; πρός τι ἔχον· πρὸς γὰρ μικρὸν ἔχει.

Μεταλλῶ: (Il. A. 550.) Συζυγίας δευτέρας τῶν περισπωμένων· καὶ σημαίνει τὸ πολυπραγμονῶ· γίνεται δὲ ἐκ τοῦ μέταλλον, ὃ σημαίνει τὸν τόπον ἐν ᾧ ὁ χρύσος τίκτεται· ἢ ἡ χρυσίτις γῆ· καὶ τί μετέχει τὸ μετάλλον πρὸς τὸ μεταλλῶ; ἐπειδὴ ταῦτα ἐρεύνης, οὐ τῆς τυχούσης ἀλλὰ καὶ τῆς ἀναγκαίας δέονται.

[s] Cod. μεγάλης.

Μάκαρ: (Il. Γ. 182.) Πόσας εὐθείας ἔχει τὸ μάκαρ; γ'· μακάριος, ὅπερ ἀπὸ τοῦ κῆρ, ὃ σημαίνει τὴν θανατηφόρον μοῖραν, καὶ ἐξ αὐτοῦ μάκαρ, ἀποκοπῇ τῶν δύο συλλαβῶν, καὶ μάκαρς.

Μοιρηγενές: (Il. Γ. 182.) Γίνεται ἐκ τοῦ μοῖρα, ὃ σημαίνει τὴν εὐτυχίαν· καὶ Ἰωνικῶς μοίρη, καὶ τὸ γένος, μοιρηγενές· οἱονεὶ ἐπ' εὐτυχίᾳ γεγενημένος.

Μέλαιναι: (Il. Β. 524.) Γίνεται ἐκ τοῦ μέλας μέλανος· ὁ κανών· τὰ εἰς ὀνόματα περιττοσυλλάβως κλινόμενα διὰ τοῦ ντ κλίνονται· οἷον μέλας μέλαντος, ἐξ οὗ τὸ,

μελάντερον ἠΰτε πίσσα. (Il. Δ. 277.)

τάλας τάλαντος· ἐπεκράτησεν ἡ συνήθεια διὰ τοῦ ν μόνου αὐτὸ κλίνειν· πρόσκειται περιττοσυλλάβως, διὰ τὸ μέγας μέγα, καὶ λάας λάα.

Μετέησι: (Il. Γ. 109.) Τὸ θέμα εἶμι· ἡ μετοχὴ εἵς· τὸ ὑποτακτικὸν ὦ· ᾖς· ᾖ· πλεονασμῷ τῆς σι συλλάβης, ᾗσι, καὶ τοῦ ε ποιητικοῦ ἔῃσι, καὶ μετέῃσιν.

Μεδέων: (Il. Γ. 276.) Μετοχὴ, ὡς φιλέων· κανὼν γάρ ἐστιν ὁ λέγων· τὰ εἰς δω λήγοντα ῥήματα δισύλλαβα, ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς τὸ ε στοιχεῖον καταλῆγον, περισπᾶσθαι θέλουσιν· οἷον, πεδῶ πεδήσω· σκεδῶ σκεδάσω· οὕτως εἴη τὸ ἑδῶ, καὶ μέδῶ· ταῦτα δὲ καὶ βαρύνεται καὶ περισπᾶται· ἀναλογώτερα οὖν εἰσὶ περισπώμενα· μεδέων, ὡς νοέων καὶ φιλέων· πολλαὶ δέ εἰσι καὶ τοῦ ἐδῶ κινήσεις· ἔδεσμα καὶ ἐδηδώς.

Μαχήσομαι: (Il. Ι. 32.) Μαχῶ μαχήσω· τὸ μαχῶ ἐκ τοῦ μάχω βαρυτόνου, ὃ οὐκ εἴρηται· τὸ δὲ παθητικὸν μάχομαι· ὁ χαρακτὴρ παθητικός ἐστι, τὸ δὲ σημαινόμενον ἐνέργειαν δηλοῖ· κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι τὰ εἰς χω λήγοντα ῥήματα δισύλλαβα βαρύτονα, τῷ α καθαρῷ παραληγόμενα, σπάνια εἰσί· τὸ ἄχομαι καὶ μάχομαι· καὶ ταῦτα δὲ ἄχρι μὲν τοῦ παρατατικοῦ κλίνεται, ὡς βαρύτονα· ἀπὸ δὲ τοῦ παρακειμένου, ὡς περισπώμενα ποιεῖται τὴν κίνησιν.

Μαρνάμενος: (Il. Α. 257.) Ἐκ τοῦ μάρνημι· τοῦτο ἐκ

τοῦ μαραίνω, τοῦ σημαίνοντος τὸ φθείρω, ὁ μέλλων μαρανῶ, καὶ ἐξ αὐτοῦ μάρνημι.

Μηονίς: (Il. Δ. 142.) Ἡ χώρα Μηονία· τὸ νι ι· τὰ διὰ τοῦ ια θηλυκὰ παροξύτονα ἐπὶ χώρας λαμβανόμενα, ἢ ἐπὶ πόλεως, διὰ τοῦ ἰῶτα γράφεται· λέγεται δὲ Μηονία ἡ Λυδία· γίνεται δὲ ἐκ τοῦ Μαιὼν Μαίονος· ἔστι δὲ ὄνομα κύριον, καὶ τροπῇ τοῦ α εἰς η Μηονία· Μαίονος ὁ κανών· τὰ εἰς ων λήγοντα ὀξύτονα, τῇ αι διφθόγγῳ παραληγόμενα, εἰ μὲν ὦσιν ἐθνικὰ τρέπουσι τὸ ω τῆς εὐθείας εἰς ο ἐπὶ γενικῆς· οἷον Παιὼν Παίονος·

Παίονας ἄνδρας ἄγων δολιχεγχέας. (Il. Φ. 154.)

Μαίων Μαίονος· εἰ δὲ μὴ ὦσιν ἐθνικὰ φυλάττουσιν τὸ ω ἐπὶ γενικῆς· οἷον, βαιὼν βαιῶνος· ἔστι δὲ ὄνομα ἰχθύος· Παιὼν Παιῶνος ὄνομα κύριον.

Μεθίω[t]: (Od. Δ. 372.) Τὸ θι μακρόν· τὰ εἰς ω καθαρὰ βαρύτονα ὑπὲρ δύο συλλαβὰς, τῷ ι παραληγόμενα, ἐκτείνεται· τὰ διὰ τοῦ ιω ῥήματα ὑπὲρ δύο συλλαβὰς εἰς μ διὰ τοῦ ι γράφεται· γίνεται δὲ ἐκ τοῦ μεθύω ὃ σημαίνει τὸν οἶνον.

Μίν: (Il. Α. 29.) Ἀντὶ τοῦ τρίτου προσώπου πρωτοτύπου· ἐγὼ, σὺ, ἵ· τοῦτο γὰρ τὸ ι ὡς τρίτον βραχυνόμενον πρόσωπον ἐφελκύσατο τὸ νυ ὡς ἔτυψε ἔτυψεν· καὶ πλεονασμῷ τοῦ μυ μιν, ὡς ἴα μία· χεράδιον[u]· τὸ δὲ μιν τρία γένη σημαίνει· αὐτὸν, αὐτὴν, καὶ αὐτό.

Μῦθος: (Il. Α. 33.) Δύο σημαίνει τόν τε σκοτεινὸν λόγον, παρὰ τὸ μύω, τὸ καμμύω· τόν τε ἁπλῶς λόγον, παρὰ τὸ μύω μυήσω, τὸ διδάσκω, μύηθος καὶ μῦθος.

Μαρναμένοιϊν: (Il. Α. 257.) Ἀπὸ τοῦ μαρνῶ, μάρνυμι[x] μάρναμαι, μαρνάμενος, μαρναμένοιϊν, καὶ πλεονασμῷ τοῦ ϊ μαρναμένοιϊν· τὸ δὲ μαρνῶ ἀπὸ τοῦ ἀρνός· οἱ παλαιοὶ γὰρ τὰς πραγματείας μετ' ἀρνῶν ἐποιοῦντο· ὅθεν καὶ τὸ ἀρνῶ ἀρνοῦμαι.

Μεθέμεν: (Il. Α. 283.) Καταλιπεῖν, ἀπὸ τοῦ εἶναι καὶ πλεονασμῷ τοῦ με ἔμεναι, καὶ συγκοπῇ τῆς ε ἔμεν, καὶ μετὰ

[t] Cod. Μεθΰ́ψω· hic confusæ sunt duæ voces μεθίω et μεθύω. Cf. Etym. p. 575, 29. et 37. [u] Add. χερμάδιον. [x] Leg. μάρνημι.

τῆς μετὰ προθέσεως μεθέμεν· ἐκ τοῦ ἵημι, τὸ πέμπω, καὶ ἀπαρέμφατον ἕναι.

Μεγάροισιν: (Il. Α. 396.) Ὄνομα προσηγορικὸν οὐδέτερον ἁπλοῦν· πτώσεως δοτικῆς, εἴδους παρωνύμου, παρὰ τὸ μέγα γὰρ παρήχθη· παρὰ τὸ μέγα καὶ τὸ μέγεθος· τροπῇ τοῦ α εἰς ε· ὅταν οὖν παρὰ ταῖς[y] διαλέκτοις γένηται μέγεθος, τὸ ὀφειλόμενον ἀπεδόθη· ἡ εὐθεῖα μέγαρον, ὅπερ ἔλαβε καὶ τὴν εἰς ος κατάληξιν, καὶ εἴρηται μέγαρος· γίνεται γὰρ τὰ εἰς ον οὐδέτερα καὶ εἰς ος· ὥσπερ τὸ θύον θύος· καὶ μὲν τοὺς θυέεσσιν, ὡς ἀπὸ τοῦ θύος, ὡς βελέεσσιν· καὶ ἄρειον ἄρειος· καὶ κρίνον κρίνος, ἔνθεν,

καὶ κρίνεισι·

παρὰ Ἀριστοφάνει, καὶ παρὰ Ποσιδίππῳ[z],

τὸ τῆς ἐλαίας δένδρον·

καὶ πάλιν παρ' Ἀριστοφάνει,

τὰ δὲ δὴ δένδρα τὰν τοῖς ὄρνεσι·

καὶ τὸ πύον πύος λέγεται, καὶ ἡ χρῆσις παρὰ τῷ Ἱπποκράτει· οὕτως οὖν καὶ μέγαρον μέγαρος· ζητεῖται τῷ παρὰ τῷ Σώφρονι·

κύων πρὸ μεγάρεων μέγα ὑλακτέων·

οὐ γὰρ ἐπὶ τῆς πόλεως τὰ Μέγαρα, ὁ Μεγαρεὺς, καὶ οἱ Μεγαρεῖς, τῶν Μεγαρέων· ἀλλ' ἀντὶ τοῦ πρὸ τῶν οἴκων· καὶ γὰρ δῆλον ὅτι πρὸ τῶν οἴκων ὑλακτοῦσιν οἱ κύνες· ἔστιν οὖν ἀπὸ τοῦ μέγαρος μεγάρεος, ὡς βέλεος, καὶ ὡς βελέων, οὕτως μεγάρεων· τὸ γὰρ ἐπὶ τὸ οἱ Μεγαρεῖς, τῶν Μεγαρέων, οὐ διαιρεῖται ὡς τοῦτο· βαρύνεται τὸ μέγαρον· τὸ διὰ τοῦ αρον μονογενῆ ὑπὲρ δύο συλλαβὰς βαρύνεται· βλέφαρον· Ταίναρον· Γάργαρον· Οἴναρον· πρόσκειται ὑπὲρ δύο συλλαβὰς διὰ τὸ σαρόν.

Μοῦσα: (Il. Β. 761.) Ἀπὸ μιᾶς αἱ πᾶσαι λέγονται· Μνασέας δὲ φησὶν ὅτι αἱ πᾶσαι τρεῖς εἰσίν· Μοῦσα, Θεὰ, Ὑμνώ· ἐν μὲν οὖν Ἰλιάδι μεμνῆσθαι τῆς Θεᾶς·

μῆνιν ἄειδε Θεά.

ἐν δὲ Ὀδυσσείᾳ τῆς Μούσας·

[y] Cod. τοῖς. [z] ποσιδιππι (ωι superscript).

ἄνδρα μοι ἔννεπε Μοῦσα·

ἐν δὲ τῇ Παλαμηδείᾳ τῆς Ὑμνοῦς· ἀλλ' ὁπότε οὐκ ἔστι κύριον, ὥσπερ καὶ τὸ χάριν καὶ κύριον ὄνομα καὶ τὸ πρᾶγμα, ζητήσεις· τὸ μὲν γὰρ προσηγορικὸν Θεά· εἶτα μοῦσα· εἶτα ἑκάστης τὰ κύρια·

Κλειώ τ' Εὐτέρπη τε Θάλειά τε Μελπομένη τε· (Hes. Theog. 77.)

ὥστε τὸ μὲν προσηγορικὸν εἶναι γενικὸν τὸ θεά· τὸ δὲ εἰδικώτερον προσηγορικὸν, τὸ μοῦσα· οὐ γὰρ ἐπιθετικά· ὥσπερ πάλιν θεὰ, εἶτα Μοῖρα· εἶτα Κλωθὼ, Λάχεσίς τε καὶ Ἄτροπος· πάλιν αὖ Θεμὶς, εἶτα Χάριτες εἶτα Πασιθέη, καὶ ὅσα ἐστὶν ὀνόματα· καὶ πάλιν καθόλου μὲν ἰχθὺς, εἶτα κεστρεὺς, ὄρνις, αἰετός· ὥστε εἶναι τὶ καθολικὸν προσηγορικὸν, εἶτα εἰδικώτερον προσηγορικόν· εἶτα τὸ κύριον· ἐκ τοῦ μοῦσα καὶ μοισῶ ῥῆμα παρὰ Συῤῥακουσίοις· Ῥηγινοὶ δὲ λέγουσι μοῦσα· Αἰολεῖς μοῖσα· ὧν ἐστὶ Πίνδαρος· Ἀττικοὶ δὲ καὶ Ἴωνες καὶ Συῤῥακουσίοι μοῦσα· Λάκωνες μῶσα· καὶ οἱ μεταγενέστεροι Λάκωνες ἄνευ τοῦ σ μῶα· καὶ ἡ γενικὴ τῶν πληθυντικῶν μωσάων παρὰ Λάκωσι· παρὰ δὲ Σαπφοῖ "μοισάων·" τὸ Ἰωνικὸν μουσέων· τὸ Βοιωτικὸν μουσάων· τὸ Ῥηγινὸν μοισᾶν· τὸ μοῦσα δὲ παρὰ τὸ μῶ, ὅ ἐστι τρίτης συζυγίας σημαντικὸν, τὸ ζητῶ· ἡ μετοχὴ μῶν· τὸ θηλυκὸν μοῦσα· εἰς σα δὲ τρία ἔχομεν τῇ ου διφθόγγῳ[a] παραληγόμενα ὑπὲρ δύο συλλαβὰς, καὶ μετὰ δισσοῦ τοῦ σ· δισύλλαβα δὲ οὐκ ἔχομεν ὅμοιον τῷ μοῦσα ὑπάρχον· τὸ γὰρ λεγόμενον Σοῦσα οὐδέτερον ἐστὶ πληθυντικὸν, ἐπὶ πόλεως τεταγμένον.

Μακροτάτη: (Il. Ξ. 288.)

ἢ τότ' ἐν Ἴδῃ
μακροτάτη πεφυυῖα. (Il. Ξ. 288.)

ὑπερθετικὸν κατὰ φωνὴν, οὐ κατὰ σύνταξιν· τὰ γὰρ ὑπερθετικὰ καὶ τὰ συγκριτικὰ γενικῇ θέλει συντάσσεσθαι· μακροτάτη τῆσδε· μακρότατος τοῦδε· λευκότερος τοῦδε·

λευκότεροι χίονος. (Il. K. 437.)

ἐλαφρότατος πετεηνῶν. (Il. X. 139.)

οὐχ ὅταν δὲ συντάσσηται γενικῇ ἔσται φυσικὴ ἡ ἐπίτασις, ἢ

[a] MS. τὴν ου δίφθογγον.

ἡ σύγκρισις· ἀλλ' ὅτε μὲν συντάσσεται γενικῇ, καὶ ἡ συγκρινομένη γενικὴ ἐπιδεκτικὴ ἐστὶ τοῦ ἐπιθετικοῦ, τότε καὶ ἡ σύγκρισις, καὶ ἡ ἐπίτασις, ἢ ἡ σύγκρισις· ἀλλ' ὅτε μὲν συντάσσεται γενικῇ, καὶ ἡ συγκρινομένη γενικὴ ἐπιδεκτικὴ ἐστὶ τοῦ ἐπιθετικοῦ, τότε καὶ ἡ σύγκρισις, καὶ ἡ ἐπίτασίς ἐστι φυσική· ὅτε δὲ ἡ γενικὴ συγκρινομένη μὴ ὑπάρχει δεκτικὴ τοῦ ἐπικειμένου ἐπιθέτου, ἀντὶ ἁπλοῦ λαμβάνεται· οἷον,

ἔβλαψας μ' Ἑκάεργε θεῶν ὀλοώτατε πάντων. (Il. X. 15.)

ἡ μὲν σύνταξις ἐνταῦθα πρὸς γενικήν· οὐκ ἔστιν δὲ ἐπίτασις, ἀλλ' ἔστιν ἀντὶ ἁπλοῦ τοῦ ὀλόε· εἰ γὰρ πάντες οἱ θεοὶ ὀλοοὶ, ἐπίτασις ἂν εἴη τοῦ προκειμένου· εἰ δὲ μὴ ἀντὶ τοῦ ὀλόε· καὶ ἐπὶ τοῦ,

δικαιότατος Κενταύρων. (Il. Λ. 831.)

εἰ μὲν πάντες δίκαιοι, καθ' ὧν ἡ ἐπίτασις, φυσικὸν τὸ ὑπερθετικόν· εἰ δὲ οὐ μετειλήφασι τοῦ ἐπικειμένου ἐπιθετικοῦ, οὐ φυσικὸν τὸ ὑπερθετικόν· οὕτως τὸ,

μελάντερον ἠΰτε πίσσα. (Il. Δ. 277.)

οὐ συγκρίνεται ὅτι μὴ γενικῇ συντέτακται· εἰ δὲ μελάντερον πίσσης συγκριτικόν ἐστιν· ἡνίκα δὲ κοινὴ ἡ συλλαβὴ, διφορεῖται ἡ γραφή· ἐνταῦθα οὖν κοινὴ ἡ μα· δύναται, καὶ διὰ τοῦ ω ἐὰν βραχεῖα χρήσηται, καὶ διὰ τοῦ ο ἐὰν μακρᾷ· μακρότατος[b] ἐλαφρότατος[c], ὁμοίως τὸ ἐρυθρότατος παρὰ Σώφρονι μακρᾷ χρησαμένῳ τῷ ρυ, καὶ λαρώτατος παρὰ τῷ ποιητῇ διὰ τοῦ ω, ἐκταθέντος τοῦ ω· παρὰ δὲ ἄλλοις διὰ τοῦ ο συσταλέντος· ἐὰν οὖν μακρὰ ἦν ἡ παραλήγουσα, τὸ ο μένει· ἀρχαῖος ἀρχαιότερος· δῆμος, δημότερος· πρόχειρος προχειρότερος· ἐὰν δὲ βραχεῖα διὰ τοῦ ω μεγάλου· στερεὸς στερεώτερος· καὶ οἱ Αἰολεῖς βεβαώτερος λέγουσι διὰ τοῦ ω, καὶ βιβαώτερος· τὸ βεβαιότερος, ὥσπερ ἀφνειὸς ἀφνειότερος· ἀφνεὸς δὲ ἀφνεώτερος· καὶ θεῖος θειότερος· θεώτερος δὲ, ὅθεν τὸ ὀϊζυρώτατος διὰ τοῦ ω ἔκτασιν πεποίηται· ἀντιπίπτει δύο τὸ στενὸς καὶ κενός· στενότερος γὰρ καὶ κενότερος.

ώ τ ο ώ τ
[b] Cod. μακροτα. [c] ἐλαφροτ.

Μῆλα: (Il. Δ. 279.) Οἱ μὲν παρὰ τὸ μηκᾶσθαι· ἄλλοι δὲ παρὰ τὸ μηλώδη καρπὸν ἐπινέμεσθαι· οἱ δὲ παρὰ τὸ μαλλόν· κακῶς· ἀπὸ τοῦ μήλου γὰρ μᾶλλον ὁ μαλλὸς εἴρηται· βέλτιον οὖν λέγειν παρὰ τὸ μέλλω, μέλον καὶ μῆλον· ἐπιμελείας γὰρ μᾶλλον ἠξιοῦντο· ὡς γὰρ ἀπὸ τοῦ ὄζω, ὄδον, καὶ πλεονασμῷ τοῦ ρω ῥόδον· καὶ κρύω κρύον, οὕτως παρὰ τὸ μέλον ἐκτάσει τοῦ ε εἰς ἦτα μῆλον.

Μεμηλώς: (Il. Ε. 706.) Μέλω ὁ παρακείμενος μεμέληκα· ὑφαιρέσει τοῦ κ οἱ μέσοι γίνονται· δεδούπηκα, δέδουπα· ἐκτύπηκα ἔκτυπα· οὕτως μεμέληκα μέμελα, καὶ ἐκτάσει μέμηλα·

ᾧ λαοί τ' ἐπιτετράφαται, καὶ τόσσα μέμηλε. (Il. Β. 25.)

γίνεται γὰρ τροπὴ τοῦ ε εἰς η, ὡς ἐπύω ἠπύει· καὶ δέω δέμος τὸ συνδεδεμένον (τὸ γοῦν ἐναντίον λύη) πλῆθος, καὶ ἐκτάσει δῆμος.

Μή:

δείδω μὴ τὸ χθιζὸν ἀποστήσονται Ἀχαιοὶ
χρεῖος. (Il. Ν. 745.)

ἐπίρρημα ἐνταῦθα διστακτικόν· σημαίνει δὲ καὶ ἀπαγόρευσιν· ἀλλ' ὅτε μὲν προστακτικῷ συντάσσεται ἀπαγόρευσιν δηλοῖ· ὅτε δὲ ὑποτακτικῷ, δισταγμόν· ἔχει δὲ ἡ μὴ ταῦτα ἐξαίρετα· τοῦ γὰρ ἔτι ἐπιφερομένου ἐν ἀπαγορεύσει προσλαμβάνει τὸ κ· "μήκετ' ἔλθῃς" ἐν δὲ δισταγμῷ οὐδαμῶς· ἀλλ' οὔτε ὁριστικοῖς θέλει συντάσσεσθαι, σεσημειωμένου τοῦ,

μὴ δι' ἐμὴν ἰότητα. (Il. Ο. 41.)

ὁ καὶ ἀντὶ τῆς οὐ ἀρνήσεως ἐξεδεξάμεθα,

οὐ δι' ἐμὴν ἰότητα.

Μέτασσαι: (Od. Ι. 221.) Ὥσπερ παρὰ τὴν ἐπὶ γίνεται ἔπισσα, σημαίνει δὲ τὴν νεωτάτην τὴν ἐπὶ πᾶσι γεγενημένην· οἷον,

Μνημοσύνης ἡ δωδεγόνου χαρίεντος ἔπισσα·

οὕτως καὶ παρὰ τὴν μετὰ μέτασσα·

χωρὶς δὲ μέτασαι. (Od. Ι. 221.)

παραιτητέον γὰρ τοὺς ἡγουμένους ὅτι ἐστὶ μεσσάται· ἐλέγχονται γὰρ ὅτι ἦν παρὰ τὴν μετὰ, ἐπεὶ καὶ παρὰ τὴν ἐπὶ τὸ ἔπισ-

σα· ἀλλὰ καὶ ὁ ἐπὶ συνδεσμὸς συντίθεται ἐκ τῆς ἐπὶ, καὶ τοῦ ει· καὶ ἐξαίρετός ἐστιν ἡ σύνθεσις· οὐδέποτε γὰρ πρόθεσις μετὰ συνδέσμου συντίθεται· καὶ ἐνταῦθα πάλιν ἐξαίρετος σύνθεσις τῆς ἐπὶ, ἐν τῷ ἐπέκεινα, καὶ ἔπειτα· καὶ γὰρ καὶ τοῦτο συνετέθη παρὰ τὸ εἶτα, καὶ τὴν ἐπὶ πρόθεσιν· καὶ διὰ τοῦτο ἡ σύνθεσις μετεποίησε τὸν μερισμόν· τὴν γὰρ ἀντωνυμίαν μετέστησεν εἰς ἐπίῤῥημα.

Μακρός: (Il. Λ. 402.) Ὄνομα ἐπιθετικὸν παρώνυμον παρὰ τὸ μῆκος μακερὸς, καὶ ἐν συγκοπῇ μακρός· τὰ δὲ εἰς ρος ἐπιθετικὰ μετ' ἐπιπλοκῆς τοῦ κ ὀξύνεται· λευκρὸς ὁ φαλακρὸς παρὰ Σαλαμινίοις· πικρός· νεκρός· μακρός· ἀντιπίπτει τὸ ἄκρος, διὰ τὸ ἀπὸ φωνήεντος ἄρχεσθαι· τῶν ἄλλων ἀπὸ συμφώνου ἀρχομένων· ὡς καὶ τὰ εἰς μος λήγοντα δισύλλαβα τῇ ορ συλλαβῇ παραληγόμενα ὀξύνονται· τορμός· κορμός· φορμός· μόνον τὸ ὅρμος βαρύνεται· μόνον γὰρ ἀπὸ φωνήεντος ἄρχεται.

Μακών:

κάδδ' ἔπεσεν κονίῃσι μακών. (Il. Π. 469.)

σημειωτέον ὅτι δεύτερος ἀόριστος ἀπὸ δευτέρας συζυγίας τῶν περισπωμένων· σπάνιοι γὰρ οἱ δεύτεροι ἀόριστοι ἀπὸ δευτέρας συζυγίας τῶν περισπωμένων· ὥσπερ ἔχει καὶ τὸ,

αὐτόμαται δὲ πύλαι μύκον[d] οὐρανοῦ. (Il. Ε. 749.)

ἀπὸ τοῦ μυκῶ μυκᾷς μυκᾷ· ὁ β' ἀόριστος ἔμυκον· ὅμοιον καὶ τὸ,

λάκε δ' ὀστέα. (Il. Ν. 616.)

παρὰ φύσιν δ' ἐπηκολούθησε, καὶ συστολῇ μυκῶ μακὼν, ὅπερ φιλεῖ μᾶλλον ἀπὸ βαρυτόνων δευτέρων ἀορίστων γίνεσθαι· λείπω ἔλιπον· τρίβω ἔτριβον· ἀπὸ μέντοι τῶν περισπωμένων οὐκ ἀναγκαία ἡ συστολή· ἁμαρτῶ ἥμαρτον· χραισμῶ ἔχραισμον· τὸ δὲ ἄντετο, καὶ ἤντετο, ἀπὸ βαρυτόνου τοῦ ἀντῶ· τὸ δὲ ἀντήσω, ἀπὸ τοῦ ἀντῶ περισπωμένου· πόθεν δὲ δῆλον ὅτι δεύτερος ἀόριστος ὁ μακών; αἱ εἰς ων λήγουσαι ὀξύτονοι μετοχαὶ δευτέρου εἰσὶν ἀορίστου, σεσημειωμένων δ'· ἰών· κιών· ἐών· αὗται γὰρ

[d] Cod. μύκων.

ἐνεστῶτος εἰσί· σημειώδης καὶ πέφνων[c] βαρυτονηθεῖσα ὡς ἐν τῷ,

χερείονά περ καταπέφνων. (Il. P. 539.)

Μάχη: (Il. A. 521.) Ἔστι βαρύτονον μάχω, ἀφ' οὗ τὸ μάχομαι· ἔστι δὲ καὶ μαχῶ· ἀφ' οὗ τὸ μαχεούμενος, ὅπερ μετὰ τὴν διαίρεσιν ἐξαίρετον πάθος ἀνεδέξατο τὸν πλεονασμόν· ἀπὸ τοῦ μαχῶ μαχησόμενος,

μὴ ἴομεν[f] Δαναοῖσι μαχησόμενοι. (Il. M. 216.)

ἢ μαχειόμενοι· διάφορος γὰρ ἡ γραφή· ἀπὸ τούτου γὰρ τὸ μαχητὴς καὶ ἀμαχητὶ καὶ ἀμάχητον· παρὰ τὸ μαχῶ δὲ τὸ Μαχάων· συντίθεται δὲ ἡ ἐν τῇ Ἀνδρομάχῃ[g], καὶ ἐν τῇ εἰς ος καταλήξει Μενέμαχος· οἱ μὲν οὖν λέγουσι παρὰ τὸ ἄχομαι ἄχη, καὶ μαχή· ἄλλοι παρὰ τὸ ἄχος· πέφυκε δὲ τὸ μ πλεονάζειν, ὥσπερ καὶ τὸ μῶλος, παρὰ τὸ ἄμωλος· παρὰ τὸ ἅμα ὀλλῦναι;

Μῆνις: (Il. A. 1.) Ὄνομα προσηγορικὸν ῥηματικὸν παρὰ τὸ μένω, μένις καὶ μῆνις· ἡ ἐπίμονος ὀργή· παρὰ τὸ μένω δὲ γέγονε μένος, ἡ ψυχή· ἀΐδιος γάρ· καὶ μένος, ἡ προθυμία· ἀπὸ τοῦ μένω τὸ προθυμοῦμαι, ἀφ' οὗ καὶ τὸ

μέμονε δ' ὅ γε[h] ἶσα θεοῖσιν. (Il. Φ. 315.)

ἐκ δὲ τοῦ μέμονα, μέσου παρακειμένου, κατ' ἐπένθεσιν τοῦ ἰῶτα, καὶ μεταβολὴν τοῦ τέλους εἰς ω, καὶ ἐναλλαγὴν τῶν στοιχείων, μενοινῶ· καὶ

μενοινόω δὲ καὶ οἶος. (Il. N. 79.)

ἑτέρου ω πλεονάσαντος· μεταβάλλει δὲ τὸ τέλος εἰς ο Σικελικὸν, ὡς τὸ λήθω λέληθα, καὶ Ἰακῶς λέλαθα· ὡς μέμηκα μέμακα, καὶ μεμακυῖα· τοὺς[i] οὖν λέληθα παρακείμενον οὗτοι λελάθω λέγουσι, ὡς τὸ πεποίηκα πεποιήκω· ἀφ' οὗ καὶ τὸ

ἐκλέλαθον[k] κιθαριστύν. (Il. B. 600.)

καὶ ἀπὸ τοῦ βρώθω βέβρωθα, μεταβάλλοντες λέγουσι βεβρώθω· τὸ δὲ βρώθω ἀπὸ τοῦ βρῶ· ἐξ οὗ καὶ βρῶσις, καὶ βρωτύς· οὕτως καὶ ἀπὸ τοῦ μέμονα μενοινῶ, ὡς εἴρηται· τοῦτο δὲ

[c] Cod. ὑπέφνων. [f] Cod. ἴωμεν. [g] Cod. ἀνδρομάχω.
[h] Cod. δ' ὁ γέρων. [i] Leg. vid. ἀπὸ τοῦ. [k] Cod. ἐκλέλαθοντο.

φασὶν καὶ ἀπὸ τοῦ μένος γένεσθαι, μενονὴ, καὶ μενοινὴ, καὶ ἐξ αὐτοῦ μενοινῶ· παρὰ γοῦν τὸ μένω μένις, καὶ μῆνις, καὶ ἐκτάσει τοῦ ε εἰς η, ὡς ἕνος ἐνιαυτὸς, ἕνις, καὶ ἧνις ἥνιδος· καὶ ἡ αἰτιατικὴ τῶν πληθυντικῶν ἥνιδας, καὶ ἐκθλίψει τοῦ δ, καὶ κράσει τῶν φωνηέντων γέγονεν ἧνις·

ἧνις ἠκέστας. (Il. Z. 94.)

ἀπὸ τοῦ μένω μένιξ, καὶ μήνιγγες, οἱ συνέχοντες τὸν ἐγκέφαλον ὑμένες· παρὰ τὸ ἐν αὐταῖς μένειν· ἐκ τούτου καὶ μήνη, ἡ σελήνη κατ' εὐφημισμόν· ἡ ἀεὶ ἐν κινήσει οὖσα· ἢ μάνις τὶς οὖσα, παρὰ τὴν μανίαν· ἐοίκασι γὰρ τοῖς μαινομένοις οἱ ὀργιζόμενοι· κλίνεται δὲ μήνιδος· τὰ γὰρ εἰς νις μακρὰ παραληγόμενα διὰ τοῦ δος κλίνεται· ὄνωνις ὀνώνιδος, εἶδος ἀκάνθης· τὸ δὲ κόνις, καὶ ὕννις, καὶ σπάνις βραχὺ παραληκτοῦντα διὰ τοῦ ος ἐκλίθη· ἡμάρτηται τὸ ὄρνις· ἢ ὅτι εὕρηται καὶ ἀρσενικῶς ὁ ὄρνις, ἢ ὅτι τὰ εἰς ις λήγοντα, ἔχοντα πρὸ τοῦ ι δύο ἀμετάβολα, διὰ τοῦ θος κλίνεται· δέλλις δέλιθος, ἔστι δὲ ζῶον ὅμοιον μελίσσῃ· μέρμις μέρμιθος[1], τὸ λεπτὸν σχοινίον· ὁμοίως καὶ ὄρνις ὄρνιθος· πλὴν τοῦ Τράλλις Τράλλεως· ἰστέον δὲ ὅτι ἐπὶ τῶν εἰς ις βαρυτόνων, τῶν διὰ τοῦ δος κλινομένων, εἰς νυ μόνως ὀφείλει γένεσθαι ἡ αἰτία, εἰ μὴ κατὰ ποιητικὴν ἐξουσίαν ἢ διάλεκτον,

Ζεὺς δ' ἔριδα προΐαλλεν. (Il. Λ. 3.)

τὸ δὲ νις ι· ὅτι τὰ εἰς ις, εἴτε ἀρσενικὰ, εἴτε θηλυκὰ, εἴτε δικατάληκτα, εἴτε καὶ ἄλλως, εἴτε βαρύτονα, εἴτε μὴ, κοινολεκτούμενα ἀποστρέφονται τὴν ει δίφθογγον, εἰ μὴ ἔχει τὸ ε ἐν τῇ γενικῇ· ὡς χαρίεις χαρίεντος· καὶ εἷς ἑνός· πλὴν τοῦ κλεὶς, καὶ τὰ παρ' αὐτὸ κατάκλεις, καὶ ἀντίῤῥεις[m], ὃ λέγεται πτᾶν[n] εἰς ὃ ἐπερείδεταί τις· ἀλλὰ τοῦτο κατὰ τὴν εὐθείαν τηρεῖ τὴν δίφθογγον, τὴν δὲ κλίσιν ὡς ἀπὸ ὀξυτόνου εὐθείας, συνεσταλμένου τοῦ ι, ἐποίησεν, ἀντηρίδος γάρ.

Μυρία: (Il. A. 2.) Ἐκ τοῦ μύριος μυρία· σημαίνει τὸ μὴ

[1] μέρμις. μέρμιθο. (corr. ηρ, ήρινθο)   [m] Leg. ἀντήρεις.   [n] Leg. vid. ἀπᾶν.

δυνάμενον ὁρισμῷ καθυποβληθῆναι, ἀντὶ τοῦ πολλά· καὶ παροξύνεται ὅτε δηλοῖ τὸν ὡρισμένον ἀριθμόν· τινὲς δὲ λέγουσι ἀντὶ τοῦ θρηνητικὰ, παρὰ τὸ μύρεσθαι· τὸ μυ ψιλόν· πᾶς ἀριθμὸς ἐν τῇ ἀρχούσῃ κατὰ τὴν φωνὴν συνεμπίπτων ὀνόματι στοιχείου, καὶ τὴν αὐτὴν γραφὴν φυλάττει· ὁμοίως καὶ τὸ χίλιοι κατὰ τὴν ἀρχὴν συνεμπίπτει τῷ[o] χι στοιχείῳ, καὶ γράφεται διὰ τοῦ ι· δι' αἰτίαν τοιαύτην· πᾶν ὄνομα στοιχείου εἰς ι καταλῆγον οὐκ ἔχει αὐτὸ ἐν διφθόγγῳ· οἷον· πι· ξι· φι· οὕτως οὖν καὶ χι· σεσημείωται τὸ ει, τοῦτο γὰρ ἔχει τὸ ι ἐν διφθόγγῳ δι' αἰτίαν τοιαύτην· τὰ ὀνόματα τῶν στοιχείων ἀφ' ἑαυτῶν θέλουσιν ἄρχεσθαι· οἷον, ἄλφα· βῆτα· καὶ τὰ ἑξῆς· τούτου γοῦν χάριν διὰ τῆς ει διφθόγγου γέγονεν, ἵνα εὑρεθῇ ἀρχόμενον ἀφ' ἑαυτοῦ, ἤγουν ἀπὸ τοῦ ε.

ΜΈΝ: Ζητητέον ποῖον ἐστὶ πρότερον ὁ μὲν, ἢ ὁ ἠμέν· ἆρα ὁ μὲν κατὰ ἀφαίρεσιν τοῦ η ἀπὸ τοῦ ἠμὲν[p] κατὰ πλεονασμὸν ἀπὸ τοῦ μέν; καὶ λέγομεν οὐκ ἔστι πλεονασμὸς ἀπὸ τοῦ μέν· οἱ γὰρ πλεονασμοὶ οὐ παραλλάσσουσι τὰ σημαινόμενα μετὰ τὸν πλεονασμόν· οἷον, ὑπὲρ ὑπείρ· ὁ δὲ ἠμὲν παρὰ τῷ ποιητῇ ἀντὶ διαζευκτικοῦ τίθεται· θέμα ἄρα ἑκάτερον, καὶ φυσικὴ τοῦ μὲν ἡ μονοσυλλαβία, τοῦ δὲ καὶ δισυλλαβία.

Μοι:

οἴτε μοι αἰεί.

ἐνεκλίθη ἐπεὶ οὐκ ἔχει διαστολὴν πρὸς ἕτερον πρόσωπον· τὸ γὰρ ε τοῦ συνδέσμου ἐστὶν, οὐ τῆς ἀντωνυμίας· οὐ γὰρ ἀντιδιαστέλλει· ἔστι δὲ ἡ μοὶ ἀντωνυμία πρωτότυπος ἑνική· ἀπαρέμφατος τοῦ γένους διὰ τῆς φωνῆς, νῦν δὲ ἀρσενικὴ καὶ ἐγκλιτική· ἀλλ' ἐπὶ τοῦ,

ὄφρα δέ μοι ζώῃ. (Il. Σ. 61.)

ἐγκλιτικὴ μὲν ὁμοίως, οὐκ ἔτι δὲ ἀρσενική. χρῆται αὐτῇ τριχῶς ὁ ποιητής· ἐμοὶ, καὶ μοὶ, καὶ ἔμοιγε· τῆς τρίτης ὀξυνομένης, ἵν' ᾖ ὡς καὶ ἐπὶ τοῦ ἔγωγε· ἐπεὶ γὰρ ὅτε σύνδεσμος φυλακτικός ἐστι τῆς ὀξείας τῆς προκειμένης λέξεως· οἷον, “ κα-

[o] Cod. τό. [p] Leg. ἢ κατὰ πλ.

λός γε· σεμνός γε." κατὰ τοῦτο ταύτας προπαροξυντονητέον τὰς ἀντωνυμίας ὑπὲρ τοῦ μηκέτι τὸν γὲ νοηθῆναι σύνδεσμον· τοιγαροῦν ἡ σύγε καὶ σοίγε ἀμφίβολος, οὐκέτι δυνάμεναι διὰ τῆς ἀναδρομῆς τοῦ τόνου πιστώσασθαι τὴν ἕνωσιν· εἴτε γὰρ ἓν μέρος λόγου, εἴτε δύο, ὁ αὐτὸς τόνος μένει· ἔστι δὲ ἡ ἔμοιγε Ἀττικῆς· ἡ ἐμὶν Δωριέων· ἡ ἐμίνγα Ταραντίνων.

Μακρός: Ὄνομα ἐπιθετικὸν παρώνυμον· παρὰ τὸ μῆκος μακερὸς, καὶ ἐν συγκοπῇ μακρός· τὰ εἰς ρος ἐπιθετικὰ μετ' ἐπιπλοκῆς τῆς κ ὀξύνεται· λευκρὸς, ὁ φαλακρὸς παρὰ Σαλαμινίοις· πικρός· νεκρός· μακρός· ἀντιπίπτει τὸ ἄκρος διὰ τὸ ἀπὸ φωνήεντος ἄρχεσθαι· τῶν ἄλλων ἀπὸ συμφώνων ἀρχομένων, ὡς καὶ τὰ εἰς μος λήγοντα δισύλλαβα τῇ ορ συλλαβῇ παραληγόμενα ὀξύνονται· τορμός· κορμός· φορμός· μόνον τὸ ὅρμος βαρύνεται· μόνον γὰρ ἀπὸ φωνήεντος ἄρχεται.

Μέλεα: (Il. P. 211.) Μύρσιλος τὰς ἐν Λέσβῳ γενομένας ἑπτὰ παρθένους μούσας ἐπὶ τὰ πένθη φοιτᾶν καὶ θρηνεῖν· ὅθεν ἐπεκράτησε τὰ ᾀδόμενα μέλεα κληθῆναι· οἱ δὲ ἀπὸ τῆς μελιγήρυος· Πίνδαρος,

μελισσοτεύκτων κηρίων ἐμὰ γλυκερώτερος ὀμφά[q].

ἢ ὅτι τὸ μέλος ἑκάστου μεμέληται, ὅ ἐστι μετὰ φροντίδος σκευάζεται.

Μήνη: (Il. T. 374.) Οἱονεὶ μηνιαία· θέλουσιν οὖν εἶναι αὐτὴν ἀπὸ τοῦ μινύθειν καὶ ἐλαττοῦν· οὐκ ἔστι δὲ, ἀλλ' ἀπὸ τῆς εἰς πτωματιζομένους ὀργῆς· αὐτῇ γὰρ τὸ πάθος ἀνάπτουσιν, ὅθεν καὶ μῆνις, ἡ ὀργὴ ἀπὸ τοῦ πάθους.

Μοῦσας: (Il. B. 484.) Ἢ ὅτι λέγουσι Μυσὰς αὐτὰς εἶναι τῷ γένει· οἱονεὶ Μυσαὶ οὖσαι· Ἀριστοτέλης δὲ διὰ τὸ φιλαδέλφους εἶναι· μοῦσαι· οἱονεὶ ὁμοῦ οὖσαι· ἢ ὁμοῦ σοοῦσαι· οἷον, ὁρμῶσαι· ὁ δὲ Πλάτων ἀπὸ τοῦ μᾶσθαι ὅ ἐστι ζητεῖν· τάχα οὖν ἐπειδὴ τὰ μαθήματα ζητῆται· ἢ αἱ μυοῦσαι, ὅ ἐστι μύειν ποιοῦσαι· τὰ γὰρ μαθήματα μυστηρίων τόπον ἐπέχει· ὁ

[q] Id. Frag. sed valde corruptum exhibet, tacitoque poetæ nomine Etym. M. (p. 577, 18.) vid. Schneid. Frag. Pind. 129.

δὲ Πύκτης[r] καὶ τὰ μαθήματα αὐτῶν διεῖλεν εἰς θεωρήματα, καὶ φησὶ "Καλλιόπην μὲν καὶ Κλειὼ φιλοσόφων καὶ ῥητόρων· Εὐτέρπην δὲ καὶ Θάλειαν μουσικῶν· Πολυμνείαν δὲ τῶν ᾠδικῶν· Τερψιχόρην δὲ τῶν χορευτῶν· Ἐρατὼ δὲ ἐρωτικῶν· Μελπομένην δὲ ποιητῶν· Οὐρανίαν ἀστρονομίας."

Μεσάγκυλος: Ὁ κατὰ τὸ μέσον ἀγκύλος· τὰ εἰς ος πρὸ μιᾶς ἔχοντα τὸν τόνον, ἀναβιβάζουσιν αὐτὸν, τὸν ἐν τῇ συνθέσει· οἷον, πλησίος παραπλήσιος· ἀγκύλος μεσάγκυλος· ὁ κατὰ τὸ μέσον ἄγκυλος, ἤγουν ἐπικαμπής· φίλος ἄφιλος· ξεῖνος εὔξεινος· οἶκος πάροικος· δοῦλος σύνδουλος· χωρὶς τοῦ ἀντίος ἐναντίος· ἐνταῦθα γὰρ ἐφυλάχθη ὁ αὐτὸς τόνος, ὅτι οὐδὲν πλέον σημαίνει ἡ σύνθεσις· τὸ γὰρ ἱπποβουκόλος, καὶ τὸ κορυθαιόλος, οὐκ εἰσὶν ἀπὸ τοῦ βουκόλος, καὶ αἰόλος, ἀλλ' ἀπὸ τοῦ βουκολῶ, καὶ αἰόλλω ῥήματος, καὶ τὸ οἰκονόμος δὲ οὐκ ἔστιν δὲ ἀπὸ τοῦ νόμος, ἀλλὰ παρὰ τὸ νέμω, τὸ διοικῶ· ὡς καὶ παρὰ τὸ λέγω, αἰσχρολόγος, καὶ νέμω κληρονόμος.

Μετέβαλλον: Ἰστέον ὅτι τὰ ἀπὸ προθέσεως ἀρχόμενα ῥήματα, εἰ μὲν ἀλλοιοῦσι τὸ σημαινόμενον, ταῦτα ποιοῦσι τὴν κλίσιν ἔσωθεν· οἷον, πλέκω, καταπλέκω, κατέπλεκον· βάλλω, μεταβάλλω, μετέβαλλον· λέγω, διαλέγομαι, διελεγόμην· εἰ δὲ φυλάσσουσι τὴν αὐτὴν σημασίαν μετὰ τὴν πρόθεσιν, ταῦτα τὴν κλίσιν ἔξωθεν ποιοῦνται, ὡς οὐδέν τι τὸ ῥῆμα παθόν· οἷον, εὕδω, καθεύδω ἐκάθευδον· μύω, καμμύω ἐκάμμυον· ἔπω, ἐνέπω ἤνεπον· ἕζω, καθέζομαι ἐκαθεζόμην· ὀχλῶ, ἐνοχλῶ ἠνώχλουν· τὸ δὲ δὺς μόριον ἐν ῥήμασι κατ' ἀρχὴν τιθέμενον ἀεὶ ἔσωθεν τὴν κλίσιν ποιεῖ· οἷον, δυσφέρω[s] δυσέφερον· δυσπνέω δυσέπνεον.

Μεμηλώς: (Il. E. 709.) Ὡς δουπῶ, δουπήσω, δεδούπηκα, δέδουπα, μέσον παρακείμενον· καὶ κτυπῶ, κτυπήσω, ἔκτυπον,

μέγα δ' ἔκτυπε μητίετα Ζεύς. (Il. O. 377.)

οὕτως καὶ μελῶ, μελήσω, μεμέληκα, μέμηλα· καὶ γὰρ ἀπὸ περι-

[r] Hic scriptor videtur idem esse ac Picton laudatus a Plinio, cujus plerique codices (XXIX. 6.) scriptum habent "Pycten."

[s] Cod. διαφέρω.

σπωμένου τὴν κλίσιν ἔχει· ἰστέον δὲ ὅτι πᾶς μέσος παρακείμενος ὑπερβαίνειν θέλει τὴν δισυλλαβίαν, σεσημειωμένων τριῶν· οἶδα·

οἶδ' ἐπιδέξια, οἶδ' ἐπ' ἀριστερά. (Il. H. 238.)

καὶ εἶκα, ὃ σημαίνει τὸ ὁμοιῶ,

οἶκας μὲν ὡραίῳ λίνῳ.

παρὰ Ἀλκμᾶνι[t]· καὶ εἶα, ὅπερ ἐν διαλύσει ἔϊα, καὶ ἐπαυξήσει,

ἤϊα πολλὰ θεοὺς γουνούμενος. (Od. Δ. 433.)

Μέμυκε[u]:

μέμυκε δὲ γαῖα καὶ ὕλη[x].

εἰ μὲν σημαίνει τὸ μυκηθμὸν καὶ ἦχος ἀποτελεῖν, ἀπὸ τοῦ μυκῶ περισπωμένου γίνεται· οὗ ὁ μέλλων μυκήσω, μεμύκηκα, καὶ ὁ μέσος παρακείμενος μέμυκα· εἰ δὲ τὸ συνεφίχθαι καὶ πεπιλῆσθαι ἀπὸ τοῦ κρύους δηλοῖ, ἀπὸ τοῦ μύκω ἐστὶ βαρυτόνου, οὗ ὁ ἐνεργητικὸς παρακείμενος μέμυκα.

Μυστίλω: Διὰ τοῦ η ἐπὶ τοῦ μέλλοντος· τὰ γὰρ ἔχοντα τὸ λ ὑπὲρ μίαν συλλαβὴν παραλήγοντος τοῦ ε, διὰ τοῦ α ἐκφέρονται κατὰ τὸν μέλλοντα· οἷον, γελάω γελάσω· ἐλῶ ἐλάσω· τὰ δὲ ἔχοντα λοιπὸν, ἢ μόνον, ἢ μετὰ συμφώνου, εἴτε κατὰ σύλληψιν, εἴτε κατὰ διάστασιν, διὰ τοῦ η ἐκφέρονται κατὰ τὸν μέλλοντα· οἷον, συλῶ συλήσω· κραιπαλῶ, κραιπαλᾶς, κραιπαλήσω· χολῶ, χολᾶς, χολήσω· ἀσχολῶ καὶ ἀσχολήσω· μελαγχολῶ, μελαγχολᾶς, μελαγχολήσω· παμφαλῶ, παμφαλᾶς, παμφαλήσω· κολλῶ, κολλᾶς, κολλήσω· σημειούμεθα τὸ χαλῶ, χαλᾶς, χαλάσω· καὶ ἱλῶ, ἱλᾶς, ἱλάσω· Ὅμηρος·

αἴκεν πως ἱλασάμενοι πεπίθοιμεν. (Il. A. 100.)

μυστίλω δὲ σημαίνει τὸ μυοῦμαι· μυστίλη γάρ ἐστιν εἶδος ἄρτου κοίλου, εἰς ὃ ἐῤῥόφουν ζωμὸν οἱ Ἀθηναῖοι ἐν ἑορτῇ.

Μεμετρέαται: Τοῦτο Ἰωνικόν ἐστιν, ὡς γὰρ νενόηνται νενόαται, καὶ περιποίηνται περιποιέαται, οὕτως καὶ μεμέτρηνται μεμετρέαται παρὰ τῷ Ἑκαταίῳ[y],

ὁ μὲν οὖν Βόσπορος, καὶ ὁ Πόντος οὕτω, καὶ ὁ Ἑλλήσποντος κατὰ ταῦτά μοι μεμετρέαται.

t Citat et Chœrobosc. Bekker. p. 1294, 6. tacito quidem poetæ nomine, sed nominato in Ind. v. Οἶκας. u Cod. μέμηκε, ut et in proximo loco. x Hesiod. Op. II. 126. y Sed hæc fere habet Herod. IV. 86. num ille ex Hecatæo?

καὶ παρ' Ἱππώνακτι·

οἱ δέ μευ ὀδόντες ἐν τοῖσι γνάθοισι κεκινέαται.

καὶ Ἀνακρέων,

αἱ δέ μευ φρενὲς ἐκκεκωφέαται.

καὶ τὸ περιβεβλέαται [y].

Μηδαμινός: Δεῖ γινώσκειν ὅτι εἰσί τινα ἀπὸ τῆς οὐ ἀποφάσεως, καὶ τῆς μὴ ἀπαγορεύσεως, ἅτινα οὐκ εἰσὶ κοινὰ τῷ γένει, ἀλλ' εἰς η ἔχουσι τὸ θηλυκόν· οἷον, μηδαμινὸς μηδαμινή· οὐτιδανὸς οὐτιδανή· τοῦτο δέ ἐστι λέγειν ὅτι παρασύνθετά εἰσι· καὶ τὸ μὲν μηδαμινὸν ἀπὸ τοῦ μηδαμῶς ἐπιῤῥήματος γέγονε, τοῦ ὄντος ἀπὸ τοῦ μηδαμῶς ὀνόματος, τοῦ συγκειμένου ἀπὸ τῆς μὴ ἀπαγορεύσεως, καὶ τοῦ δαμῶς, τοῦ ἰσοδυναμοῦντος τῷ τίς· τὸ δὲ οὐτιδανὸς, ἀπὸ τοῦ οὔτις, τοῦ συγκειμένου ἀπὸ τῆς οὐ ἀποφάσεως, καὶ τοῦ τίς.

Μώνυχες: (Il. E. 236.) Τὸ μω μέγα· ἀπὸ γὰρ τοῦ μονώνυχες συγκέκοπται· ὑφαιρέσει τοῦ ον, μώνυχες, ὡς ὄνομα συνώνυμον· μετὰ δὲ τὴν ὕφεσιν τοῦ νυ γίνεται τῶν δύο οο εἰς τὴν ου δίφθογγον κρᾶσις, ὡς βοοῦν βῶν· καὶ γίνεται μονώνυχες· δύναται δὲ ἐν τῇ συνθέσει τοῦ ὄνυχες εἰς τὸ ω ἐκτετάσθαι μονώνυχες [z], ὡς ὄνομα συνώνυμον· μετὰ δὲ τὴν ὕφεσιν τοῦ ν, τὸ ο καὶ τὸ ω εἰς τὸ ω συναιρεῖσθαι, ὡς χρυσόω χρυσῶ, καὶ * * *

Μανία: Μανὸν τὸ ἀραιόν· ὡς Αἰσχύλος·

ἐν μανοστήμοις πέπλοις.

μανίαν οὖν τὴν ἀραίωσιν καὶ χαυνότητα τῶν φρενῶν· ἀραιὸν γὰρ τὸ ἀσθενές· τοὐναντίον γὰρ ἀχίνους [a] παρὰ τὸ πυκνὰς καὶ συνεχεῖς τὰς φρένας ἔχειν· καὶ πινυτός· καὶ αὐτὴ ἡ σύνεσις, οἱονεὶ σύμβλησις καὶ ἕνωσις φρενῶν.

Μετέωρος: Παρὰ τὸ ἀείρω ὄνομα ῥηματικὸν ἄειρος, καὶ οἱ Δωριεῖς τὴν ει δίφθογγον τρέπουσιν εἰς η· τὸ γὰρ πλείων πλήων λέγουσι, καὶ τὸ μείων μήων, οὕτως καὶ ἄειρος ἄηρος· καὶ πάλιν οὗτοι τροπὴν τοῦ α δεικνύουσι εἰς τὸ ε, ὡς καὶ τὸ ε εἰς α,

y Hæc confusa sunt apud Etym. M. p. 578, 42. qui et Hipponactis loco caret, Anacreontis vero laudat tacito nomine v. Ἐκκεκωφέαται (ω above), p. 322, 20. z Cod μονονυχες. a Leg. ἀγχίνους.

Ἄρτεμις Ἄρταμις, καὶ γίνεται ἔηρος, καὶ μετὰ τῆς μετὰ προθέσεως, καὶ τοῦ μακροῦ εἰς μακρὸν τραπέντος, μετέωρος· ὃ εἰς ὕψος αἰρόμενον· ἐκ τοῦ ἀείρω ἀερέθω κατὰ παραγωγὴν, ἠερεθόμην· ἐξ οὗ καὶ τὸ ἠερέθοντο· ἐτυμολογεῖται παρὰ τὸ ἐν ἀέρι θέειν.

τέλος τοῦ μῦ στοιχείου.

ΑΡΧΗ ΤΟΥ ΝΥ.

Νήστιες: (Od. Σ. 369.) Ἀρσενικὸν παρώνυμον ἀπὸ τοῦ νῆστις· τοῦτο δὲ παρὰ τὸ νη καὶ τὸ ἔδω, ὡς ψεύδω ψεύστης· ἔδω ἔστης, καὶ κατὰ στέρησιν νῆστις, ὡς ἔγρετος νήγρετος· ἐλεῶ νηλής· ἐκ τοῦ ε ἡ σύνθεσις· οἱ δὲ Ἀττικοὶ καὶ τὸ α προφέρουσιν ἄνηστις· καὶ ἤτοι ἡ ἀνά ἐστι στέρησις, ὡς ἐν τῷ ἀναίσχυντος· ἀναιδής· ἢ πλεονασμῷ τοῦ α· ὁ μὲν οὖν ποιητὴς ἀνεὺ τοῦ δ τὴν κλῖσιν ποιεῖται· Ἀττικοὶ δὲ μετὰ τοῦ δ· νήστιδος.

Νηπιάας: (Od. A. 297.) Ἔστι τι νήπιος νηπιεία καὶ Ἰωνικῶς,

ἐν νηπιέῃ ἀλεγεινῇ. (Il. I. 487.)

καὶ ἦν μὲν τὸ ἀκόλουθον,

νηπιέας ὀχέειν. (Od. A. 297.)

ἀλλ᾽ ἤτοι ἀντίθεσίς ἐστι τοῦ ε εἰς τὸ α, ἢ νηπίας ἐστὶν ἵνα λείπῃ φρένας, καὶ ἐν πλεονασμῷ τοῦ α νηπιάας.

Νεικέσω: (Il. K. 115.)

ἀλλὰ φίλον περ᾽ ἔοντα καὶ αἰδοῖον Μενέλαον[b]
νεικέσω.

Ἰστέον δὲ καὶ ὅτι ἡνίκα ὁ ἐνεστὼς τῆς πρώτης συζυγίας τῶν περισπωμένων μακρᾷ παραλήγεται τότε ὁ μέλλων διὰ τοῦ η ἐκφέρεται· οἷον οἰκῶ οἰκήσω· ποιῶ ποιήσω· σημειούμεθα τὸ ἀρκῶ ἀρκέσω, καὶ νεικῶ νεικέσω· ἀλλὰ τοῦτο σημειοῦται ἐπειδὴ ἐστὶ καὶ νικῶ, διὰ τοῦ ἰῶτα μακροῦ, καὶ νεικῶ διὰ τῆς ει διφθόγγου· ἀλλὰ τὸ μὲν σημαίνει τὴν νίκην, τὸ δὲ τὴν φιλονεικίαν

[b] Cod. νικόλαον.

τούτου χάριν καὶ τὴν συζυγίαν τὴν διάφορον ἔσχον· τὸ μὲν γὰρ πρώτης ἐστὶ συζυγίας, τὸ διὰ τῆς ει διφθόγγου· Ὅμηρος·

ἡ δὲ καὶ αὔτως μ' ἀεὶ ἐν ἀθανάτοισι θεοῖσι
νεικέει· (Il. A. 521.)

τὸ δὲ δευτέρας· καὶ ἐπὶ διάφορον ἔσχον, καὶ τὴν σημασίαν, καὶ τὴν συζυγίαν, τούτου χάριν, καὶ κατὰ τὸν ἐνεστῶτα διάφορον ἔσχον τὴν παραλήγουσαν, καὶ κατὰ τὸν μέλλοντα.

Νεῖ: Σημαίνει τὸ νήθει,

τῇ γάρ τοι νεῖ νήματ' ἀερσιπότητος ἀράχνης·

Ἡσίοδος[b]· τοῦτο ἐκ τοῦ νήθει ἐκκέκοπται· ἢ ἐκ τοῦ νῶ· ἀλλ' οὐκ ἔστιν ἐν χρήσει τὸ νῶ· τὸ δὲ νεῖν, τὸ ἐπὶ τοῦ νήχεσθαι, ἀπὸ τοῦ νέειν ἐστὶ συνῃρημένον· Ὅμηρος,

αὐτὰρ χείρεσσι νέων ἐπεμαίετο νόστου. (Od. E. 344.)

καὶ πάλιν,

ἀλλ' ὅτε δὴ ποταμοῖο κατὰ στόμα καλλιρόοιο
ἷξε νέων. (Od. E. 441.)

οὐ συναιρεῖται δὲ κατὰ τὸ πρῶτον, ὡς οὐ δὲ τὸ ῥέω.

Νέρθεν: (Il. Λ. 535.) Ἔρα ἐστὶν ἡ γῆ ἐνέρων·

ἄναξ ἐνέρων Ἀϊδωνεύς. (Il. Υ. 61.)

ἐνέροθεν· καὶ ἐν συγκοπῇ ἔνερθεν· καὶ

ὑπένερθε καμόντας
ἀνθρώπους τίνυσθον. (Il. Γ. 278.)

ὡς ἑκατέρωθεν ἑκάτερθεν· εἶτα γίνεται ἔνερθεν γῆς· ἀφαίρεσις ἄρα γέγονε, τὸ γὰρ ἔνερθε πρῶτόν ἐστιν.

Νήσαντες: Σωρεύσαντες· νῶ γὰρ τὸ σωρεύω· οὗ ὁ μέλλων νήσω· ἐξ οὗ καὶ νηδὺς ἡ γαστήρ· παρὰ τὸ σεσωρεῦσθαι[c] καὶ πεπληρῶσθαι εἰς αὐτὴν τὰ βρώματα· καὶ νῶ, τὸ κολυμβῶ· ὁ μέλλων νήσω, ἐξ οὗ καὶ νῆσος, καὶ ναῦς· ἡ πᾶν μέρος ἐν τῇ θαλάσσῃ ἔχουσα· οὗ ὁ μέλλων νήθω[d], ἐξ οὗ νῆμα τὸ κεκλωσμένον λῖνον.

Νημερτές:

καί με νημερτὲς ἔνισπες. (Il. Ξ. 470.)

[b] D. 13. [c] Cod. σεσορεῦσθαι. [d] Sic.

ὄνομα ἐπιθετικὸν ἁπλοῦν· πτῶσιν οὐκ ἔχει, ἐπιῤῥηματικὴ γὰρ ἡ σύνταξις· νημερτὴς, ὁ στέρησιν τοῦ ἁμαρτάνειν ἔχων, κατὰ τροπὴν τοῦ α εἰς ε, ὡς κρέσσων καὶ ἀπὸ τοῦ κρατὺς, καὶ τὸ πολεμίζει ἀπὸ τοῦ παλάμη παλαμίζω, ὡς χαίτη χαιτίζω, καὶ τὸ πιάζω· οἱ Ἴωνες πιέζω, καὶ Ἀττικοὶ καὶ Αἰολεῖς,

χειρί δ' ἔχων ἐπίεζε βραχίονα. (Il. Π. 510.)

Δωριεῖς πιάζων ἀναλογώτερον.

Νύμφη: (Il. Ζ. 21.) Ὄνομα προσηγορικόν· ἡ νέα φαινομένη· ὡς παρὰ τὸ νέος νύος, οὕτως παρὰ τὸ νέον νύμφη, καὶ τὸ φῶ, τὸ φαίνω· βαρύνεται· τὰ εἰς φη λήγοντα θηλυκὰ, πρὸ τέλους ἔχοντα τὸ υ, ὀξύνεται· δρυφή· κορυφή· γλυφή· τὸ νύμφη βαρύνεται, ὅτι σύμφωνον ἔχει τὸ μυ πρὸ τοῦ φι· ἢ τὰ εἰς φη λήγοντα δισύλλαβα, μὴ ἔχοντα πρὸ τέλους τὸ ο, βαρύνεται· τάρφη· κάρφη· σίλφη· ἥν τινες τίλφην λέγουσι· μὴ ἔχοντα πρὸ τέλους τὸ ο εἶπε, διὰ τὸ ὀμφή· μορφή.

Νίψαν:

νίψαν ἀπὸ χρωτός. (Il. Κ. 575.)

τὸ νίπτω καὶ τὸ νίζω, ἀπὸ τοῦ νῶ, τὸ ῥέω· ὅπερ καὶ πρώτης καὶ β' ἐστὶ συζυγίας· ἀφ' οὗ τὸ νέω,

νέον δ' ὀρῶ ἄγγεα πάντα. (Il. Ι. 222.)

καὶ νῆσος ἀντὶ τοῦ ἡ περιῤῥεομένη· διὸ καὶ τὸ νίτρον, ἐὰν μὲν παρὰ τὸ νίπτω, τὸ πι ἀπέβαλε· εἰ δὲ παρὰ τὸ νίζω, τὸ σ· ὅπερ καὶ λίτρον οἱ Ἀττικοὶ λέγουσι κατὰ τροπήν· ὡς πνεύμων πλεύμων· τὸ δὲ νίπτω ποιεῖ τὸ νίσσω· Αἰολεῖς γὰρ τὸ πίπτω πέσσω λέγουσι· καὶ τὸ πέπτω πέσσω· τὸ δὲ νίζω οὐκ ἐγένετο ἐκ τοῦ Αἰολικοῦ· οὐδέποτε γὰρ τὰ παρ' αὐτοῖς δύο σσ τρέπουσιν εἰς ζ.

Νήδυμος: (Il. Β. 2.) Ὄνομα ἐκ τοῦ ἡδὺς οὐ γίνεται, οὐδὲ γὰρ τὸ νυ λέξει δασυνομένῃ συντίθεται· ἀλλ' ἔστιν ἐκ τοῦ νηδὺς, ὃ σημαίνει τὴν βαθεῖαν· ὧδε γὰρ τὸν βαθύυπνον· ἐπιφέρει γὰρ ὕπνος, οὐ γὰρ ἔστιν ἡδύς· τὸ νηδὺς παρὰ τὸ νῶ τὸ σωρεύω·

νηήσας εὖ νῆας. (Il. Ι. 358.)

παρὰ γὰρ τὸ σεσωρεῦσθαι ἐν αὐτῇ τὰ βρώματα· τὸ δυ βραχύ· τὰ εἰς μος λήγοντα ὀνόματα ὑπὲρ δύο συλλαβὰς προπαροξύ-

τονα, μὴ ὄντα σύνθετα, τὸ υ παραληγόμενα, συστέλλει τὸ υ· ἔρυμος· Ἔλυμος· δίδυμος· ἔσσυμος· τὸ γὰρ πρόθυμος σύνθετον· ὁ δὲ Ἀππιὼν ἐτυμολογῶν φησί· νάδυμος, ὃν οὐκ ἔστιν διὰ τὸ βάθος[e]· φασὶ δὲ τινὲς κατὰ μεταφορὰν ὅτι τὸν βαθὺν σημαίνει ἀπὸ τῆς νηδύος, ἥ ἐστιν ἡ κοιλία· βαθύτατον δέ ἐστιν ἐν ἡμῖν τοῦτο τὸ μέρος.

Νηυσί: (Il. A. 179.) Τρεῖς ἔχει εὐθείας· ναῦς, καὶ νηῦς, καὶ νεῦς· γίνεται παρὰ τὸ νέω τὸ κολυμβῶ·

αὐτὰρ ὁ χερσὶ νέων ἐπεμαίετο νόστου. (Od. E. 344.)

ἡ δοτικὴ νηΐ· καὶ ἐξ αὐτοῦ ὄνομα νηΐτης,

ἐπαίνω τὸν νηΐτην[f] νόμον·

ναῦς ναὸς ὁ κανών· δύο μόνα εἰσὶν εἰς αυς θηλυκὰ μονοσύλλαβα περισπώμενα, ναῦς καὶ γραῦς· κέκλιται δὲ ἀμφότερα διὰ καθαροῦ τοῦ ος.

Νηγατέον: (Il. B. 43.) Ὥσπερ παρὰ τὸ τείνω γίνεται τατὸς, οὕτως καὶ παρὰ τὸ γείνω γίνεται γατὸς, καὶ τοῦ νέος, νεήγατος· τροπῇ τοῦ ο εἰς η, ὡς θεοτόκος θεητόκος· καὶ πλεονασμῷ τοῦ ε γίνεται νηγάτεος· ἢ παρὰ τὸ θέω, τὸ θαυμάζω,

θηεῦντο μέγα ἔργον. (Il. H. 444.)

καὶ τὸ νήθω, τὸ κλώθω, γίνεται νηγάθεος, τὸ ἄγαν νενησμένον.

Νεστορέη: (Il. B. 54.) Ὄνομα θηλυκὸν Νεστόρεος· ἐπὶ τῶν διὰ τῶν εἰς ει[g] κτητικῶν οἱ Ἴωνες ἀποβάλλουσι τὸ ι τῆς ει διφθόγγου, καὶ διὰ τοῦ εος προφέρουσι τὰ κτητικά· χάλκειος χάλκεος· χρύσειος χρύσεος· Νεστόρειος Νεστόρεος· τὸ ρει δίφθογγος· τὰ διὰ τοῦ ειος ὀνόματα σημαίνει μέρος σωματικὸν, ἢ μετουσιαστικὰ, ἢ κτητικὰ ὑπάρχοντα, διὰ τῆς ει διφθόγγου γράφεται, ὡς προείρηται.

Νοσφιζοίμεθα: (Il. B. 81.) Παρὰ τὸ νοσφίζω· τοῦτο ἐκ τοῦ νόσφι· τοῦτο ἐκ τοῦ νο στερητικοῦ, καὶ τοῦ ἕπω, τὸ ἀκολουθῶ· γίνεται νόεπι, καὶ ὥσπερ ἀπὸ τοῦ θεόφατον κατ' ἀποβολὴν τοῦ ο, καὶ πλεονασμῷ τοῦ σ γίνεται θέσφατον, καὶ θεόπιν,

[e] ἀποδύσασθαι δ. τ. β. Etym. M. p. 603, 1. [f] Etym. M. p. 603, 14. habet vocem νηΐτης, sed omisso hoc fragmento. [g] Cod. male οι.

θέσπιν κατεβρόντησεν[h] ὁ βλέπων ὄπα.

οὕτως ἐκ νοέπω νοέπι, καὶ ἀποβολῇ τοῦ ε, καὶ πλεονασμῷ τοῦ σ[i] γίνεται νόσπι, καὶ τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ, γίνεται νόσφι· ὁ μὴ ἀκολουθῶν, ἀλλὰ πόῤῥωθεν καὶ χωρὶς ὑπάρχων· ἄλλως, ἐκ τοῦ νόστος νόστου νοστόφι, καὶ ἐν συγκοπῇ νόσφι· καὶ διατί[j] γενόμενον ἀπὸ τοῦ νόστου οὐκ ἐγένετο νοστοῦφι, ἀλλ' ἀπέβαλε τὸ υ; καὶ λέγομεν ὅτι αἱ πτώσεις αἱ ἐκτεινόμεναι διὰ τῆς φι συλλαβῆς, εἰ μὲν ἔχουσιν ἓν φωνῆεν κατὰ τὴν λήγουσαν, φυλάττουσιν αὐτό· οἷον, οὐρανία οὐρανίαφι· ἑτέρη ἑτέρηφι·

ὁδὸς δ' ἑτέρηφι παρελθεῖν. (Hes. Op. I. 214.)

εἰ δὲ ἔχουσι δύο φωνήεντα κατὰ τὴν λήγουσαν, τὸ τελευταῖον φωνῆεν ἀποβάλλουσι· οἷον χαλκὸς χαλκοῦ χαλκόφι·

πλάγχθη δ' ἀπὸ χαλκόφι χαλκός. (Il. Λ. 351.)

νόστος νόστου νοστόφι· καὶ ἐν συγκοπῇ νόσφι· ἰστέον δὲ ὅτι ἡ διὰ τῆς φι συλλαβῆς παραγωγὴ κατὰ πᾶσαν πτῶσιν γίνεται, καὶ ἀπὸ μὲν εὐθείας· ἑτέρη ἑτέρηφι. ἀπὸ γενικῆς· χαλκὸς χαλκοῦ χαλκόφι· νόστος νόστου νοστόφι, καὶ ἐν συγκοπῇ νόσφι· ἀπὸ δοτικῆς· ὡς τὸ βίη βίηφι·

Ἕκτωρ ἶφι βίηφι· (Il. Χ. 107.)

φρήτρη φρήτρηφιν· ἀπὸ αἰτιατικῆς· οἷον, δεξιὸν δεξιόφιν, ὡς τὸ,

ἢ ἐπιδεξιόφιν παντὸς στρατοῦ· (Il. Ν. 308.)

ἀντὶ τοῦ ἐπὶ τὸ δεξιόν· ἀπὸ κλητικῆς, ὡς τὸ οὐρανίαφι·

οὐρανίαφι γ' ἀείσομαι[k]

αὗται αἱ διὰ τῆς φι συλλαβῆς ἐπεκτάσεις τὸ αὐτὸ μέρος τοῦ λόγου φυλάττουσι, χωρὶς τοῦ νόσφι καὶ ἶφι· ταῦτα γὰρ ἐπῆλθον εἰς ἐπιῤῥηματικὴν σύνταξιν· βαρύνεται τὸ νόσφι· κανὼν γάρ ἐστιν ὁ λέγων, τὰ εἰς ι λήγοντα ἐπιῤῥήματα συνεσταλμένον ἔχοντα τὸ ἰῶτα βαρύνεται· οἷον, αὖθι· νόσφι· ἶφι· ναίχι· ἦχι· ὅθεν καὶ τὸ πρωῒ ἀναλογώτερόν ἐστι παρὰ τῷ ποιητῇ βαρυνόμενον οἷον,

πρῶϊ δ' ὑπ' ἠοῖοι. (Il. Θ. 530.)

[h] Male Etym. Gud. p. 410, 57. in ead. v. κατεβρόντισεν.
[i] Cod. ο. [j] Cod. διὰ τό. [k] Vocem οὐρανίαφι laudat ex Alcmane Apollon. de Adv. Bekker. Anecd. p. 575, 29. sed om. fragm.

τὸ δὲ χωρὶς ἀποβάλλον τὸ σ, διὰ τὸν κανόνα βαρύνεται· πρόσκειται ἔχοντα τὸ ι συνεσταλμένον, διὰ τὸ δευρί· νυνί· καὶ κοΐ· ἔστι δὲ μίμημα φωνῆς χοίρων· ἐχρήσατο δὲ καὶ Ἀριστοφάνης τῇ λέξει· τὸ ἀρι καὶ ἐρι ἐπιτατικὰ ἐπιῤῥήματα, συνεσταλμένον ἔχοντα τὸ ι, καὶ μὴ βαρυνόμενον, οὐκ ἀντίκειται ἡμῖν· ἐπειδὴ οὐδέποτε ταῦτα εὑρίσκεται αὐτὰ καθ' αὑτὰ, ἀλλ' ἀεὶ ἐν συνθέσει· οἷον, ἐριβρεμέτης, καὶ ἀριδείκετος· τὸ δὲ οὐχὶ ὤφειλε βαρύνεσθαι· ἀλλ' ἐπειδὴ ἐκ τῆς οὐ ἀρνήσεως γέγονε κατ' ἐπέκτασιν τῆς χι συλλαβῆς· τὸ δὲ οὐ παραλόγως ὠξύνθη· ὤφειλε γὰρ περισπᾶσθαι· ἐπεὶ πᾶσα δίφθογγος τελικὴ εἰς ου λήγουσα, καὶ ἐφ' ἑαυτῆς ἔχουσα· ἐπειδὴ οὖν παραλόγως ὠξύνθη.

Ναίουσι: (Il. B. 130.) καὶ Ναίοιτε[j]: (Il. Γ. 94.) Εὐκτικὸν χρόνου ἐνεστῶτος, καὶ παρατατικοῦ· β' προσώπου· τὸ ῥῆμα ναίω· τὸ ναι δίφθογγος· διότι ἀνεφάνη τὸ α ἐν τῷ ναός· ἐπὶ μὲν οὖν τοῦ οἰκῶ, διὰ τῆς αι διφθόγγου, ἐπὶ δὲ τοῦ πορεύομαι διὰ τοῦ ε ψιλοῦ.

Νεικείεσκε: (Il. B. 221.) Ῥῆμα παρατατικὸν τρίτου προσώπου νεικείω· τὸ κει δίφθογγος· τὰ διὰ τοῦ ειω παρ' ἐνεστῶτος ἢ μέλλοντος· γίνεται ἐκ τοῦ νεικῶ, τὸ ἐπιπλήσσω· ὅτε δέ ἐστιν ἐπὶ τῆς νίκης, συζυγίας δευτέρας τῶν περισπωμένων· ὅτε δὲ τὸ φιλονεικῶ, πρώτης δέ ἐστιν· ὁ μέλλων νεικέσω, καὶ Ὅμηρος,

ὡς νείκεσσ' ὁ γέρων. (Il. H. 161.)

ὁ παρατατικὸς ἐνείκειον, ἐνείκειες ἐνείκειε, καὶ νείκειε συναρχομένως, καὶ νεικείεσκε.

Νεμέσσηθέν τ' ἐνὶ θυμῷ: (Il. B. 223.) Διατὶ ἀναπέμπει τὸν τόνον· ὅτι ἐὰν ἡ προκειμένη λέξις τοῦ ἐγκλίτου μορίου προπαροξύνεται, τὴν ἐν τῷ τέλει αὐτῆς βαρεῖαν εἰς ὀξεῖαν ἐγείρει· "ἤκουσέ μου· ἔδωκέ μοι" τὸ δὲ νεμέσω ἐκ τοῦ νεμῶ περισπωμένου, καὶ ἐξ αὐτοῦ νεμεσῶ β' συζυγίας, καὶ

νεμέσσηθέν τ' ἐνὶ θυμῷ. (Il. B. 223.)

καὶ

μὴ νεμέσα. (Il. K. 145.)

j Cod. ναίοιτε.

τοῦτο ἐκ τοῦ νέμεσις· τοῦτο δὲ πρῶτος ἀόριστος παθητικὸς, ὥσπερ καὶ τὸ κόσμηθεν.

Νεαρός: (Il. B. 289.) Γίνεται παρὰ τὸ νέον καὶ τὸ ἀρύω· κυρίως τὸ νεωστὶ ἀρυσθὲν ὕδωρ· μεταφορικῶς δὲ λέγεται καὶ ἐπὶ τῶν παιδίων τῶν νεωστὶ γεννηθέντων· πρόσφατον δὲ τὸ νεωστὶ ἐσφαγμένον κρέας.

Νῶτα: (Il. B. 308.) Ὄνομα οὐδέτερον εὐθείας τῶν πληθυντικῶν· τὸ ἀρσενικὸν ὁ νῶτος· τὸ νω μέγα, πρὸς ἀντιδιαστολὴν τοῦ ἀνέμου· καὶ ἡ εὐθεῖα τῶν οὐδετέρων οὐκ ἔχει, ὥσπερ ἡ κέλευθος καὶ τὸ οὐδέτερον οὐκ ἔχει, ἀλλὰ ἡ εὐθεῖα τῶν πληθυντικῶν, τὰ κέλευθα· οὕτως καὶ τοῦτο.

Νηπίαχος: (Il. B. 338.) Παρὰ τὸ νη στερητικὸν, καὶ τὸ ἰάχω· τοῦτο ἐκ τοῦ ἴα γίνεται ἰάχω.

Νικᾶς: (Il. B. 370.) Ἐκ τοῦ νίκη· τὸ νι ἰῶτα· ἐκ τοῦ ἐνὶ, καὶ τοῦ εἴκω, τὸ ὑποχωρῶ· ἡ ὑποχωροῦσα τινὶ τὴν νίκην· ἤτοι τὸν στέφανον· γέγονεν ἐνιίκη, καὶ κράσει τῶν δύο ιι εἰς ι μακρὸν, νίκη· ἀποβολῇ τοῦ ε.

Νότος: (Il. B. 395.) Παρὰ τὸ ὀνῶ, τὸ βλάπτω· ὁ μέλλων ὀνόσω, ὀνότος καὶ κατὰ ἀφαίρεσιν τοῦ ο γίνεται νότος· οἱονεὶ, ὁ βλαπτικὸς τῶν καρπῶν καὶ τῶν σωμάτων.

Νήϊον: (Il. Γ. 62.) Διὰ τοῦ ἰῶτα· τὰ γὰρ ἀπὸ τῶν εἰς αυς θηλυκῶν μονοσυλλαβῶν διὰ τοῦ ιος παράγωγα διὰ τοῦ ι γράφεται· οἷον ναῦς ναὸς νάϊος, καὶ τροπῇ νήϊος· καὶ νήϊον ξύλον, τὸ πρὸς ναῦς[k] ἐπιτήδειον· ὁμοίως καὶ τὸ γραῦς γραὸς γράϊος, καὶ γρήϊος, καὶ

γρήϊον εἶδος ἔχουσα[l].

Νημερτές: (Il. A. 514.) Ἐπίῤῥημα ἀπὸ τοῦ νημερτὲς οὐδετέρου· τοῦτο ἐκ τοῦ νημερτής· τοῦτο παρὰ τὸ ἁμαρτῶ, τὸ ἀποτυγχάνω, μετὰ τοῦ νη στερητικοῦ νηαμερτής· οἱονεὶ, ὁ μὴ ἀποτυγχάνων τοῦ σκοποῦ τῶν λόγων, τουτέστι μὴ ψευδόμενος.

Νήλεϊ Χαλκῷ: (Il. Γ. 292.) Ἡ εὐθεῖα νηλής· γίνεται

[k] Cod. ναῦ. [l] Hoc fragmentum Callimacho addendum esse jam monuimus in Mus. Philol. N. IV. p. 113. docente Grammat. Cod. Barocc. 50. f. 177.

ἐκ τοῦ ἐλεῶ ἐλεὴς, καὶ μετὰ τοῦ νη στερητικοῦ κατὰ συγκοπὴν, ὁ ἐστερήμενος τοῦ ἐλέους· ἔστι δὲ καὶ νηλέης· δύο γὰρ ἔχει εὐθείας, ἐξ οὗ καὶ ἡ κλητικὴ ὦ νηλεὲς,

νηλεὲς οὐκ ἄρα δή σοι πατὴρ ἦν [m].

Νεκταρέου: (Il. Γ. 385.) Ἐκ τοῦ νέκταρ νέκταρος, τὸ κτητικὸν νεκτάρειος· τὸ νέκταρ παρὰ τὸ κτῶ, τὸ φονεύω καὶ ἀναιρῶ, μετὰ τοῦ νε στερητικοῦ· τὸ μὴ τοῖς κτεινομένοις ἤτοι θνητοῖς, ἀλλὰ τοῖς ἀθανάτοις διδόμενον.

Ναιετάωσα [n]: (Il. Γ. 387.) Τὸ ῥῆμα ναιετάω ναιετῶ· ἐκ τοῦ ναιέτης, ὃ σημαίνει τὸ μέτοικον· τὰ διὰ τοῦ ετης· ἡ μετοχὴ ναιετάων· τὸ θηλυκὸν ναιετάουσα, καὶ Δωρικῶς ναιετάωσα· ὡς ἱδροῦσαι ἱδρῶσαι.

ἦγον δὲ Μαχάονα ποιμένα λαῶν
ἱδρῶσαι. (Il. Λ. 597.)

καὶ βοῦν βῶν.

Νοῦσος: (Il. Α. 10.) Πλεονασμῷ τοῦ υ Ἰωνικῷ, ὡς κόρος κοῦρος· μόνος μοῦνος· εἴρηται νόσος παρὰ τὸ νο στερητικὸν μόριον, καὶ τὸ σεύω τὸ ὁρμῶ· ἡ μὴ ἐῶσα ἡμᾶς κινεῖσθαι καὶ σευέσθαι· ἢ παρὰ τὸ νε στερητικὸν, καὶ τὸ σόος, ὁ ἀκέραιος· σόος δὲ διὰ τοῦ ο μικροῦ ποιητικοῦ.

Νέηαι: (Il. Α. 32.) Χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ δευτέρου προσώπου· οἱ γὰρ Ἴωνες ὁμοίως τοῖς ὁριστικοῖς καὶ τὰ ὑποτακτικὰ ποιοῦσιν· οἷον, ἔστι νέω, τὸ πορεύομαι, καὶ τὸ παθητικὸν, ἐὰν νεῶμαι, τὸ τρίτον νέηται, καὶ Ἰωνικῶς νέηαι· συστέλλουσι γὰρ τὸ τ οἱ Ἴωνες, καὶ ποιοῦσι δεύτερον πρόσωπον· ὄληαι· νέηαι.

Νέκυς: (Il. Α. 52.) Παρὰ τὸ κίκυς· ὁ δηλοῖ τὴν ἰσχύν· καὶ τὸ ποιητικὸν νέκικυς, ὁ ἐστερημένος ἰσχύος, καὶ ἐν συγκοπῇ νέκυς· ἢ ὥσπερ ἀπὸ τοῦ κότος γίνεται κότυς, οὕτως νεκρὸς νέκρυς, καὶ ἀποβολῇ τοῦ ρω νέκυς· τὸ δὲ νεκρὸς σύνθετόν ἐστι παρὰ τὸ νη στερητικὸν, καὶ τὸ κῆρ, ὃ δηλοῖ τὴν ψυχήν· νήκη-

[m] Hoc exemplo caret Etym. M. p. 603, 43. Etym. Gud. p. 407, 56. ὦ νήλεες οὐκ ἄρα. [n] Cod. ναιετάωσι.

ρος, τουτέστιν ὁ ἐστερημένος τῆς ψυχῆς· καὶ συγκοπῇ καὶ συστολῇ τοῦ η εἰς ε, νεκρός.

Νόστος: (Il. B. 155.) Παρὰ τῇ συνηθείᾳ ὁ γλυκασμὸς λέγεται νόστος, καὶ ἡ εἰς τὸν οἶκον ἀνακομιδὴ μεταφορικῶς ἀπὸ τῶν ἐδεσμάτων, ὡς φησὶν Ὅμηρος,

οὐδὲν γλύκιον ἧς πατρίδος οὐδὲ τοκήων. (Od. I. 34.)

γίνεται παρὰ τὸ νέω, τὸ πορεύομαι, νέσω νόστος, καὶ νοστῶ νοστήσω. τὸ δὲ νέω σημαίνει ε΄ τρία διὰ τοῦ ε ψιλοῦ· τὰ μὲν δύο βαρύτονα· τὸ δὲ ἓν περισπώμενον· καὶ τὰ ἕτερα, τὸ μὲν ἓν διὰ τῆς αι διφθόγγου, ναίω τὸ οἰκῶ· τὸ δὲ ἕτερον διὰ τοῦ α, νάω.

Νέηλυς, Νεήλυδος: (Il. K. 434.) Ὁ κανών· τὰ εἰς υς σύνθετα, εἰ μὲν ἀπὸ ἁπλῶν εἰς υς ληγόντων εἰσὶ συντεθειμένα, τὴν τῶν ἁπλῶν φυλάττουσι κλῖσιν· οἷον βραχὺς βραχέος· τρίβραχυς τριβράχεος· πῆχυς πήχεος· δεκάπηχυς δεκαπήχεος· θῆλυς θήλεος, ἀρσενοθήλεος· ἰχθὺς ἰχθύος, κάλλιχθυς· ὀφρὺς ὀφρύος, λεύκοφρυς· εἰ δὲ ἀπὸ ῥημάτων εἰσὶ συντεθείμενα, διὰ τοῦ δος κλίνονται· οἷον, ἔπηλυς ἐπήλυδος· νέηλυς νεήλυδος· ταῦτα γὰρ οὐκ ἀπὸ ἁπλῶν εἰς υς ληγόντων εἰσὶ συντεθείμενα, ἀλλ' ἀπὸ ῥήματος τοῦ ἐλεύθω[o].

Νάκην: (Od. Ξ. 530.) Ὄνομα προσηγορικὸν παρὰ τὸ νάκος νάκη, ὡς τὸ βλάβος βλάβη· σκέπος σκέπη· βαρύνεται τὰ εἰς κη θηλυκὰ δισύλλαβα τῷ ο παραληγόμενα ἅπαντα· σεσημειῶται τὸ κρικὴ, τὰ δὲ μὴ παραληγόμενα τῷ ο ἅπαντα βαρύνεται· σεσημειῶται τὸ ἀκή· τὸ δὲ κρόκη, ὡς ἀπὸ τοῦ κρὸξ τὴν αἰτιατικὴν Ἡσίοδος,

πολλὴν κρόκα μηρύσασθαι. (Op. II. 156.)

τροπῇ τοῦ α εἰς η κρόκη· τὸ δὲ νάκην λέγεται καὶ ἀρσενικῶς ὁ νάκης, παρὰ τὸ νάκη θηλυκὸν, καὶ κλίνεται νάκου· ὁ κανών· τὰ ἀπὸ θηλυκῶν κατὰ προσθήκην τοῦ σ, μὴ κωλυόμενα ὑπὸ χαρακτῆρος, ἐπὶ γενικῆς εἰς ου λήγει· πλάτη πλάτης πλάτου· λέσχη λέσχης λέσχου· ἀήτου· ἀράχνου· πρόσκειται μὴ κωλυό-

[o] Cf. Etym. M. p. 599, 33. qui hanc regulam Chœrobosco tribuit.

μενα ὑπὸ ἑτέρου χαρακτῆρος, διὰ τὸ πλάνης καὶ κόμης· ἡ αἰτιατικὴ νάκην· συνεμπίπτει τῷ θηλυκῷ, ὡς τὸ γύην· Ἴδην· λέσχην.

Νηυσίν: (Il. A. 305.) Ὄνομα προσηγορικὸν, παρὰ τὸ νέω, τὸ νήχομαι·

αὐτὰρ ἐπὴν χείρεσσι νέων. (Od. E. 344.)

τούτου ὀνόματος εὐθεῖαι ποικίλαι· νεῦς διὰ τοῦ ε· νηῦς διὰ τοῦ η· ναῦς διὰ τοῦ α· ναῦς παρὰ Δωριεῦσιν· τὸ γραῦς λέγεται καὶ διὰ τοῦ ε γρεύς· ὡς δῆλον ἀπὸ τοῦ γρεηὸς γενικῆς· ὡς τὸ "νεὼς ἀμφιελίσσης·" τῇ δοτικῇ δὲ τῶν πληθυντικῶν χρῆται Ὅμηρος καὶ νηυσίν·

ὣς οἱ μὲν παρὰ νηυσὶ κορώνισι· (Il. Υ. 1.)

νέεσσι,

νέεσ' ἐν ποντοπόροισι. (Il. Γ. 240.)

νήεσσι,

τὴν ὄφελ' ἐν νήεσσιν· (Il. Τ. 59.)

Αἰολεῖς νέασσι[p],

κἀπιπλεύσειν νάεσσιν.

Ἀλκαῖος· τὴν δὲ ναυσὶν οἶδεν Ὅμηρος, ἀλλ' ἐν συνθέσει· Ναυσίθοος, καὶ τὸ Ναυσικάα, καὶ τὸ

ναυσίκλειτοι ἄνδρες. (Od. Θ. 191.)

ὑφ' ἓν βέλτιον.

Νήδυμος: (Il. B. 2.) Ἐκ τοῦ δύω, δύσω· δέδυκα, δέδυμαι, δυμός· κατ' ἐπέκτασιν τῆς νη συλλαβῆς νήδυμος, ὁ βαθύτατος· ὁ Ζεὺς ἐκάθευδε μὲν, οὐ βαθυτάτως δὲ, ὡς οἱ λοιποὶ θεοὶ καὶ οἱ ἄνδρες· προπαροξύνεται· τὰ εἰς μος λήγοντα ὀνόματα ὑπὲρ δύο συλλαβὰς τῷ υ παραληγόμενα συνεσταλμένῳ, βαρύνεται· οἷον, Ἔλυμος· χέλυμος· σκόλυμος εἶδος βοτάνης· πρόσκειται ὑπὲρ δύο συλλαβὰς, διὰ τὸ χυμός· πρόσκειται τῷ υ συνεσταλμένῳ παραληγόμενα, διὰ τὸ ῥυμός· κωλυμός· ἐκτετάμενον ἔχοντα τὸ υ.

Νυσήϊον[q]: (Il. Z. 133.) Τὸ ἀμφίβολον· εἰ μὲν γὰρ Νυσήϊον πλεονασμὸς τοῦ η· εἰ δὲ παρὰ τὸ Νύσσα ὤφειλεν εἶναι Νύσειον· καὶ ὥσπερ παρὰ τὸ ἄρειον ἀρήϊον, αὐξήσει τοῦ ε εἰς η

[p] Leg. νάεσσι cum Etym. M. p. 605, 23. qui tamen frag. omittit. [q] Cod. Νησήϊον.

γέγονεν, οὕτως Νυσήϊον· ὥστε δύναται διαίρεσις εἶναι καὶ ἐπέκτασις, ἀλλ' οὐ πλεονασμός· τὸ δὲ γαιήϊος ἀπὸ τοῦ γαῖα γαίϊος ἐν πλεονασμῷ· καὶ τὸ πολεμήϊα, παρὰ γὰρ τὸ πόλεμος πολέμια· ὅταν οὖν εἴπῃ,

πολεμήϊα τεύχεα. (Il. H. 193.)

πλεονάζει τὸ η.

Νέα πόλις: Αἱ σύνθετοι λέξεις οὐδέποτε μεταβαίνουσι τὴν συνάφειαν καθ' ἣν γίνονται, οὔτε κλινόμεναι, οὔτε εἰς ἕτερον σημαινόμενον πίπτουσαι· ἀλλ' ἀποξενωθεῖσαι ἐν τῇ συνθέσει τὸν σύνδεσμον τῆς ἑνώσεως φυλάττουσι· διὰ τοῦτο τὸ λεοντοφόνος κἂν πίπτει εἰς πλαγίους, ἀκίνητος μένει ἡ συνάφεια· τοῦ τέλους μόνου τὴν κίνησιν τῆς πτώσεως ὑπομένοντος· λεοντοφόνου· καὶ τὰ ἑξῆς· ἀλλὰ κἂν εἰς σημασίαν διάφορον μεταπέσῃ ἡ σύνθεσις, μένει οὐδὲν ἧττον ἄλυτος τῶν συνθέτων ἡ συνάφεια· τὸ μὲν γὰρ λεοντοφόνος αἰτιατικὴν βούλεται, ὁ τὸν λέοντα φονεύων· τὸ δὲ λεοντοπρόσωπος γενικὴν ἐπαγγέλλεται, ὁ λέοντος πρόσωπον ἔχων· καὶ ἔτι τὸ λεοντομάχος δοτικὴν, ὁ λέοντι μαχόμενος· ἀλλ' ὅμως ἐν πᾶσιν ἀκίνητος μένει ἡ συνάφεια· διὰ τοῦτο τὸ Νέα πόλις καὶ Ἄρειος Πάγος δύο μέρη λόγου εἰσίν· ἐπειδὴ καὶ ἔσωθεν καὶ ἔξωθεν ἡ κίνησις· τὸ δὲ Κόρακος πέτρα, καὶ Ὑοσκύαμος, καὶ Ἀχαιῶν λιμὴν, καὶ τὰ ὅμοια μὴ κλινόμενα ἔσωθεν ἀλλ' ἔξωθεν, ἓν μέρος ἂν εἴη λόγου.

Νύσσα: (Il. Ψ. 388.) Παρὰ τὸ νύσσεσθαι φαίνεται· εἰ μὲν γὰρ παρὰ τὸ νεύσω, καὶ νεύω, τὸ ἀκόλουθον ἦν νεῦσα· ἀλλ' ἐδιπλασιάσθη τὸ σ, καὶ ἐξέστη τὸ ε· εἰ δὲ παρὰ τὸ νύσσω, ἐπεὶ νύσσονται οἱ ἵπποι,

ἀτὰρ τὸν δέξιον ἵππον
κένσαι ὁμοκλήσας. (Il. Ψ. 337.)

Νυστάζειν: Νεύω νευστάζω·

νευστάζων κόρυθι βριαρῇ. (Il. Υ. 162.)

ἐπειδὴ ἐπινεύουσιν οἱ κοιμώμενοι, ἀπὸ τούτου εἴρηται καὶ τὸ νυστάζειν· παρὰ τὸ νυστάζειν δὲ τὸ,

νύσταλον γερόντιον[r].

[r] Etym. M. p. 609, 38. νυσταλογερόντιον.

Νέαται: (Il. I. 153.) Ὅσοι μὲν ἐνεστῶτα παραλαμβάνουσιν, ἀντὶ τοῦ οἰκοῦνται· ὅσοι δὲ παρακείμενον· οἷον, ᾠκήμενοι εἰσί· νῶ ἐστὶ ῥῆμα πολλὰ σημαῖνον· ἐν οἷς καὶ τὸ σωρεύω· ἐξ οὗ καὶ ὁ ποιητὴς, τὸ νηήσας· τοῦ νῶ ὁ παρακείμενος νένηκα, τὸ σωρεύω· τὸ παθητικὸν νένημαι, τὸ πληθυντικὸν νενήμεθα, νένησθε, νένηνται· εἶτα τὸ Ἰωνικὸν νενέαται·

φρυγάνων φάκελοι συννενέαται·

σημαίνει δὲ τὸ νῶ, καὶ τὸ οἰκῶ· τούτου πάλιν ὁ παρακείμενος νένηκα· ὁ παθητικὸς νένημαι, τὸ πληθυντικὸν νενήμεθα, νένησθε, νένηνται· τὸ Ἰωνικὸν νενέαται· ἆρον τὴν νε συλλαβὴν,

νέαται Πύλου ἠμαθόεντος. (Il. I. 153.)

ὥστε ὅμοιον εἶναι τὸ δεδέχαται[s].

ἈΡΧΗ ΤΟΥ ΞΙ.

Ξυνέηκε: (Il. A. 8.) Οἱ Ἀττικοὶ τὴν σὺν πρόθεσιν εἰς ξ τρέπουσιν· τὴν γὰρ συμφορὰν ξυμφορὰν, καὶ τὸ σύμπαν ξύμπαν, οὕτως καὶ τὸ συνέηκε ξυνέηκε· καὶ γὰρ τὸ σ πῇ μὲν εἰς τ τρέπουσιν, πῇ δὲ εἰς ξ· τὸ γὰρ σὺν ξὺν, καὶ τὸ σὺ, τύ· ἔστι δὲ ὁ πρῶτος ἀόριστος ἧκα συνῆκα, καὶ ξυνῆκα· καὶ πλεονασμῷ τοῦ ε ποιητικῷ, ἵημι, ἥσω, ἧκα, πλεονασμῷ τοῦ ε.

Ξίφος: (Il. A. 210.) Παρὰ τὸ ὀξύνεσθαι πρὸς φόνον· γίνεται ἐκ τοῦ ξύω, ξύσω, ξύφος καὶ ξίφος· τὸ ξι ι· τὰ εἰς φος οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι· οἷον, ἔριφος· Σέριφος.

Ξανθός: (Il. A. 197.) Ἐκ τοῦ ξαίνω ξαντὸς καὶ ξανθός· διὰ τούτου γὰρ φασὶν αἰνίττεσθαι τὸ θερμὸν καὶ ὀργίλον τοῦ ἥρωος· οἱ γὰρ ξανθόχολοι[t] τοιοῦτοι· ἢ παρὰ τὸ ἄνθος πλεονασμῷ τοῦ ξ, καὶ καταβιβασμῷ τοῦ τόνου ξανθός· εἴδους τῶν ὑποπεπτωκότων εἰδικῷ· τὸ γενικὸν πῶς; ἔστι χολή· διαιρεῖται εἰς δύο· εἰς ἀτμῶδες καὶ ὠχρόν.

Ξεινοδόκον: (Il. Γ. 354.) Ἐκ τοῦ ξένος, καὶ τοῦ δέ-

[s] Cf. Etym. M. p. 599, 20. [t] Etym. M. p. 610, 23. male ξανθόχλοοι.

χομαι· οὗ τινος, ὁ μὲν χαρακτὴρ παθητικὸς, τὸ δὲ σημαινόμενον ἐνεργητικόν· ξενόδοχος, καὶ Ἰωνικῇ τροπῇ τοῦ δασέος εἰς ψιλὸν, οἱ γὰρ Ἴωνες τὰ δασέα εἰς ψιλὰ τρέπουσι, ὡς τὸ,

εἰ ἐτεὸν Κάλχας μαντεύεται, ἠὲ καὶ οὐκί. (Il. B. 300.)

καὶ πλεονασμῷ τοῦ ἰῶτα ξεινοδόκος, ὁ τοὺς ξένους φιλοφρονούμενος.

Ξυνήϊα: (Il. A. 124.) Ἀπὸ τῆς σὺν προθέσεως, ὃ παρὰ Ἀττικοῖς λέγεται ξὺν, γίνεται ὄνομα ξυνὸς, καὶ ἐκ τούτου ξύνειος, καὶ τὸ οὐδέτερον ξύνιον, ἐπήκουον, ἀπὸ τοῦ συνιῶ, κατὰ τροπὴν τοῦ σ εἰς ξ· συνιῶ οὖν, καὶ ὁ παρατατικὸς συνίουν, ὁ δεύτερος ἀόριστος σύνιον καὶ ξύνιον.

Ξυστοῖσι μακροῖσι: (Il. N. 497.) Ξυστοῖσιν ὄνομα προσηγορικὸν οὐδέτερον ἁπλοῦν· προσηγορικὸν δὲ αὐτὸ λέγομεν, ἐπεὶ μὴ ἐπιφέρει τὸ δόρασιν· ἀλλαχοῦ δὲ,

νῶμα δὲ ξυστὸν μέγα ναύμαχον. (Il. O. 677.)

ἴδιον γέγονε νῦν.

ἈΡΧΗ ΤΟΥ Ο ΣΤΟΙΧΕΙΟΥ.

Οὖρος: Εἴτε τὸν ἄνεμον σημαίνει, εἴτε τὸ ὄρος τὸ υ πλεονάζει· ἀλλ' εἰ μὲν σημαίνει τὸν ἄνεμον, γίνεται παρὰ τὸ ὄρω, τὸ ὁρμῶ, ὄρος οὖρος· εἰ δὲ τὸ ἕτερον εὔδηλον· ὄρος οὖρος.

Οὐρά: (Od. K. 215.) Παρὰ τὸ ὄρω τὸ ὁρμῶ ὀρὰ, καὶ πλεονασμῷ τοῦ υ οὐρά· ὡς παρὰ τὸ κείρω κορὰ, καὶ κουρά· παρὰ τὸ ὄρω, τὸ ὁρμῶ, γίνεται παρορμητικὸς τῶν ζώων ἡ οὐρά· καὶ αὐτὸς δὲ ὁ ποιητὴς λέγει,

Οὐρῇ δὲ πλευράς τε καὶ ἰσχία ἀμφοτέρωθεν [u]
μαστίεται ἕε δ' αὐτὸν ἐποτρύνει. (Il. Υ. 170.)

Οὖτα:

οὖτά με Τυδέος υἱός. (Il. E. 376.)

ἀπὸ ἐνεστῶτος τοῦ οὐτῶ, οὗ ὁ παρατατικὸς οὔταον οὔτων· οὔταες οὔτας· τὸ τρίτον οὔταε οὖτα, καὶ κατ' ἀποκοπὴν οὖτα· τοῦ οὐτῶ ὁ μέλλων οὐτήσω· ἐξ αὐτοῦ ὄνομα οὐτηλὴ, καὶ Βοιωτικῇ τροπῇ

[u] Cod. om. ἀμφοτέρωθεν.

τῆς ου διφθόγγου εἰς ω, ὡς βοῦν βῶν, καὶ Δωρικῇ πάλιν τροπῇ τοῦ η εἰς τὴν ει δίφθογγον, ὡς τέθηκα τέθεικα, καὶ ἥρωες εἵρωες, γέγονεν ὠτειλή, διὰ τοῦ ω, καὶ τῆς ει διφθόγγου.

ΟΥ̓ : ʻΟξύνεται ὡς μιμησάμενον τὸ τῆς ἀνανεύσεως· ὀξύνεται δὲ καὶ τὸ οὐχί· τὰ εἰς ι λήγοντα ἐπιῤῥήματα μακρᾷ παραληγόμενα βαρυνέται· αὖθι· κεῖθι· ὡσαύτως ἔχουσαι παραγωγαὶ βαρύνεσθαι θέλουσι· ναίχι· ἧχι· παράλογος ἄρα ὁ τόνος ἐστί· ποῖον ἐστὶν ἀναλογώτερον τὸ οὐκὶ ἢ τὸ οὐχί; ἀναλογώτερόν ἐστι τὸ οὐχί· διότι αἱ τοιαῦται παραγωγαὶ διὰ δασέος φιλοῦσι γίνεσθαι· ἢ γὰρ διὰ τοῦ φι, ἢ χι, ἢ θι τὰ τοιαῦτα παράγονται· κεῖθι· ναῦφι· ναίχι· ἴσως δὲ ἀπὸ πολλάκις φωνήεντος ψιλουμένου ἐπιφερομένου ἐν πλεονασμῷ προσλαμβάνειν τὸ κ, πεπλάνηται ʻΑρίσταρχος γράψας οὐκί· τινὲς δὲ τὴν οὐ ἄρνησιν συνδέσμου ἔφασαν εἶναι, καὶ οὐκ ἐπιῤῥήματος· τὸ γὰρ ἀκολουθητικὸν συνδέσμου ἴδιον εἶναι· εἰ οὖν ἡ ἀπόφασις ἀκολουθητικὸν ἔχει τὸν ἀλλὰ, ἢ τὸν δὲ, ἐν τοῖς κατὰ ἀπόθεσιν ἢ ἀναίρεσιν σχήμασι, συνδέσμου ἄρα ἐστί· φαμὲν οὖν ὅτι τὰ ἀκολουθητικὰ οὐκ ἀναιροῦσι τοῦ ἑτέρου τὸ ἕτερον παρεισάγουσιν· ἡ ἀπόφασις δὲ ἀναιροῦσα τὸ ἕτερον παρεισάγει τὸ ἕτερον· οἷον, " οὐκ ἔγραψα ἀλλ᾽ ἀνέγνωσα·" καὶ ἄλλως· οὐκ εἴ τι ἀκολουθητικόν ἐστι τοῦτο, καὶ τοῦ αὐτοῦ μέρους ἐστίν· ἰδοὺ γὰρ τὸ ἐνδεέστερον· " σοφός ἐστι Τρύφων ἤπερ γραμματικός·" τὸ ἤπερ ἀκολουθεῖ τῷ ἐνδεεστέρῳ, ἀλλ᾽ οὐχὶ τοῦ αὐτοῦ μέρους ἐστίν.

ʻΟκρυόεσσα : (Il. Z. 344.) Παρὰ τὸ κρύος κρυόεις κρυόεντος, καὶ τὸ θηλυκὸν κρυόεσσα, καὶ πλεονασμῷ τοῦ ο· οἱ δὲ παρὰ τὸ οἴχω· καὶ ὡς τὸ ὀρέγω ἐπενθέσει τοῦ νυ γίνεται ὀριγνῶ, καὶ σκέδω σκιδνῶ· περῶ περνῶ· οὕτως οἴχω, καὶ ἐπενθέσει τοῦ νυ οἰχνῶ.

ΟΥ̓ΛΟΣ : Σημαίνει τὸν ὅλον,

ἄρτον τε οὖλον ἑλών. (Od. P. 343.)

καὶ πλεονασμῷ τοῦ υ· σημαίνει καὶ τὸ μαλακὸν,

οὔλας ἧκε κόμας. (Od. Z. 231.)

καὶ

οὔλων τε ταπήτων. (Il. Π. 224.)

παρὰ τὸ ελλω τὸ σημαῖνον τὸ συστρέφω· ἔνθεν καὶ τὸ ἑλίσσω,

παρὰ τὸ οὖλος, καὶ πλεονασμῷ τοῦ υ οὖλος· σημαίνει καὶ τὸ ὀλέθριον, παρὰ τὸ ὄλλω τὸ ὄλλυμι· ὥστε εἴτε ὀλέθριον, εἴτε μαλακὸν, εἴτε τὸ ὅλον, ἐπὶ πάντων ὁ πλεονασμὸς τοῦ υ γέγονεν· ὅθεν ἐπεὶ ποικίλα σημαίνει τὸ οὖλος, ἄδηλον ἡγοῦνται ἐν τῷ,

βάσκ' ἴθι οὖλε ὄνειρε. (Il. B. 8.)

πότερον τὸν ἐπὶ ὀλέθρῳ πεμπόμενον, ἢ τὸν μαλακόν.

Ὅμιλος: (Il. Γ. 36.) Παρὰ τὸ ὁμοῦ εἰλεῖσθαι· τὸ μι ἰῶτα· ὤφειλε δὲ διὰ τῆς ει διφθόγγου· ἀλλ' εἰ οὕτως ἐγράφετο, ὅμελλος ἂν ἔλεγον οἱ Αἰολεῖς, καὶ οὐχ ὅμιλος[x]· ἔθος γὰρ αὐτοῖς ἐστιν ἀποβάλλειν τῆς ει διφθόγγου τὸ ι, καὶ διπλασιάζειν τὸ σύμφωνον· τὸ γὰρ κείρω κέῤῥω· καὶ τὸ σπείρω σπέῤῥω λέγουσιν· καὶ οὕτως· τὰ διὰ τοῦ ιλος ὀνόματα ἀρσενικὰ βαρύτονα μὴ ἀπὸ ὀνόματος ἔχοντα τὴν ει δίφθογγον, πρὸ μιᾶς ἔχοντα τὸν τόνον, διὰ τοῦ ἰῶτα γράφεται, πλὴν τοῦ Νεῖλος· οἷον, Ζωΐλος· Τρωΐλος· σεσημείωται τὸ ὅμιλος προπαροξυνόμενον, καὶ διὰ τοῦ ἰῶτα γραφόμενον· πρόσκειται ἀρσενικὰ διὰ τὸ χεῖλος· βαρύτονα, διὰ τοῦ δειλός· ἀπὸ ὀνόματος ἔχοντα τὴν ει δίφθογγον, διὰ τὸ δειλὸς κροκόδειλος· χεῖλος ἀγκυλόχειλος· εἵλη, ἐξ αὐτοῦ εὔειλος· σημαίνει δὲ τὸν τόπον τὸν ἔχοντα θερμασίαν· ἀλλ' οὐκ ἀντίκεινται τῷ κανόνι, ἐπεὶ παρ' ὄνομα παρήχθη.

Οὐχί: (Il. O. 716.) Ἐπίῤῥημα ἀρνήσεως, καὶ κατ' ἐπέκτασιν τῆς χι γίνεται οὐχί· καὶ διατὶ ὥσπερ ἀπὸ τοῦ ναὶ ναίχι, μὴ ἀπὸ τοῦ οὐ οὔχι, ἀλλ' οὐχὶ ὀξυτόνως; καὶ διατὶ διὰ τῆς χι συλλαβῆς ἐπεκτάθη, καὶ οὐ διὰ τῆς κι; καὶ ποῖον ἀναλογώτερον τὸ οὐχὶ ἢ τὸ οὐκί; καὶ ἔστιν εἰπεῖν περὶ μὲν τῆς τάσεως, ὅτι ἐν τῇ ἁπλότητι παραλόγως ὀξύνθη· ὡς διαλλάξαν οὖν ἐν τῇ ἁπλότητι, διήλλαξε καὶ ἐν τῇ συνθέσει· περὶ δὲ τῆς ἐπεκτάσεως κανών ἐστιν ὁ λέγων, ὅτι αἱ εἰς ι λήγουσαι ἐπεκτάσεις ἐν ἐπιῤῥήμασιν, ἢ τὸ φι φιλοῦσιν ἔχειν πρὸ τοῦ ι, ἢ τὸ θ, ἢ τὸ χ· τὸ φι· οἷον δεξίοφι· βίηφι· τὸ θ· οἷον νήοθι· ἔνδοθι· τὸ χ οἷον, ἦχι· ναίχι· ἀναλόγως ἐπεκτείνεται διὰ τῆς χι, ἀλλ' οὖν διὰ τῆς κι· πρότερον α' τοῦ οὐκί· τὸ δὲ,

[x] Leg. ὅμιλλος.

ἐτεὸν Κάλχας μαντεύεται ἠὲ καὶ οὐκί. (Il. B. 300.)

⊣Ἰωνικόν.

⊣Ὀρεσκῷος: (Il. A. 268.) Παρὰ τὸ ὄρος καὶ τὸ κῶ, τὸ κοιμῶμαι· ἐξ οὗ καὶ τὸ κεῖμαι· ὀρεσικόος τις ὤν· καὶ ἐν συγκοπῇ ὀρεσκῷος· προπερισπᾶται, καὶ διὰ τοῦ ω μεγάλου γράφεται, καὶ ἔχει τὸ ι προσγεγραμμένον· ἐπειδὴ κανών ἐστιν ὁ λέγων, τὰ διὰ τοῦ ωος κτητικὰ προπερισπῶνται, καὶ διὰ τοῦ ω μεγάλου γράφεται, καὶ ἔχουσι τὸ ι προσγεγραμμένον· ὁπότε μὴ διὰ χρείαν ποιητικὴν διασταίη τὸ ι· διὰ τὸ πατρώϊος· Τρώϊος.

Ὅττι: (Il. E. 349.) Πόσα μέρη λόγου εἰσίν; ἆρα σύνδεσμος ἢ ὄνομα; καὶ εἰ ὄνομα πότερον ἐν μιᾷ λέξει νοούμενον, ἢ ἐν δυσὶ μέρεσι λόγου παραλαμβανόμενον; ἔστιν οὖν εἰπεῖν ὅτι ὄνομά ἐστιν ἐν μιᾷ λέξει νοούμενον· οὐ δύναται γὰρ εἶναι ἄρθρον τὸ ο· ἐπειδὴ ἐναντίον ἐστὶν ἄρθρον πύσματι· τὸ γὰρ πῦσμα ἀγνοεῖ, τὸ δὲ ἄρθρον ἀναφέρει· ἔστιν οὖν ὄνομα πυσματικὸν τὶς ὅπερ προσθήκῃ τοῦ ος γίνεται ὅττις· ὁ δὲ παρασχηματισμὸς κατὰ γένος καὶ οὐ κατὰ πτῶσιν.

⊣Ὀτρηρός: (Il. A. 321.) Παρὰ τὸ τρῶ, τὸ φοβοῦμαι, ῥηματικὸν ὄνομα τρεερὸς, ὡς τήκω τακερός· σφάλλω σφαλερός· καὶ συναλιφῇ τῶν δύο εε εἰς η, τρηρός; καὶ μετὰ τοῦ στερητικοῦ α ἀτρηρὸς, καὶ τροπῇ τοῦ α εἰς ο, ὀτρηρός ὀξύνεται· τὰ εἰς ρος λήγοντα ὑπὲρ δύο συλλαβὰς ἐπιθετικὰ, ἔχοντα κατ' ἰδίαν θηλυκὸν, τῷ η παραληγόμενα, ὀξύνεται· οἷον, μοχθηρός· αἱματηρός· ἀτηρός· οὕτως οὖν καὶ ὀτρηρὸς, οὗ τὸ θηλυκὸν ἡ ὀτρηρὴ,

τὸν δ' αὖ ὀτρηρὴ ταμίη[y]. (Il. Z. 381.)

τὸ μέντοι πονηρὸς πρὸς διάφορον σημαινόμενον διάφορον καὶ τόνον ἐδέξατο· πρόσκειται ἔχοντα κατ' ἰδίαν θηλυκὸν, διὰ τὰ μονογενῆ, ταῦτα γὰρ προπαροξύνονται· οἷον, Ὅμηρος· ἄβληρος.

Ὄρσο[z]: ⊣Ἐπὶ τοῦ βουνοῦ ὄνομα οὐδέτερον· κατὰ πόσους τρόπους διαφέρουσι τὰ εἰς ος οὐδέτερα ὀνόματα τῶν εἰς ος οὐδετέρων μετοχῶν; κατὰ τρεῖς· α'· ὅτι τὰ μὲν εἰς ος οὐδέτερα

[y] Cod. *ταμία*. [z] Leg. Ὄρος.

οὐδέποτε περιττοσυλλαβοῦσι τῇ γενικῇ, εἰ μὴ τὴν ἐντέλειαν λάβωσιν· οἷον ὄρους ὄρεος,

εὖτ' ὄρεος κορυφῇσι νότος κατέχευεν ὀμίχλην. (Il. Γ. 10.)

βέλους,

βέλεος δέ σε τείρει ἀκωκή. (Il. Ν. 251.)

τείχους τείχεος,

τείχους αἰὲν ὕπερ κατ' ἀμαξιτὸν ἐσσεύοντο. (Il. Χ. 146.)

αἱ δὲ μετοχαὶ οὐδέποτε ἰσοσυλλαβοῦσιν· οἷον, τετυφὼς τετυφότος· β'· ὅτι τὰ μὲν εἰς ος οὐδέτερα βαρύνονται· οἷον, ὄρος· βέλος· καὶ ἡνίκα ἀπὸ ἀρσενικοῦ ὀξυτόνου εἰς οὐδέτερον σχηματισθῇ, ἀναβιβάζει τὸν τόνον· οἷον, στενὸς στεῖνος· ἐξ αὐτοῦ,

στεῖνος ὁδοῦ κοίλης ἴδεν Ἀντίλοχος. (Il. Ψ. 417.)

τὰ δὲ εἰς ως μετοχικὰ ὀξύνονται· γ'· ὅτι τὰ εἰς ος οὐδέτερα οὐδέποτε ὑπερβαίνουσι τὴν δισυλλαβίαν· οἷον, πέλαγος· τὰ δὲ εἰς ος μετοχικὰ καὶ ὑπὲρ τὴν τρισυλλαβίαν· οἷον, πεποιηκώς.

Οὔτις οὔτιδος: Ὁ κανὼν τὰ εἰς ις ὀνόματα δισύλλαβα μακρᾷ παραληγόμενα διὰ τοῦ δος κλίνεται· οἷον λάτρις λάτριδος· σημαίνει τὸν μισθωτόν· εὖνις εὔνιδος· οὕτως οὖν καὶ οὔτις οὔτιδος, καὶ ἐξ αὐτοῦ οὐτιδανὸς κατὰ παραγωγήν.

Ὄφελος: (Il. Ν. 236.) Οὐ κλίνεται· τὰ διὰ τοῦ ελος ὑπὲρ δύο συλλαβὰς ὄντα οὐδέτερα οὐκ εἴσιν· οἷον, ζάφελος· σκόπελος· πέμπελος· σημαίνει δὲ τὸν πολλῶν ἐνιαυτῶν ὄντα· τὰ γὰρ διὰ τοῦ ελος δισύλλαβα εἰσίν· οἷον, σκέλος· βέλος· τέλος· μέλος· ἐπεὶ οὖν τὸ ὄφελος ὑπὲρ δύο συλλαβάς ἐστιν, εἰκότως ὡς μὴ ἔχον τί μιμήσασθαι ἄκλιτον ἔμεινεν.

Ὀμβριμοεργός: (Il. Ε. 403.) Παρὰ τὸ βρι μόριον, καὶ τὸ ἔργον, πλεονασμῷ τοῦ ο· ὀξύνεται· τὰ παρὰ τὸ ἔργον συντιθέμενα, ὑπὲρ δύο συλλαβὰς ὄντα, εἰ μὲν ἀπὸ πτωτικῶν, συντίθενται, ὀξύνονται· οἷον, λειτουργός· παντουργός· πλαστουργός· δημουργός· ὀβριμοεργός· πλὴν τριῶν· πανοῦργος· Λυκοῦργος· κακοῦργος.

Ὅγε: (Il. Α. 97.) Σύνδεσμος ἐν συνθέσει ἐστὶν, ἢ ἐν παραθέσει· παράλληλος σύνταξίς ἐστι λέξεως ἑκάστης τὸν ἴδιον

τόνον φυλαττούσης· τὰ ἐπεκτεινόμενα διὰ τῆς δε τῆς[a] γε οὐκ ἐπεκτείνονται· οἷον, τοῖος τοιόσδε· τοιόστε οὐ λέγομεν· τόσος τοσόσδε, καὶ τὰ ἐπεκτεινόμενα διὰ τῆς γε, διὰ τῆς δε οὐκ ἐπεκτείνονται· οἷον ἐγὼ ἔγωγε, ἔμοιγε.

Ὄνειρος: (Il. B. 16.) Τὸ νει δίφθογγος· τὰ διὰ τοῦ ειρος ῥήματα[b] δίφθογγον οὐκ ἔχει· παρὰ τὸ ὀνῶ τὸ ὠφελῶ· τὸ ὀνῶ σημαίνει τρία· ὀνῶ τὸ ὠφελῶ, ἐξ οὗ καὶ ὄνησις, ἡ ὠφέλια·

ἔπειτα δέ κ' αὐτὸς ὀνήσεαι. (Il. Z. 260.)

καὶ τὸ μέμφομαι· ἐξ οὗ ὁ μέλλων ὀνόσω· καὶ τὸ ἀγοράζω· ἐξ οὗ καὶ τὸ ὠνησάμην.

Ὄλυμπος: (Il. A. 494.) Β′ σημαίνει· τὸν οὐρανὸν, καὶ τὸ ὄρος· παρὰ τὸ ὁλολαμπὴς εἶναι τοῖς ἄστροις ἐπὶ τοῦ οὐρανοῦ· ἢ παρὰ τὸ ὀλλύειν τοὺς ὦπας· τοῦτο δὲ ἁρμόζει καὶ τῷ ὄρει, ὡς ἀγχινέφει καὶ οὐρανομήκει ὄντι.

Ὅσφιν: (Il. A. 253.) Ἓν σ, ἐπειδὴ προτακτικόν ἐστιν· εἴωθε δὲ ὁ ποιητὴς τὰ προτακτικὰ ἀντὶ ὑποτακτικῶν χρῆσθαι, ὡς τὸ,

ἔνθα Σίσυφος ἔσκεν ὃ κέρδιστος γένετ' ἀνδρῶν. (Il. Z. 153.)

καὶ

αἰδοῖος[c], νεμεσητὸς, ὅ με προέηκε πύθεσθαι. (Il. Λ. 648.)

ἀντὶ τοῦ ὅστις· χωρὶς εἰ μὴ τὸ μέτρον κωλύσει·

ὃς μάλα πολλὰ πλάγχθη. (Od. A. 1.)

καὶ ἆρα ἀναλόγως τούτῳ χρῆται ὁ ποιητὴς, ἢ παραλόγως; ἀναλόγως· ἐπειδὴ τὰ ὑποτακτικὰ τῶν ἄρθρων ὁμοιοκατάληκτα θέλουσιν εἶναι τοῖς ἰδίοις προτακτικοῖς· τοῦ οὗ· τῷ ᾧ·

τῷ οὐ δὲ κρείων Ἀχελώϊος[d] ἰσοφαρίζει· (Il. Φ. 194.)

ἔνθεν Ἀρίσταρχος εἰδὼς ὅτι ὁ ποιητὴς προτακτικῷ χρῆται ἀντὶ ὑποτακτικῶν τὸ,

ὅσφιν[e] προΐει. (Il. A. 336.)

καὶ

ὅσφιν εὖ φρονέων. (Il. A. 253.)

δι' ἑνὸς σ.

[a] Leg. διὰ τῆς. [b] Leg. ὀνόματα. [c] Cod. αἰδοῖο.
[d] Cod. ἀγχελώϊος. [e] Leg. ὃ σφῶϊ.

Οὕτω: (Il. Α. 564.) Ἐπίῤῥημα μεσότητος· τοῦτο οὐκ ἔστιν ἐπὶ τῆς γενικῆς· σεσημείωται γάρ· τοῦτο ἀπὸ εὐθείας γίνεται· εἰ γὰρ ἀπὸ τῆς γενικῆς ἦν, ὤφειλεν εἶναι τούτως, καὶ ἐκ τοῦ εἰπεῖν τὸν τεχνικόν· "τὸ δὲ ὡς ὀξύνεται, ἐπεὶ ἀπὸ τοῦ ος γέγονεν, ὡς τὸ οὕτως ἀπὸ τοῦ οὗτος·" καὶ ὅτε μὲν ἐπιφέρεται σύμφωνον, ἐξέρχεται τὸ σ· ὅτε δὲ φωνῆεν, φυλάττεται· οὐδέποτε δὲ ἐπιφερομένου φωνήεντος ἐκβάλλεται τὸ σ· ποῖον ἐστὶν ἀναλογώτερον τὸ οὕτως ἢ τὸ οὕτω; καὶ λέγομεν τὸ οὕτως· ἐπειδὴ τὰ ἀπὸ τριγενῶν ὀνομάτων γινόμενα μεσότητος ἐπιῤῥήματα εἰς ως λήγειν ὀφείλουσιν· οἷον καλὸς καλὴ καλὸν καλῶς· φίλος φίλη φίλον φίλως· κοῦφος κούφη κοῦφον κούφως· ὅταν δὲ μὴ τριγενὲς ᾖ, εἰς ως[f] λήγουσι· οἷον κύκλος κύκλω· πρὸς πρόσω· εἴδωμεν οὖν εἰ τοῦτο τριγενές· οὗτος οὗτοι αὗται ταῦτα· οὕτως ἄρα τὸ ἀνάλογον· τὸ δὲ οὕτω κατ᾽ ἔλλειψιν τοῦ σ· δεύτερον δὲ λόγον, ὅτι τὰ εἰς ω λήγοντα ἐπιῤῥήματα οὐδέποτε φύσει μακρᾷ παραλήγονται· οἷον, ἄνω· κάτω· πρόσω· ἔξω· ἄφνω· πλὴν τοῦ εἴσω· οὕτως ἄρα τὸ οὕτω κατὰ πάθος.

Ὀμφή: (Il. Β. 41.) Τὰ εἰς φη λήγοντα δισύλλαβα ὀξύτονα ἢ τὸ α παραλήγει· οἷον ῥαφή· ταφή· βαφή· ἢ τὸ ο· οἷον, μορφή· ὀμφή· ἐτυμολογεῖται δὲ παρὰ τὸ ὂν φαίνειν.

Ὅρκιος: Δασύνεται· τὸ ο λῆγον εἰς ρω ἐπιφερομένου συμφώνου, μὴ τοῦ μυ, ψιλοῦται· οἷον, ὀργή· ὀρχηστὴς Ἀντίλοχος· σεσημείωται δύο· τὸ ὄργια καὶ τὸ ὅρκος· ἢ τὸ ο λῆγον εἰς ρω συμφώνου ἐπιφερομένου, μὴ τοῦ μυ, ψιλοῦται· οἷον, ὀρχός· ὀρφανός· ὀργή· τὸ μέντοι ὅρκος καὶ ὄργια τὰ μυστήρια δασύνεται· ἐπίορκος δὲ διατὶ ἀνεβίβασε τὸν τόνον; τὰ εἰς ος ὑπὲρ μίαν συλλαβὴν τὸν τόνον ἔχοντα ἐν τῇ συνθέσει προπαροξύνονται· χωρὶς εἰ μὴ σύνθετον ὑπάρχει ἕνεκα ἐνεργείας παροξυνόμενα· οἷον, ποικίλος παμποίκιλος· ὅρκια τὸ κι ἰῶτα· τὰ ἀπὸ τῶν εἰς ος διὰ τοῦ ιος ἐπὶ τοῦ αὐτοῦ σημαινομένου παρηγμένα, εἰ μὲν προπαροξύνονται, διὰ τοῦ ι γράφεται· οἷον κάπρος κάπριος· Αἰτωλὸς Αἰτώλιος· ὀρθὸς ὄρθιος· αἰζηὸς αἰζήϊος· ὁρκὸς ὅρκιος· εἰ δὲ ὀξύνεται, διὰ τῆς ει διφθόγγου· οἷον, ἀδελφὸς ἀδελφειός·

[f] Leg. εἰς ω.

θαμὸς θαμειός· ἀρνὸς ἀρνειός· δασύνει ὁ Ἡρωδιανός· ἐκ τοῦ ὅρος· ἐξ αὐτοῦ γὰρ ὅρκος· καὶ γὰρ οἱ ὀμνύοντες ὁρίζονται καὶ ὀμνύουσιν, ἢ παρὰ τὸ ἀρκῶ τὸ βοηθῶ· ὥσπερ γὰρ βοηθήματι αὐτῷ ἐχρῶντο οἱ ἀδικούμενοι, ἢ παρὰ τὸ εἴργω, τὸ κωλύω· ἐπισχετικὸν γάρ ἐστι τῶν παραβῆναι βουλομένων· ὅρκιον προπαροξύνεται· τὰ διὰ τοῦ ιον τρισύλλαβα προσηγορικὰ ἔχοντα πρὸ τοῦ ι δύο σύμφωνα, ἢ κατὰ σύλληψιν, ἢ κατὰ διάστασιν, προπαροξύνεσθαι θέλει, ὁπότε πρὸ τοῦ ι οὐκ ἔστιν ἀμετάβολον· οἷον, ἱστίον· κυμβίον· ἰσχίον· ἑρκίον· τὸ μέντοι ὅρκιον προπαροξυνόμενον κτητικοῦ τύπου ἔχεται· ἐπεὶ δὲ ταυτόσημόν ἐστι τῷ ὅρκῳ, παρωνύμῳ εἴδει ὑποπεπτωκέναι φαμέν· ὡς τὸ Αἰτώλιος· κάπριος· αἰζήϊος· εἶπεν ὁπότε πρὸ τοῦ ι οὐκ ἔστιν ἀμετάβολον, διὰ τοῦ ἴκριον, καὶ ἴχνιον[g].

Οὔπω: Ὁ πῶ σύνδεσμος συντασσόμενος τῇ ου ἀποφάσει, καὶ τῇ μη ἀπαγορεύσει, ὑπισχνεῖται τὸ μετὰ ταῦτα γένεσθαι τὸ συντασσόμενον αὐτοῖς πρᾶγμα· οἷον, "οὔπω ἔφαγον· οὔπω ἐδείπνησα·" μέλλων γάρ τις δειπνεῖν τοῦτο ἀποφαίνεται· τὸ γὰρ "οὐ δειπνῶ" ἀπόφασιν ποιεῖται τελείαν. τὸ δὲ "οὔπω δειπνῶ" τὸ μέλλον ὑπισχνεῖται· "μήπω περιπάτει·"

μήπω μ' ἐς θρόνον ἵζε. (Il. Ω. 553.)

τὸ γὰρ μὴ περιπατεῖν τελείαν τὴν ἀπαγόρευσιν ποιεῖται· τὸ δὲ μήπω περιπατεῖν, τὴν πρόσκαιρον ἀπαγόρευσιν τοῦ πράγματος δηλοῖ· ὑπισχνεῖται δὲ μέλλοντα ἔσεσθαι· σεσημείωται τὸ παρέλκον ἐνταῦθα κείμενον,

σοῦ δ' οὔπω·

ἔστι δὲ οὔπω ἐπίῤῥημα ἀρνήσεως ἐκ τῆς οὐ συντεθὲν ἀρνήσεως, καὶ τοῦ πῶ παραπληρωματικοῦ συνδέσμου· ὀξύνεται· ἡ ου μακρὰ πρὸ μακρᾶς οὐ περισπᾶται.

Οὐρούς: (Il. B. 153.) Παρὰ τὸ ὀρούω[h] ὀρούσω, κατὰ ἀποκοπὴν τοῦ ο, καὶ πλεονασμῷ τοῦ υ, οὐρούς· δι' αὐτῶν γὰρ διεγείρονται, καὶ καθέλκονται αἱ νῆες εἰς τὴν θάλασσαν.

Ὀδυσσῆα: (Od. E. 81.) Ὀδυσσεὺς εἴρηται ἀπὸ ἱστορίας· Ἀντικλείαν γὰρ φασὶν τὴν Ὀδυσσέως μητέρα ἔγκυμον ὁδευού-

[g] Cf. Etym. M. p. 631, 14. [h] Cod. οὐρούω.

σαν τὸν Νήριτον τῆς Ἰθάκης ὄρος, ὕσαντος πολὺ τοῦ Διὸς, ὑπὸ ἀγωνίας καὶ φόβου καταπέσουσαν ἀποτεκεῖν τὸν Ὀδυσσέα· καὶ διὰ τοῦτο ταύτης ἔτυχε τῆς ὀνομασίας.

Οὔ σε ἔοικε: (Il. B. 190.) Τὶ διαφέρουσιν αἱ ἐγκλινόμεναι ἀντωνυμίαι τῶν ὀρθοτονουμένων; ὅτι αἱ μὲν ὀρθοτονούμεναι ἀντωνυμίαι διαστολὴν ἔχουσι τοῦ ἑτέρου προσώπου· οἷον, "ἐμοὶ ἔδωκας καὶ οὐκ ἄλλῳ· ἐμοῦ ἤκουσας καὶ οὐκ ἄλλου" αἱ δὲ ἐγκλινόμεναι ἀπόλυτα πρόσωπα δηλοῦσι·

οὔ σε ἔοικε. (Il. B. 190.)

καὶ

ὥς σεο νῦν ἔραμαι. (Il. Γ. 446.)

Ὁμοκλήσασκε: (Il. B. 199.) Γίνεται παρὰ τὸ ὁμοκλὴ, καὶ σημαίνει τὴν ἀπειλὴν, παρὰ τὸ κέλω, τὸ προστάσσω, καὶ τὸ ὁμοῦ γίνεται ὁμοκλέη· καὶ ἐν συγκοπῇ ὁμοκλή· ἢ ἀπὸ τοῦ καλῶ ἐν συνθέσει ῥῆμα, κατὰ συγκοπὴν ὁμοκλῶ· ὁ μέλλων ὁμοκλήσω, ὁ ἀόριστος ὡμόκλησα, καὶ τὸ τρίτον ὡμόκλησε, καὶ ὁμοκλήσασκε συναρχόμενον· ἰστέον δὲ ὅτι ταῦτα Ἰωνικῶς γινόμενα διὰ τοῦ σκ κατὰ τὸ τρίτον πρόσωπον ἀπὸ μὲν βαρυτόνου ὄντα ἔχουσι φωνῆεν πρὸ τοῦ σκ τὸ ε· οἷον τύπτεσκε· λέγεσκε· λάκεσκε· ὑπεσταλμένου τοῦ πρώτου ἀορίστου, περὶ οὗ μετ' ὀλίγα εἰρήσεται· καὶ τὰ τῆς πρώτης συζυγίας τῶν περισπωμένων καὶ τὰ τῆς πρώτης τῶν εἰς μι, ὁμοίως τὸ ε ἔχουσι πρὸ τοῦ σ καὶ κ· οἷον ποιέεσκε· τίθεσκε· τὰ δὲ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων ἐν τῷ παρακειμένῳ[1] μόνῳ τὸ α ἔχουσι πρὸ τοῦ σκ· οἷον βοάασκε· γέλασκε· ἐν δὲ τῷ β' ἀορίστῳ, ἐὰν ὅλως γένωνται, τὸ ε ἔχουσι πρὸ τοῦ σκ· οἷον μυκῶ μυκᾷς, ἔμυκον μύκεσκε· τὰ δὲ τῆς δευτέρας συζυγίας τῶν εἰς μι, καὶ ἐν τῷ παρατατικῷ, καὶ ἐν τῷ δευτέρῳ ἀορίστῳ διὰ τῆς πρώτης ἐκφέρεται πρὸ τοῦ σκ· οἷον ἵστημι, ἵστην, ἔστην, στάσκε· τὰ δὲ τῆς τρίτης συζυγίας τῶν περισπωμένων καὶ εἰς μι, διὰ τοῦ ο ἐκφέρονται πρὸ τοῦ σκ· οἷον ἐχρυσοῦν ἐχρύσοσκεν· ἔδιδων ἐδίδοσκε· τὰ δὲ τῆς τετάρτης συζυγίας τῶν εἰς μι συστέλλουσι τὸ δίχρονον μόνον πρὸ τοῦ σκ· οἷον ζεύγνυμι ἐζεύγνυον ἐζεύγνυ ζεύγνυσκε· ἔδυν ἔδυς ἔδυσκε· ὁ δὲ

[1] Leg. παρατατικῷ.

πρῶτος ἀόριστος ἐπὶ τῶν βαρυτόνων, καὶ ἐπὶ τῶν περισωμένων, καὶ ἐπὶ τῶν εἰς μι, τὸ α ἔχει πρὸ τοῦ σκ· οἷον τλάσκε· γράψασκε· βοήσασκε· φήσασκε· πτήσασκε· καὶ τοῦτο εἰκότως· τὸ γὰρ κεχρεωστήμενον α τῷ τρίτῳ προσώπῳ ἀνεδέξατο ἐνταῦθα· τὸ γὰρ τρίτον πρόσωπον τοῦ α′ ἀορίστου, ὡς ἐν τοῖς προλαβοῦσιν εἴρηται, διὰ τοῦ α′ ὤφειλεν εἶναι· οἷον, "ἐτύψαε ἐκεῖνος," ἀποβολῇ τοῦ σ· ἀλλ' ἐπειδὴ, ὡς εἴρηται, οὐκ ἐδύναντο τὸ τρίτον πρόσωπον ὁμοφωνεῖν κατὰ τὸν αὐτὸν ἀριθμὸν, καὶ τὴν αὐτὴν διάλεκτον καὶ τροπὴ παρηκολούθησε τοῦ α εἰς ε, καὶ γίνεται ἔτυψεν· ἐνταῦθα δὲ ἐπειδὴ προσερχομένου τοῦ σκ οὐκ ἔτι γίνεται ὁμοφωνία τῶν τρίτων προσώπων πρὸς τὸ πρῶτον πρόσωπον, προσῆλθε τὸ κεχρεωστημένον α· οἷον, τύψασκε· ποιήσασκε· ταῦτα δὲ οἱ Ἴωνες προσόδῳ[h] τοῦ α, καὶ συστολῇ τῆς ἀρχούσης· οἱ δὲ ποιηταὶ κατὰ μίμησιν τῶν Ἰώνων πολλάκις καὶ τὸ πρῶτον καὶ τὸ δεύτερον πρόσωπον ποιοῦσιν· οἷον, τύπτεσκον· χαίρεσκον· τύπτεσκε καὶ χαίρεσκε· λέγει δὲ ὁ Ἄμβρων ὅτι εἴτι προλαμβάνουσι ταῦτα κατὰ τὸ τέλος, ἀποβάλλουσι κατὰ τὴν ἄρχουσαν· καὶ γὰρ ἔτυπτε ποιοῦσιν οἱ Ἴωνες τύπτεσκεν· ἀποβάλλοντες ἐκ τῆς ἀρχούσης συλλαβὴν, καὶ προτιθέντες κατὰ τὸ τέλος· διὰ τοῦτο τὸ ἔτυπτεν ἐν τῷ τύπτεσκεν ἀποβάλλει τὸ ε τῆς ἀρχούσης, ἐπειδὴ τὰ ποιητικὰ καὶ Ἰωνικὰ ταῖς ἰδίαις μετοχαῖς θέλουσι συνάρχεσθαι· οἷον ἔτυπτε,

τύπτε δ' ἐπιστροφάδην. (Od. X. 309.)

πρὸς τὴν τύπτων μετοχήν· ἥψατο,

ἅψατο δ' ἡμιόνων ταλαεργῶν. (Il. Ψ. 666.)

πρὸς τὴν ἅψας μετοχήν· ἤκουσα, ἄκουσα, πρὸς τὴν ἀκούσας μετοχὴν,

πολλάκι γάρ σεο πατρὸς ἐνὶ μεγάροισιν ἄκουσα. (Il. A. 396.)

διὰ τοῦτο δὲ εἶπε ταῖς ἰδίαις μετοχαῖς, καὶ τοῖς ἰδίοις ἐνεστῶσι· διὰ τὸ εἴπεσκε· τοῦτο γὰρ τῇ εἰπὼν μετοχῇ συνάρχεται, οὐ μὴν τῷ ἐνεστῶτι· ἔπω γάρ ἐστιν ὁ ἐνεστὼς, ἐξ οὗ τὸ ἐνέπω[i].

Οὐ μέν πως: Τὸ μὲν ὀξύνεται, ἐπειδὴ αἱ ὀξύτονοι λέξεις, αἱ διὰ τὴν συνέπειαν τρέπουσαι τὴν ὀξεῖαν εἰς βαρεῖαν, ἐπιφε-

[h] Cod. προσώδω. [i] Hæc fere habet Etym. M. p. 624, 24. sed plen. est noster. quocum facit etiam Gud. p. 428.

ρομένου ἐγκλιτικοῦ μορίου, τὴν ἰδίαν φυλάττουσι τάσιν· οἷον,

Ζεύς δ' ἐπεὶ οὖν. (Il. N. 1.)

καὶ

Ζεύς με μέγα Κρονίδης. (Il. B. 111.)

καὶ

οὐ μέν πως πάντες βασιλεύσομεν[k]. (Il. B. 203.)

τὴν γὰρ βαρεῖαν εἰς ὀξεῖαν μετήνεγκεν.

Οἷ σέο: (Il. B. 201.) Ὀρθοτονεῖται ἡ οἷ ἀντωνυμία ἢ ἐγκλίνεται; ὀρθοτονεῖται· καὶ τί διαφέρει τὰ ἄρθρα τὰ προτακτικὰ τῶν ὑποτακτικῶν· τὸ γὰρ οἱ ἄρθρον ἦν ἀλλ' ἔστιν ἀντωνυμία· τὰ γὰρ ἄρθρα μὴ ἐπαγομένου ὀνόματος ᾧ ὑποταγῶσι μετάγονται εἰς ἀντωνυμίαν· διαφέρει, ὅτι τὸ μὲν προτάσσεται, καὶ δασύνεται μόνον· τὸ δὲ ὑποτάσσεται, καὶ δασύνεται, καὶ ὀξύνεται.

Οἳ δὴ νῦν ἕαται σιγῇ: (Il. Γ. 134.) Τὸ οι ἀντωνυμία· σημαίνει δὲ τὸ οὗτοι· ἔχει δὲ τὴν ἀναφορὰν πρὸς τὸ,

οἳ πρὶν ἐπ' ἀλλήλους. (Il. Γ. 132.)

ἔστι δὲ τοῦτο ἄρθρον ἀντὶ τοῦ, οἵτινες ἐν τῷ πεδίῳ τοῦ ὀλεθρίου πολέμου ἐπιθυμοῦντες οὗτοι ἡσυχῶς καθέζονται.

Οὐκί: (Il. B. 238.) Ἐπίρρημα ἀρνήσεως· καὶ οἱ Ἴωνες, ὡς καὶ προείρηται, ἀντὶ τῶν δασέων τοῖς ψιλοῖς χρῶνται· τὸ γὰρ ἀφικόμεσθα ἀπικόμεσθα ἐκεῖνοι· καὶ τὸ εἴληφα, τὸ δασυνόμενον, ἐκεῖνοι ἀπειλήφασιν λέγουσιν· οὕτως καὶ τὸ οὐχὶ ἐκεῖνοι οὐκὶ λέγουσιν.

Ὀψιτέλεστον: (Il. B. 325.) Ὄνομα οὐδέτερον ἐκ τοῦ ὀψὲ, καὶ τὸ τέλεστον, ὅπερ ἐκ τοῦ τελῶ, τελέσω· τὸ δὲ ὀψὲ ἐκ τοῦ ἄψ· ὥσπερ δὲ πρωΐα λέγεται παρὰ τὸ εἰς τὸν οἶκον προϊέναι, οὕτως καὶ ὀψὲ, τὸ βραδὺ, γίνεται ἐκ τοῦ ἄψ· ὁ εἰς τοὐπίσω ἐπαναστρέφων· τὸ δὲ ὀψὲ οὐ σημαίνει τὸν τῆς ἑσπέρας καιρὸν, ἀλλὰ τὸ βραδὺ, καὶ τὸ τοῦ χρόνου, ἤγουν τοῦ ὄρθρου· λοιπὸν ἐκ τοῦ ἂψ, ὃ σημαίνει τὸ πάλιν, τροπῇ τοῦ α εἰς ο γίνεται ὀψὲ, καὶ ἐξ αὐτοῦ γίνεται κατὰ μεταπλασμὸν ὄψι βαρύτονον· ἐπειδὴ κανὼν ἐστὶν ὁ λέγων, ὅτι τὰ εἰς ι λήγοντα ἐπιρρήματα, συνεσταλμένον ἔχοντα τὸ ι, βαρύνεσθαι θέλει· οἷον, ἶφι· αὖθι·

[k] Cod. βασιλεύς.

νόσφι· κεῖθι· μέχρι· ἄχρι· ἦρι· ἄρτι· ἔτι· ὅτι· ὅθεν τὸ χωρὶς ἀποβάλλων τὸ σ διὰ τὸν κανόνα τοῦτον βαρύνεται· χῶρι γὰρ λέγομεν· οὕτως οὖν καὶ ὄψι· πρόσκειται συνεσταλμένον ἔχοντα τὸ ι, διὰ τὸ δευρὶ, καὶ νυνί· ταῦτα γὰρ μακρὸν ἔχουσι τὸ ι· σεσημείωται τὸ οὐχί· τοῦτο δὲ ὅτι παραλόγως ἐστίν· ὥσπερ γὰρ ἀπὸ τοῦ ἧ, ὃ σημαίνει τὸ ὅπου, ἐπεκτάσει τῆς χι συλλαβῆς γίνεται ἦχι· οὕτως καὶ παρὰ τὴν οὐ ἄρνησιν, ἐπεκτάσει τῆς χι συλλαβῆς, ὤφειλεν εἶναι οὐχὶ βαρύτονον, ἀλλ' ἐπειδὴ παραλόγως ὠξύνθη ἡ οὐ, εἰκότως καὶ μετὰ τῆς χι ἐπεκτάσεως ἡ αὐτὴ παραλογία ἐφυλάχθη· τὸ πρωῒ ἀναλογώτερόν ἐστι παρὰ τῷ ποιητῇ βαρυτόνως λεγόμενον· ὡς τὸ,

πρῶϊ δ' ὑπ' ἠοῖοι. (Il. Θ. 530.)

λοιπὸν ἐκ τοῦ ὄψι, καὶ τὸ τέλεστον, γίνεται ὀψιτέλεστος· καὶ ἀναβιβάζει τὸν τόνον· τὰ εἰς ος ὀξύτονα ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον, χωρὶς εἰ μὴ διὰ σημασίαν τινὰ κωλυθῇ, διὰ τὸ λοιγὸς βροτολοιγὸς, καὶ χωρὶς τῶν ἐθνικῶν, διὰ τὸ Βοιωτὸς φιλοβοιωτός· Ἀχαιὸς παναχαιός· καὶ χωρὶς τοῦ ἰατρός· τοῦτο γὰρ φυλάσσει τὸν τόνον ἐν τῇ συνθέσει.

Ὃ οἵ: Ὃ ἄρθρον, οἳ ἀντωνυμία.

Ὅς: Ὁ ποιητὴς ποίῳ χρᾶται; καὶ εἴρηται ὅτι τῷ προτακτικῷ, ἢ ὑποτακτικῷ, χωρὶς εἰ μὴ διὰ τὸ μετρὸν πολλάκις τῷ ὑποτακτικῷ·

ὃ σφιν εὖ φρονέων. (Il. A. 253.)

ὃ καὶ σφίν.

Ὀδύρω: Ἐκ τοῦ ὀδύνη γίνεται ὀδύνω ῥῆμα· καὶ τροπῇ τοῦ νυ εἰς ῥῶ, γίνεται ὀδύρω, καὶ ὀδυρόμενος· τὸ ἐνεργητικὸν οὐχ εὕρηται· τὸ ὀδύρομαι μετὰ αἰτιατικῆς,

ὀδύρεται[1] φίλα τέκνα. (Il. B. 315.)

Ὀρίνω: (Il. B. 142.) Τὸ ρι ἰῶτα· τὰ διὰ τοῦ ινω ῥήματα ὑπὲρ δύο συλλαβὰς, μὴ ἔχοντα ἀναφαινόμενον τὸ ε ἐν τῷ μέλλοντι, διὰ τοῦ ι γράφεται· ἢ ὅτι εὕρηται κλινόμενον ἄχρι τοῦ μέλλοντος· τὰ γὰρ διὰ τοῦ εινω ῥήματα ὑπὲρ δύο συλλαβὰς

[1] Leg. ὀδυρομένη.

διὰ τῆς ει διφθόγγου γράφεται, μόνα ἄχρι τοῦ παρατατικοῦ κλίνεται· τοῦτο δὲ ὅτι εὑρέθη διὰ τοῦ ι γίνεται τὸ ὀρίνω καὶ ὠδίνω· τούτου χάριν καὶ ἐπὶ τοῦ μέλλοντος κλίνεται· ὀρίνω ἐκ τοῦ ὄρω, τὸ διεγείρω, ὀρύω καὶ ὀρίνω, τροπῇ τοῦ υ εἰς τὸ ι, ὡς κινῶ κινύω· κανὼν ἐστὶν ὁ λέγων, ὅτι τὰ εἰς ω λήγοντα ῥήματα εἴτε βαρυτονεῖται, εἴτε περισπᾶται, διὰ τοῦ υ βραχυνομένου ἐπεκτείνεται παρὰ τοῖς Ἴωσιν· οἷον κινῶ κινύω· παρὰ τὸ κίω κινῶ· φορῶ φορύω, ἐξ οὗ καὶ κατὰ παρένθεσιν Δωρικὴν τοῦ νυ φορύνω.

Ὄρουσε : (Il. B. 310.) Ῥῆμα ἐστίν· ὀρούω, τὸ ὁρμῶ, ἐκ τοῦ ὄρω, τὸ διεγείρω· καὶ ὥσπερ ἀπὸ τοῦ πλήθω πληθύω, οὕτως καὶ ἀπὸ τοῦ ὄρω ὀρύω· καὶ πέφυκε τὸ υ πλεονάζειν ἐν τοῖς ῥήμασιν, καὶ γίνεται ὀρύνω, καὶ πλεονασμῷ τοῦ τ ὀτρύνω· ἔστιν ὀρύω, καὶ πλεονασμῷ τοῦ ο Βοιωτικῶς, γίνεται ὀρσύω· οἱ γὰρ Βοιωτοὶ τότε πλεονάζουσι τὸ ο τῷ υ στοιχείῳ, ἡνίκα τὸ ο οὐχ ὑποτάσσεται φωνήεντι· οἷον, κῦνες κοῦνες, καὶ τὸ κῦμα κοῦμα· οὕτως καὶ τὸ εἴληθα εἰλήλυθα, καὶ πλεονασμῷ τοῦ ο, εἰλήλουθα, καὶ τὸ πληθυντικὸν εἰληλούθαμεν, καὶ ἐν συγκοπῇ εἰλήλουθμεν· ἡνίκα δὲ οὐχ ὑποτάσσεται τῷ υ φωνήεντι, οὐ πλεονάζουσι τὸ ο· οἷον, εὐνή· αὐλή[m].

Ὄζος : (Il. A. 234.) Ἐκ τοῦ ἵζω, τὸ καθίζω· οἱονεὶ, τὸ καθήμενον καὶ ἐμπεπαρμένον τῷ ξύλῳ· λέγεται δὲ μεταφορικῶς καὶ ἐπὶ τῆς γενεᾶς· ἣ εἰς ὃν κάθηνται οἱ νεοσσοί.

Οἷο κασιγνήτοιο[n] : (Il. Γ. 333.) Ἡ εὐθεῖα ὃς οὗ, καὶ Ἰωνικῶς οἷο· οἱ Ἴωνες καὶ οἱ Θετταλοὶ τὰς εἰς ου γενικὰς, τὰς ἀπὸ τῶν εἰς ος εὐθείων γινομένας, διὰ τοῦ οιο προφέρουσιν.

Ὀρνύω : (Il. Γ. 267.) Καὶ ὄρνυμι ἐξ αὐτοῦ· ἐκ τοῦ ὄρω, τὸ διεγείρω, ὀρύω, καὶ πλεονασμῷ τοῦ ν Δωρικῶς ὀρύνω, καὶ ἐν ὑπερβιβασμῷ ὀρνύω, καὶ ὄρνυμι, καὶ ὤρνυτο.

Ὄβριμος : (Il. Δ. 453.) Τὸ βρι ἰῶτα· τὰ διὰ τοῦ ιμος παράγωγα, ὑπὲρ δύο συλλαβὰς, μὴ ὄντα παρὰ τὸ σχῆμα, καὶ φημὶ, καὶ σῆμα συγκειμένων, διὰ τοῦ ι γράφεται· γίνεται ἐκ τοῦ βρι ἐπιῤῥήματος, σημαίνοντος τὸ μεγάλως καὶ ἰσχυρῶς·

[m] Cf. Etym. M. p. 632, 49. [n] Cod. κασιγνή.

γίνεται βρίμος, καὶ πλεονασμῷ τοῦ ο· ἐκ δὲ τοῦ βρίμος ῥῆμα βριμῶ, καὶ μετὰ τῆς ἐν προθέσεως ἐμβριμῶ, σημαίνει δὲ τὸ ἐπιτιμῶ· τὸ βρι ι ἀπὸ τοῦ βρι ἐπιῤῥήματος·

Οἰμώζω: (Il. E. 68.) Ἐκ τοῦ ὤμοι σχετλιαστικοῦ ἐπιῤῥήματος· ὅπερ οὐκ ἔχει τὸ ι προσγεγραμμένον· ἔστι γὰρ ὦ σχετλιαστικὸν ἐπίῤῥημα, ἐξ οὗ τὸ ὤζω· ἐκ γοῦν τοῦ ὤμοι ἐπιῤῥήματος γίνεται καθ' ὑπερβιβασμὸν οἰμώζω· ὁ παρατατικὸς ὤμωζον, καὶ ὤμωξα· διφορεῖται· τὸ ζω μέγα· ζήτει εἰς τὸ ἁρμόζω· ψιλοῦται ὡς σχετλιαστικόν.

Οὔτις: (Il. A. 88.) Τὸ οὐ ἐπίῤῥημα· τὸ τὶς ἀόριστον· τὸ δὲ οὖτις ἐπὶ τοῦ Ὀδυσσέως (Od. I. 366.) ἀντὶ τοῦ ὀνόματος κυρίου λαμβάνεται· καὶ ἔστιν ἓν μέρος λόγου, καὶ περισπᾶται.

Ὀλοώτερος: (Il. Γ. 365.) Ἐκ τοῦ ὀλόος· ἔστι δὲ συγκριτικὸν ἀντὶ ἁπλοῦ, τὸ γὰρ δικαιότατος καὶ ὀλοώτατος παρὰ τῷ ποιητῇ ἀντὶ ἁπλοῦ παραλαμβάνονται· τύπου γάρ ἐστι συγκριτικοῦ· σημαίνει δὲ ὡς ἀντὶ ἁπλοῦ παραλαμβάνεται.

Οὕνεκα: (Il. A. 11.) Σύνδεσμος αἰτιολογικὸς, σχήματος ἁπλοῦ· ἔχει δὲ ἔννοιαν σύνθετον ἀντὶ τοῦ οὕτινος ἕνεκα· ἀλλὰ κανὼν ἐστὶν ὁ λέγων, τὰ ἐν ἀνταποδόσει τοῦ τ[o] παραλαμβανόμενα, ἁπλᾶ καθεστήκασιν· οἷον, τέως· ἕως· τόσος· ὅσος· τὸ οὗ ἕνεκα ἐν ἀνταποδόσει τοῦ τ παραλαμβανόμενον τοὔνεκα· τούτου χάριν ἐν ἁπλότητι καθέστηκε.

Οἴκαδε: (Il. A. 19.) Ἐπίῤῥημα τοπικὸν τῆς εἰς τόπον· καὶ διατί ἐστι πρότερα ἡ ἐν τόπῳ· ἐπειδὴ εἰ μὴ ἐν τόπῳ ᾖς, εἰς τόπον οὐ δύνασαι ἀπελθεῖν.

Οἴχομαι: (Il. E. 472.) Παρὰ τὸ ἔχω, τὸ ἐλαύνω· οἴχω· ἢ παρὰ τὸ εἴκω, οἰκῶ, οἰκοῦμαι, καὶ τροπῇ τοῦ κ εἰς χι, καὶ ἀποβολῇ τοῦ υ.

Ὅ: Ἄρθρον ὑποτακτικὸν μεταχθὲν εἰς ἀντωνυμίαν ἀναφορικήν· ἔθος γὰρ τῷ ποιητῇ τὰ ὑποτακτικὰ τῶν ἄρθρων εἰς ἀντωνυμίαν μετάγειν ὅτε οὐκ ἔχει ὄνομα ὑποκείμενον εἰς ὃ συνταχθῇ· τὸ δὲ "ἕνεκά σφιν" ἀντὶ τοῦ χάριν· τὸ δὲ "ἐπετοξά-

[o] Male Etym. M. p. 641, 46. τούτοις et mox τούτου.

ζοντο," ἀντὶ τοῦ "ἐτόξαζον" "τὸν δ' ἀπαμειβόμενος" ἀντὶ τοῦ "πρὸς τοῦτον δέ·" σημαίνει τὸ ο ἕξ· ἄρθρον προτακτικὸν καὶ ὑποτακτικόν· καὶ ἀντὶ τοῦ οὗτος ἀντωνυμία γ' προσώπου ἀναφορικοῦ· "ὁ γὰρ βασιλῆϊ" ἀντὶ τοῦ τούτου·

> ὁ μὲν οὔτι τόσσον τελέθει κακὸν ἔνδοθι μίμνον·

τουτέστι, νῦν δὲ τοῦτο μὲν ὑπάρχει κακόν· ὃ ἀντὶ τοῦ ὅτι·

> λεύσετε γὰρ τόγε πάντες ὅ μοι γέρας ἔρχεται ἄλλῃ. (Il. A. 120.)

ἀντὶ τοῦ διό·

> τοῦ γὰρ καὶ πατρός, ὃ καὶ πεπνυμένα βάζεις. (Od. Δ. 206.)

Ὀϊστοί: (Il. A. 46.) Τὰ βέλη· ἤτοι τὰ τόξα· εἴρηται δὲ τόξον, ὅταν τείνηται ἐν τῇ νευρᾷ· παρὰ τὸ τάζω, τὸ τανύω· τάξον καὶ τόξον· ὀϊστὸς δέ, ὅταν φέρηται καὶ βαστάζηται· οἰστὸς παρὰ τὸ οἴω, τὸ κομίζω καὶ φέρω· καὶ ἐν διαλύσει ὀϊστός· ἰὸς δὲ παρὰ τὸ ἵημι, τὸ πέμπω· ὅταν μακράν που πέμπηται ἀπὸ τῆς νευρᾶς· βιὸς δὲ ἀπ' αὐτῆς τῆς βίας, ἤτοι τῆς συντονίας· εἴρηται καὶ ὅτι οἱ ἀρχαῖοι δι' αὐτοῦ τὰ πρὸς τὸν βίον εἶχον, θηρῶντες ἢ κυνηγετῶντες.

Οὐρῆας: (Il. A. 50.) Παρὰ τὸ ὄρος ὀρεύς· ὡς ἡνίοχος ἡνιοχεύς· λέγεται γὰρ ἐν ὄρεσσι μᾶλλον δύνασθαι ἐργάζεσθαι· κατὰ πλεονασμὸν τοῦ υ, οὐρεύς, καὶ ἡ γενικὴ οὐρῆος κατὰ Ἴωνας, καὶ οὐρῆας.

Οὐλομένην: (Il. A. 2.) Ὄνομα μετοχικόν, ἀπὸ παθητικοῦ, τοῦ οὐλομένος, οὐλομένη· καὶ ἡ αἰτιατικὴ οὐλομένην· γίνεται ἀπὸ τοῦ ὀλῶ, ὀλέσω, ὀλουμένη, καὶ ἐν ὑπερβιβασμῷ οὐλομένη· καὶ οὐκ ἀπὸ τοῦ οὔλω καθώς τινες φασίν· οὐδὲν γὰρ διὰ τοῦ ουλω βαρύνεται· πλὴν τοῦ βούλω· ἢ παρὰ τὸ ὄλλω, τὸ ἀπολλύω, πλεονασμῷ τοῦ υ· εἶπε δὲ τοῦτο ἀντὶ ἐπιθετικοῦ ὀνόματος τοῦ ὀλόην· ὡς γὰρ τουναντίον ἐπὶ τοῦ,

> ψάμμῳ κυανέην. (Od. M. 243.)

ὃ καὶ χωρὶς τοῦ ι γράφεται· σημαίνει γὰρ ψάμμῳ κυανίζουσαν· γέγονε δὲ ἀπὸ τῆς μετοχῆς ὄνομα, ὥσπερ δὲ τὸ ἡγουμένη καὶ τὸ ἐρωμένη· μετὰ μὲν γὰρ τῆς ὑπὸ προθέσεως συντασσομένη δηλοῖ μετοχήν· οἷον, "ἐρωμένη ὑπὸ Δίωνος" ἀπολύτως δὲ λεγομένη λαμβάνει ὀνοματικὴν σύνταξιν· ἄλλως· ἢ ἐστιν ὄλλω

τὸ ἀπόλλω· ἐκ τούτου γίνεται ὀλῶ, ὀλεῖς, ὀλεῖ, πρώτης συζυγίας τῶν περισπωμένων· ἢ παρὰ τὸ ἕλω τὸ φονεύω· ὀλῶ· ὡς πέλω, τὸ ὑπάρχω, ἀπολλῶ· μένω μονῶ· πέτω ποτῶ· στρέφω στροφῶ· ὀλῶ οὖν ὀλέσω, καὶ ἡ μετοχὴ παθητικὴ τοῦ θηλυκοῦ οὐλομένη[p]· καὶ ὑπερθέσει τῆς συλλαβῆς, οὐλομένη· σημαίνει δὲ τὴν ὀλεθρίαν· καὶ ἐστὶ μετοχὴ ἀντὶ ὀνόματος, ὡς καὶ τουναντίον ὄνομα ἐστὶν εὑρεῖν ἀντὶ μετοχῆς· οἷον,

ψάμμῳ κυανέη. (Od. M. 243.)

ἀντὶ τοῦ κυανίζουσα.

Ὀλέκοντο: (Il. A. 10.) Παρὰ τοῖς Ἴωσι ἀρχομένη ἀπὸ τοῦ ο· καὶ ἐστὶν ἄκλιτον· τὰ δὲ τοιαῦτα μέλλοντας οὐκ ἔχουσιν, ἐπειδὴ ἀπὸ μελλόντων μετήχθη· οἷον,

ὄρσεο Λαομεδοντιάδη. (Il. Γ. 250.)
ἄξετε Πριάμοιο βίην. (Il. Γ. 105.)

γέγονε δὲ, ὥσπερ ἀπὸ τοῦ ἀρῶ, ἀρέσω ἀρέσκω, πλεονασμῷ τοῦ κ, καὶ ἀπὸ τοῦ μεθύω, μεθύσω μεθύσκω, οὕτως καὶ ἀπὸ τοῦ ὀλῶ, ὀλέσω ὀλέσκω, καὶ ἐνδείᾳ[q] τοῦ σ ὀλέκω.

Ὄου: (Il. B. 325.) Ἄρθρον ὑποτακτικόν· τὸ δὲ ο πλεονάζειν λέγεται· λέγει δὲ ὁ Ἡρωδιανὸς ὅτι ὁ πλεονασμὸς τὸν οἰκεῖον τόνον φυλάττει· οἷον ἥνδανεν ἑήνδανεν· ὥρακα ἑώρακα· εἰ ἄρα οὖν καὶ τὸ ο κατὰ πλεονασμὸν ἐγένετο, ὤφειλεν εἶναι ὁοῦ περισπωμένως· οὐκ ἔστι δὲ πλεονασμὸς, ἀλλὰ διαίρεσις· καὶ τί διαφέρει διαίρεσις πλεονασμοῦ; ὅτι ὁ μὲν πλεονασμὸς τὸν αὐτὸν τόνον φυλάττει· οἷον, εἴκοσιν ἐείκοσιν· ὥρακα ἑώρακα· ἡ δὲ διαίρεσις ἐναλλάσσει τὸν τόνον· οἷον, ἧς, ὃ σημαίνει τῆς ἰδίας, γίνεται ἕης,

ἕης τὸ πρίν γ' ἐράασθε. (Il. Π. 208.)

ἀγοροῶντο ἠγορόωντο· οὕτως οὗ ὅου· δασύνεται τὸ ο· λέγει ὁ Ἡρωδιανὸς ὅτι τὰ πλεονάζοντα φωνήεντα ἐν λέξεσι ταῖς ἀπὸ φωνήεντος δασυνομένου ἀρχομέναις, μεταληπτικὰ γίνονται τοῦ δασέος πνεύματος· οἷον ἥνδανεν ἑήνδανεν, καὶ τὰ ἑξῆς.

Οὐλοχύτης: (Il. A. 449.) Ἐκ τοῦ οὔλη βαρυτόνου· ὃ ση-

[p] Leg. ὀλουμένη. [q] Cod. ἐνδία.

μαίνει τὴν κριθήν· τοῦτο ἐκ τοῦ οὖλος· σημαίνει δὲ τὸ ὁλόκληρον· ὡς τὸ,

ἄρτον οὖλον ἑλών. (Od. Ρ. 343.)

ἀντὶ τοῦ ὁλόκληρον· καὶ ἐξ αὐτοῦ οὔλη· πρὸ γὰρ τοῦ εὑρεθῆναι τὸν Δημητριακὸν σῖτον, ὁλοκλήρους τὰς κριθὰς ἤσθιον· σημαίνει τέσσαρα· οὖλος ἐκ τοῦ ὅλος, πλεονασμῷ τοῦ υ· καὶ οὖ[r] βαρυτόνως ἐπὶ τῆς κριθῆς· ὀξυτόνως δὲ οὐλὴ ἐπὶ τοῦ ἕλκους· ἐκ τοῦ οὔλη οὖν καὶ τοῦ χύω, οὐλοχύτης· τὸ λο μικρόν· ὡς ἔστιν ὁ κανὼν ἐν τῷ βουληφόρος.

Οἰωνοῖσι: (Il. Α. 5.) Ὥσπερ παρὰ τὸ κοινῶ κοινωνὸς, οὕτως καὶ ἀπὸ τοῦ οἰῶ, τὸ μονῶ, οἰώσω οἰωνός· ὁ παρακείμενος οἴωκα, οἴωμαι, ᾠοιώθην, τὸ ἐμονώθην· τὸ οι δίφθογγον παρὰ τὸ οἶος· τὸ οι δίφθογγος· ζήτει εἰς τὸ γελοῖος· τὸ δὲ οἶος παρὰ τὸ ἴος, ὁ μόνος, πλεονασμῷ τοῦ ο.

Ὀβελός: (Il. Α. 465.) Τὸ ο μικρόν· πλεονασμός ἐστιν· ἔστι βάλλω ῥῆμα· καὶ ἀπὸ τούτου τοῦ ῥήματος τρία γένη γίνονται· ἐκ τοῦ βάλλω γίνεται βολὴ, καὶ βουλή· καὶ βάλλω βέλος· ὀξύτονον· καὶ πλεονασμῷ τοῦ ο ὀβελός· καὶ βέλος οὐδέτερον· τὸ βε ψιλόν· τὰ διὰ τοῦ ελος ὡς εἴρηται.

Ὄρνιθοι: (Od. Ε. 51.) Παρὰ τὸ ὄρω, τὸ διεγείρω· οὐδὲν γὰρ ἄλλο ὁρμητικωτερὸν τοῦ ζώου· κλίναι ὄρνις ὄρνιθος· ὁ κανών· τὰ εἰς λήγοντα ἔχοντα πρὸ τοῦ ι δύο ἀμετάβολά τινα, διὰ τοῦ θος κλίνονται· οἷον δέλλις δέλιθος[s] εἶδος δέ ἐστι ζώου ὅμοιον μελίσσῃ· ἕλμινς ἕλμινθος· οὕτως καὶ ὄρνις ὄρνιθος· τὸ νις βραχύ· τὰ εἰς ις βαρύτονα, εἴτε ἀρσενικὰ, εἴτε θηλυκὰ, συστέλλει τὸ ι· τὸ ὄρνις Ἀττικοὶ ἐκτείνουσιν, ὥστε βραχύ ἐστιν· ἐπὶ δὲ τῆς γενικῆς μακρόν· κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι οὐδέποτε παραλήγουσα περιττοσυλλάβου γενικῆς μείζων τῆς ληγούσης τῆς ἰδίας εὐθείας εὑρίσκεται, πλὴν τοῦ ὄρνις ὄρνιθος· ὥστε ἐμάθομεν ὅτι ἐπὶ τῆς εὐθείας βραχύ ἐστι τὸ ι· ἐπὶ δὲ τῆς γενικῆς μακρόν· ἰστέον δὲ ὅτι τὸ ὄρνις καὶ τὸ πετηνὸν γενικά εἰσι· τὰ δὲ εἰδικὰ ταῦτα· χήν· γέρανος[t].

Ὀνομήνω: (Il. Β. 488.) Ῥῆμα ὑποτακτικὸν ἐκ τοῦ ὀνο-

[r] Leg. οὔλη. [s] Sic Cod. [t] Cf. Etym. M. p. 632.

μαίνω· ὥσπερ παρὰ τὸ πῆμα γίνεται πημαίνω, καὶ κάρα καραίνω, καὶ συγκοπῇ κραίνω· οὕτως καὶ παρὰ τὸ ὄνομα γίνεται ὀνομαίνω.

Οὐρανόθι: (Il. Γ. 3.) Ἐπίρρημα τοπικόν· τὸ νο μικρόν· κανὼν ἐστὶν ὁ λέγων· τὰ εἰς θι ἐπιρρήματα τὴν παραλήγουσαν θέλει φυλάττειν τῶν εἰς θεν ἐπιρρημάτων· οἷον, Ἰλιόθεν Ἰλιόθι· Ἀβυδόθεν Ἀβυδόθι· αὐτόθεν αὐτόθι· καὶ κατὰ συγκοπὴν αὖθι· οὕτως καὶ οὐρανόθεν οὐρανόθι· τὸ νο μικρόν· τὰ εἰς θεν ἐπιρρήματα παράγωγα τὴν τῶν πρωτοτύπων φυλάττουσι γραφήν· οἷον, ἔστιν ἠώς, καὶ σημαίνει τὴν ἡμέραν, καὶ γράφεται διὰ τοῦ ω μεγάλου, καὶ κατὰ παραγωγὴν γίνεται ἠῶθεν· καὶ φυλάττεται ἡ παραγωγὴ τοῦ πρωτοτύπου· καὶ Ὅμηρος,

ἠῶθεν δ' Ἰδαῖος ἴτω κοίλας ἐπὶ νῆας. (Il. H. 372.)

καὶ πάλιν ἐστὶν ἕως, καὶ κατὰ παραγωγὴν ἕωθεν· καὶ γίνεται τὸ ω μέγα ἐκ τοῦ πρωτοτύπου, καὶ φυλάττει τοῦ πρωτοτύπου γραφήν· οὕτως καὶ οὐρανὸς οὐρανόθεν, καὶ ἐξ αὐτοῦ οὐρανόθι· διατί παροξύνεται; τὰ εἰς θεν ἐπιρρήματα τῷ ο παραληγόμενα πρὸ μιᾶς ἔχουσι τὸν τόνον· οἷον, κύκλοθεν· Ἀβυδόθεν· Ἰλιόθεν· χωρὶς τῶν ἐπιμεριζομένων· οἷον, ἑκάστοθεν· ἔκτοσθεν· ἔνδοθεν· τούτοις συνεξηκολούθησε καὶ τὸ προπάροιθεν κατὰ πλεονασμὸν τοῦ ἰῶτα γενόμενον.

Ὁμίχλη: (Il. A. 359.) Τὸ μι ἰῶτα· τὰ παρὰ τὸ εἰλῶ, μὴ κατὰ τὸ ἄρχον μέρος λόγου συντιθέμενον διὰ τοῦ ἰῶτα γράφεται· οἷον, ὅμιλος· ὁμίχλη· πρόσκειται μὴ κατὰ τὸ ἄρχον μέρος λόγου συντιθέμενον, διὰ τὸ εἰλίπους· ἐτυμολογεῖται ὁμίχλη παρὰ τὸ ὁμοῦ ἔχειν εἴλησιν· ἢ παρὰ τοῖς ὄμμασι παρέχειν ἀχλύν· δασύνεται· τὸ ο πρὸ τοῦ ἑνὸς μυ δασύνεται· Ὅμηρος· ὅμιλος· ὅμοιος· τὸ ὀμιχῶ σεσημείωται· καὶ πῶς παρὰ τῷ ποιητῇ λέγεται,

ἠΰτ' ὀμίχλη. (Il. A. 359.)

εἰ γὰρ ἐδασύνετο τραπῆναι εἶχε τὸ ψιλὸν εἰς δασύ· ἐροῦμεν οὖν ὅτι κατὰ διάλεκτον Ἰωνικήν· οἱ γὰρ Ἴωνες τοῖς δασέσιν ἀντὶ τῶν ψιλῶν χρῶνται· τὸ ἀφικόμεθα ἀπικόμεθα· καὶ τὸ οὐχὶ οὐκί· οὕτως καὶ τὸ "ἠΰθ' ὁμίχλη,"

ἠΰτ' ὀμίχλη. (Il. A. 359.)

Ὀχέων:

ἐξ ὀχέων. (Il. Γ. 29.)

ἔστιν ὄχος, καὶ σημαίνει τὸ ἅρμα, καὶ γίνεται ἐκ τοῦ ἔχω, τὸ ἐλαύνω· καὶ ἐξ αὐτοῦ ῥῆμα ὀχῶ· ὁ μέλλων ὀχήσω, ὄνομα ῥηματικὸν ὄχημα, καὶ σημαίνει τὸ ἅρμα· ἐκ τοῦ ἔχω οὖν ὄχος οὐδέτερον.

Ὄφελες: (Il. A. 415.) Τὸ ὄφελος ποίᾳ ἐγκλίσει συντάσσεται; καὶ λέγομεν ὅτι ἀπαρεμφάτου· κανὼν ἐστὶν ὁ λέγων, ὅτι τὸ ὄφελον καὶ διάπτωτόν ἐστιν ἀπαρεμφάτοις συντασσόμενον, καὶ οὐκ ἄλλῃ τινὶ ἐγκλίσει· σημαίνει δύο· ἔστιν εὐχῆς σημαντικὸν, καὶ ῥῆμα.

Ὁμηγερέες: (Il. A. 57.) Ἐπίρρημα ἀθροίσεως· γέγονε παρὰ τὸ ὁμοῦ, καὶ τὸ ἀγείρω, τὸ συναθροίζω· ὁμοαγειρὴς ὁμοαγειρέος, ὁμηγηρέος[s].

Ὀνειροπόλος: (Il. A. 63.) Ὥσπερ γὰρ οἰωνοπόλος λέγεται ὁ μάντις, ὁ περὶ τοὺς οἰωνοὺς πολῶν καὶ ἀναστρεφόμενος, καὶ θυηπόλος, ὁ περὶ τὰς θυσίας ἀναστρεφόμενος, καὶ αἰγοπόλος[t], ὁ περὶ τὰς αἶγας, καὶ ἐν συγκοπῇ αἰπόλος, οὕτως ὁ περὶ ὀνείρους ὀνειροπόλος.

Ὄχα (Il. A. 69.) καὶ Ἔξοχα: (Il. E. 61.) Καὶ ἀφαιρέσει τῆς προθέσεως ὄχα· ἔστι δὲ ἐπίρρημα ὀνοματικόν.

Οὔτεθεν: (Il. A. 114.) Ἐκ τῆς οὐ ἀρνήσεως καὶ τῆς ἔθεν ἀντωνυμίας οὔεθεν· ἰστέον ὅτι τὸ οὔεθεν χωρὶς τοῦ κ εὑρέθη· διότι ἐγκλίνεται· τὰ δὲ ἐγκλινόμενα οὐδέποτε προλαμβάνουσιν· οἷον, ἐμοῦ· ἤκουσέ μου· ἄλλως δὲ αἰτία μέν ἐστιν ἡ ἄρνησις τοῦ πλεονασμοῦ· ἀλλ' οὐ δύναται λήγειν εἰς κ· οὐδέποτε γὰρ λέξις Ἑλληνικὴ εἰς ἄφωνον λήγει· δεῖ οὖν αὐτὴν ἐπιφέρειν τῇ ἑτέρῃ λέξει· εἰ οὖν ἔλαβεν αὐτὸ ἐν τῷ ἔθεν, ἤμελλε φυλάττειν ἐν πλεονασμῷ, καὶ οὐκ ἔτι ἐνεκλίνετο.

Οὐτιδανοῖσι: (Il. A. 231.) Δύο εἰσὶ σύνθετα εἰς ος· οὐτιδανὸς οὐτιδανὴ, καὶ μηδαμινὸς μηδαμινή· καὶ τὸ μὲν οὐτιδανὸς

s Cod. ὁμηγειρέος.

t Cod. ἐγοπόλος.

γέγονε παρὰ τὸ οὔτις οὔτιδος, τοῦ συγκειμένου ἐκ τοῦ οὐ, καὶ τοῦ τουτίς· τὸ δὲ μηδαμινὸς ἀπὸ τοῦ μηδαμὰ, ὅπερ σύγκειται ἀπὸ τῆς μὴ ἀπαγορεύσεως, καὶ τοῦ δαμὸς, τοῦ ἰσοδυναμοῦντος τῷ τίς· ἐξ οὗ καὶ τὸ ἐπίῤῥημα μηδαμῶς· διὸ ἀπολογούμεθα ὑπὲρ αὐτοῦ, ὅτι παρασύνθετά εἰσι· τὸ μηδαμινὸς, καὶ τὸ οὐτιδανὸς, καὶ διὰ τοῦτο τὰ θηλυκὰ ἐνήλλαξαν, καὶ γέγονεν εἰς δύο· τὰ γὰρ κοινὰ τῷ γένει σύνθετά εἰσιν.

Ὀθόνη: (Il. Γ. 141.) Τὸ θο μικρόν· ζήτει εἰς τὸ τρυτώνη· γίνεται ἐκ τοῦ ὄθω, τὸ ἐπιστρέφομαι· οἱονεὶ, τὸ μαλακὸν καὶ εὐένδοτον, καὶ εὐεπίστροφον.

Ὁρμῶ: (Il. Δ. 335.) Εἰ μέν ἐστι δευτέρας συζυγίας, γίνεται ἀπὸ τοῦ ὁρμή· εἰ δὲ πρώτης τῶν περισπωμένων, γίνεται ἀπὸ τοῦ ὅρμος· σημαίνει δύο τὸ ὅρμος, καὶ διαφέρει τὸ ὁρμεῖς καὶ ὁρμᾶς· τὸ μὲν ὁρμεῖς ἐπὶ τοῦ πλοίου λέγεται· οἷον, "ὁρμεῖ τὸ πλοῖον·" τὸ δὲ ὁρμᾶς, τὸ ἁπλῶς ἀπέρχομαι.

Ὅθι: (Il. Β. 722.) Ὥσπερ ἐκ τοῦ ὑψόθεν ὑψόθι· οὕτως καὶ παρὰ τὸ ὅθεν ὅθι· διαφέρει τὸ ὅθεν τοῦ ὅθι, ὅτι τὸ μὲν ὅθι ἐπίῤῥημά ἐστι τοπικὸν, καὶ δηλοῖ τὴν εἰς τόπον σχέσιν· τὸ δὲ ὅθεν τὴν ἐκ τόπου.

Ὅστις: (Il. Α. 230.) Ὄνομα ἀναφορικόν· καὶ συνετέθη ἐκ τοῦ ὃς ἄρθρου ὑποτακτικοῦ, καὶ τοῦ τὶς ὄνομα ἀόριστον, τὸ γὰρ ἐρωτηματικὸν ἀεὶ τὸν οἰκεῖον τόνον φυλάττει, καὶ οὐδέποτε ἐγκλίνεται· ποιοῦ εἴδους τῶν ὑποπεπτωκότων τῷ ὀνόματι; ἀναφορικοῦ.

Ὁμηλικία: (Il. Γ. 170.) Τὸ κι ἰῶτα· τὰ ἀπὸ τῶν εἰς ος διὰ τοῦ ια παραγόμενα· τὰ εἰς ος ὁμήλικος· ἡ εὐθεῖα ὁ ὁμῆλιξ· σημαίνει τὸν ἴσην ἡλικίαν ἔχοντα· γίνεται δὲ ἐκ τοῦ ὁμοῦ, καὶ τοῦ ἧλιξ· τοῦτο ἐκ τοῦ πάλλω, τὸ κινῶ, πάλλιξ, καὶ ἀποβολῇ τοῦ πι καὶ τροπῇ, ἧλιξ·

Ὀλβιόδαιμον: (Il. Γ. 182.) Ὁ τόνος· καὶ τὰ εἰς ων σύνθετα, ὅταν εἰς ον εἴη, ἀναβιβάζει τὸν τόνον· χωρὶς τοῦ Λακεδαῖμον[x]· σημαίνει τὸν ἔμπειρον τῆς παλαιστικῆς· γίνεται ἐκ

[x] Supple quod excidit καὶ τοῦ παλαῖμον.

τοῦ πάλη καὶ τὸ αἴμων, ὃ σημαίνει τὸν ἔμπειρον· ἡ εὐθεῖα ὁ ὀλβιοδαίμων· ἡ γενικὴ ὀλβιοδαίμονος· τὰ σύνθετα τὴν τῶν ἁπλῶν φυλάττουσι κλίσιν· τὸ ἁπλοῦν, δαίμων δαίμονος· ὁ κανών· τὰ δὲ κοινὰ τῷ γένει· ὁ δαίμων καὶ ἡ δαίμων· τί διαφέρει πλούσιος· εὔπορος· ἀφνειός· ὄλβιος· εὐτυχής· διαφέρει· πλούσιος μὲν ὁ πολυούσιος, καὶ πολλὴν ἔχων οὐσίαν· εὔπορος, ὁ πρὸς τὰς ἐπιβαλλούσας χρείας ὑπάρχων ἀνενδεής· ἀφνειὸς, ὁ ἀπὸ ἐνιαυτοῦ τὴν τροφὴν συλλέγων· ἕνος γὰρ ὁ ἐνιαυτός· ὄλβιος δὲ, ὁ τέλειαν τὴν εὐδαιμονίαν ἔχων· εὐτυχὴς δὲ, ὁ ζῶν ἡδέως καὶ ἀλύπως· ὄλβιος δὲ σημαίνει τὸν εὐδαίμονα καὶ πλούσιον.

Ὀΐων: (Il. Γ. 198.) Ὁ μὲν ποιητὴς ἐν διαστάσει ἀεὶ χρῆται,

μῆλ' ὄϊές τε καὶ αἶγες. (Od. I. 184.)

ὁμοίως δὲ καὶ ἐπ' εὐθείας ἑνικῆς·

τοῖσι δ' ὄϊς λάσιος. (Il. Ω. 125.)

Ἀρίσταρχος δὲ καὶ Πτολεμαῖος ὁ Ἀσκαλωνίτης, ὁ μὲν ἐν διαστάσει, ὁ δὲ ἐν συλλήψει· ἀναλογώτερον δὲ τὸ ἐν διαστάσει, καθότι πολλά εἰσιν ὀνόματα ἐπ' εὐθείας εἰς ις λήγοντα δισύλλαβα, οὐδὲν δὲ εἰς υς, πλὴν τοῦ ὗς, ὃ σημαίνει τὸν χοῖρον, καὶ σῦς.

Οὗτος: (Il. Β. 326.) Ἀντωνυμία πρωτοτύπου· τέσσαρες γάρ εἰσι μονοπρόσωποι· οὗτος· αὐτός· ἐκεῖνος· ὅδε· καὶ ἡ ὁ δεῖνα κατὰ παραγωγήν· τὸ δὲ δεικτικὸν οὑτοσί· ἐκεινοσί· καὶ ὁδί· γίνεται κατὰ ἐπέκτασιν τοῦ ι πρὸς ἐμφανισμὸν πλείονος δείξεως· ἡ δὲ αὐτὸς στερηθεῖσα τῆς δείξεως, ἐστερήθη καὶ τῆς διὰ τοῦ ι ἐπεκτάσεως· οὗτος, καὶ ἡ κλητικὴ, ὦ οὗτος Ἀττικῶς ὅμως καὶ τὸ ἐκεῖνος· ἡ δὲ αὐτὸς κλητικὴν ἔχει· ἡ γὰρ οὗτος καὶ ἐκεῖνος ἀντωνυμίαι δεικτικαί εἰσιν· ἡ δὲ αὐτὸς ἀναφορὰν δηλοῖ· ἐναντία δέ ἐστιν ἡ δεῖξις τῇ ἀναφορᾷ.

Οἴσετε: (Il. Γ. 103.) Ῥῆμα προστακτικὸν ἐνεστῶτος καὶ παρατατικοῦ· ἔστι γὰρ οἴσω μέλλων, καὶ μετάγεται ὁ μέλλων εἰς ἐνεστῶτα· ὥσπερ ἐστὶ καὶ τὸ ἄγω ἄξω,

ἄξετε δὲ Πριάμοιο βίην. (Il. Γ. 105.)

οὕτως ἐστὶ καὶ οἴσω μέλλων· τοῦτο ἐνεστῶτα οὐκ ἔχει· καὶ

μετάγεται ὁ μέλλων εἰς ἐνεστῶτα· καὶ γίνεται οἴσω τοῦτο μεταγόμενον μέλλοντα οὐκ ἔχει· τὰ γὰρ ποιητικὰ ἀπὸ μέλλοντος μεταγόμενα εἰς ἐνεστῶτα ἄχρι τοῦ παρατατικοῦ κλίνονται· τούτου τὸ προστακτικὸν οἶσε, οἰσέτω· καὶ οἴσετε ἀντὶ τοῦ ἄγετε.

Ὁπλοτέρων: (Il. Γ. 108.) Ἀντὶ τοῦ νεωτέρων· ποίου εἴδους τῶν παραγώγων; συγκριτικοῦ· ὥσπερ τὸ νεώτερος καὶ πρεσβύτερος τύπου μέν ἐστι συγκριτικοῦ, τῇ δὲ φωνῇ ἀντὶ ἁπλῶν παραλαμβάνεται· γίνεται παρὰ τὸ ὅπλον· ὁ μᾶλλον ὅπλα φέρειν δυνάμενος ὡς πρὸς τὸν γέροντα.

Ὄλυμπος: (Il. Α. 566.) Ὁ μὲν οὐρανὸς παρὰ τὸ ὁλολαμπὴς εἶναι· τὸ δὲ ὄρος παρὰ τὸ ὀλλύειν τοὺς ὦπας διὰ τὸ κρύος.

Ὀϊζυρός: (Il. Α. 417.) Τὸ ζυ μακρὸν, ἐπειδὴ τὰ εἰς ρος ὀξύτονα ὑπὲρ δύο συλλαβὰς, ὅτε ἔχουσι τὴν ἀπὸ τέλους μακρὰν φύσει ἢ θέσει, πάντως ἔχουσι καὶ τὴν πρὸ τέλους μακράν· οἷον, ὀκνηρός· ἰσχυρός· ὀϊζυρός· γίνεται παρὰ τὸ ὀϊζύς· τοῦτο παρὰ τὸ οι σχετλιαστικὸν ἐπίῤῥημα, ὅπερ πλεονασμῷ τῆς μοι συλλαβῆς γίνεται οἴμοι· καὶ οἰμώζω κατὰ παραγωγὴν, καὶ οἴζω· καὶ ἐξ αὐτοῦ οἰζύω κατὰ παραγωγὴν, ὡς πλήθω πληθύω, καὶ διαλύσει τῆς οι διφθόγγου ὀϊζύω καὶ ὀϊζυρός.

Οἶνος: (Il. Α. 462.) Παρὰ τὸ ὀνῶ τὸ ὠφελῶ,

ἔπειτα δέ κ' αὐτὸς ὀνήσεαι αἴκε πίῃσθα. (Il. Ζ. 260.)

ἢ παρὰ τὸ οἶς ὁ σημαίνει τὸ πρόβατον· οἱ γὰρ παλαιοὶ ἐγαλακτοτρόφουν πρὸ τοῦ εὑρεθῆναι τὸν Διονυσιακὸν καρπόν.

Ὄρσεο: (Il. Γ. 250.) Ῥῆμα προστακτικὸν ἐνεστῶτος καὶ παρατατικοῦ· ὁ κανών· οἱ Ἴωνες τὴν ου δίφθογγον εἰς ε καὶ ο διαλύουσιν[y]· ὡς ἐν τῷ ἐμοῦ ἐμέο, οὕτως ὄρσου ὄρσεο· τὸ ῥῆμα ὄρσω· γίνεται ἐκ τοῦ ὄρω Αἰολικοῦ, ὁ μέλλων ὄρσω, καὶ μετάγεται εἰς ἐνεστῶτα, καὶ κλίνεται ἄχρι τοῦ παρατατικοῦ· ὁ κανών· τὰ ποιητικῶς ἀπὸ μελλόντων εἰς ἐνεστῶτα παρηγμένα ἄχρι τοῦ παρατατικοῦ κλίνεται.

Ὀτραλέως: (Il. Γ. 260.) Ἔστι ῥῆμα τρῶ, τὸ φοβοῦμαι·

[y] Cod. διάλυσιν.

ἐξ αὐτοῦ ὄνομα ῥηματικὸν τρεὺς, μετὰ τοῦ στερητικοῦ α ἀτρεὺς, ὁ ἄφοβος· καὶ τροπῇ ὀτρεύς· ἡ γενικὴ ὀτρέος· καὶ Ἰωνικῶς ὀτρῆος· ἡ γενικὴ τῶν πληθυντικῶν ὀτρέων, καὶ τὸ ἐπίῤῥημα ὀτρέως, καὶ ὥσπερ παρὰ τὸ κάρπνιμος πλεονάζει ἡ αλ συλλαβὴ, καὶ γίνεται καρπαλίμως, οὕτως καὶ ὧδε.

Ὀπίσω: (Il. Γ. 218.) Ἐπίῤῥημα τοπικόν· καὶ ποίας σχέσεως; τῆς ἐν τόπῳ[z]· πόσαι σχέσεις τῶν τοπικῶν; ἕξ· ἄνω· κάτω· ἔμπροσθεν· ὄπισθεν· δεξιά· ἀριστερά· τὸ σω μέγα· τὰ εἰς ω λήγοντα ἐπιῤῥήματα διὰ τοῦ ω μεγάλου γράφονται· πλὴν τοῦ δεῦρο, καὶ ἀπό· γίνεται ἐκ τοῦ ὀπίζω καὶ[a] ἀκολουθῶ καὶ κατόπιν διώκω· τὸ δὲ ὀπίζω ἐκ τοῦ ὄπις, ὃ σημαίνει τὴν ἐπιστροφὴν,

θεῶν ὄπιν οὐκ ἀλεγίζων. (Il. Π. 388.)

Ὅς τις κ' ἐπὶ ὅρκον ὀμόσαι[b]: (Il. Γ. 279.) Ὄνομα ἀόριστον· πόθεν συνετέθη; ἐκ τοῦ ο ἄρθρου προτακτικοῦ, καὶ τοῦ τίς· σημαίνει δὲ τὸ ὅστις· ἀεὶ γὰρ ὁ ποιητὴς τοῖς προτακτικοῖς ἄρθροις ἀντὶ ὑποτακτικῶν χρῆται· χωρὶς εἰ μὴ μέτρον κωλύσοι·

Σίσυφος Αἰολίδης ὁ κέρδιστος γένετ' ἀνδρῶν. (Il. Ζ. 153.)

καὶ

αἰδοῖος νεμεσητὸς, ὅ με προέηκε πυθέσθαι. (Il. Λ. 648.)

ποτὲ δὲ διὰ τὸ μέτρον προλαμβάνει τὸ σ,

ὃς κακὰ πόλλ' ἔρδεσκεν. (Il. Ι. 540.)

Οὔ θήν μιν: (Il. Β. 276.) Πόσοι τόνοι; δύο· διατί; ἡνίκα εὑρεθῶσιν ἐγκλιτικὰ ἐφεξῆς ἀλλήλων κείμενα, πολλαὶ ἔσονται καὶ παράλληλοι αἱ ὀξεῖαι·

ἦ ῥά νύ μοί τι πίθοιο Λυκάονος υἱὲ δαΐφρων; (Il. Δ. 93.)

Ὅττι:

ὅττι τοι ἐν μεγάροισι κακόν τ' ἀγαθόν τε τέτυκται. (Od. Δ. 392.)

τὸ ὅττι πῇ μὲν σύνδεσμος αἰτιολογικὸς, πῇ δὲ ὄνομα· καὶ τοῦτο διάφορον· ἤτοι γὰρ ἓν μέρος λόγου νοούμενον, ἢ ἐν δύο λέξεσι λαμβανόμενον· πῇ μὲν γὰρ ἀκόλουθον τῷ ὅστις, ἐξ οὗ καὶ θηλυκὸν γίνεται ἥτις, καὶ οὐδέτερον ὅτι· καὶ ὡς ἐν τῷ ὅς τις δύο

[z] Cod. τῶ πω. [a] Leg. τό. [b] Cod. ὀμόσας.

λέξεις, οὕτως καὶ τὸ ὅτι· ποτὲ δὲ ἓν μέρος λόγου· τοῖς γὰρ πύσμασιν εἴωθεν προσέρχεσθαι ἀναφορικὸν μόριον, τὸ ο· ποῖος ὁποῖος· πόσος ὁπόσος· τοῦτον τὸν τρόπον τὸ τις γίνεται κατὰ ἀναφορὰν ὅτις ἐν μιᾷ λέξει, καὶ ἀνεδόθη ὁ τόνος· τὰ γὰρ πύσματα βαρύνεσθαι θέλει ὑπὲρ μίαν συλλαβὴν ὄντα· οὐκ ἀντίκειται τὸ ποδαπός· τὰ γὰρ διὰ τοῦ δαπος ἅπαντα ὀξύνονται· παντοδαπός· τηλεδαπός· ἀλλοδαπός· ἡμεδαπός· ἔνθεν καὶ τὸ ποδαπὸς ἠκολούθησε τῷ χαρακτῆρι· ἀλλ᾽ οὐ δὲ τὸ ποσαχῶς ἀντίκειται· καὶ γὰρ διὰ τοῦ αχως ἐπιῤῥήματα περισπᾶται· ἑξαχῶς· ἑπταχῶς· τουτῷ τῷ λόγῳ καὶ τὸ ποσαχῶς περιεσπάσθη· ἐπεὶ δὲ τὸ ἀναφορικὸν ο φυλάσσεται κατὰ πᾶν γένος, ὁποῖος, καὶ ὁποία, καὶ ὁποῖον· κεκοινώνηκε τὸ ὅτις, καὶ ἐν τῷ θηλυκῷ· τοῦτο γὰρ τὸ θηλυκὸν ἥτις[b]· καὶ τὸ οὐδέτερον ὅτι· τὸ γὰρ τις φύσει κοινὸν ἀρσενικοῦ καὶ θηλυκοῦ· ἰστέον ὅτι ἐὰν φθάσῃ γενέσθαι ἀναδιπλασιασμὸς τοῦ τ ὅττι, ἐν μιᾷ λέξει ἔστι τὸ ὄνομα, καὶ οὔτε τῷ συνδέσμῳ συνεμπίπτει, καὶ οὔτε τῷ ἑτέρῳ ὀνόματι τῷ ὅτι, τῷ ἐν δύο λέξεσι νοουμένῳ· καὶ εἰ μέν ἐστιν ὅτι δι᾽ ἑνὸς τ, ἀμφιβάλλεται, εἴτε ἓν μέρος λόγου, εἴτε δύο· εἰ δὲ ὅττι διὰ δύο ττ, ἐπίκρισίς ἐστι τοῦ ἑνὸς ὀνόματος· ἐπὶ γὰρ τῶν πυσμάτων γίνεται διπλασιασμὸς τοῦ συμφώνου κατὰ ἀναφορὰν γινομένων· πῶς ὅππως· ποῖος ὁπποῖος ὁπποίη,

ὁπποίης[c] δ᾽ ἐπὶ νηὸς ἀφίκετο. (Od. A. 171.)

οὕτως τί· καὶ ὅτι καὶ ὅττι ἓν ἄρα μέρος λόγου· ἔστιν οὖν ἐνταῦθα ὄνομα πυσματικὸν κατὰ ἀναφορὰν εἰλημμένον οὐδέτερον ἑνικὸν ἁπλοῦν· πτώσεως εὐθείας· ἡνίκα γὰρ τοῦ οὐδετέρου ᾖ τὸ ῥῆμα, τηνικαῦτα τὸ οὐδέτερόν ἐστιν ὀρθόν· οἷον "βέλος ἔπεσεν" αὐτὸ τὸ βέλος ἔχει τὸ πεσεῖν· εὐθείας ἄρα, ὡς εἰ καὶ λέγοις "οἶκος ἔπεσεν·" ἐὰν δὲ γένηται "βέλος ἥρπασε·" τὸ ἁρπάσαι ἕτερον ἔχει· κατὰ τοῦτο γίνεται αἰτιατικῆς, ὡς εἰ καὶ λέγοις "λίθον ἥρπασεν·" εἰ οὖν τέτυκται ῥῆμα τὸ ὅττι, ἐστὶν εὐθείας ἄρα, ὡσεὶ καὶ λέγοι τις τέτυκται· διατί δὲ τὰ πυσματικὰ ὁπηνίκα, τὰ δὲ μονοσυλλαβικὰ ἀναβιβάζεται; ἐπειδὴ τὰ μονοσύλλαβα εἶχε τὸν τόνον φυσικόν· τὰ γὰρ πύσματα βα-

[b] Cod. ὅτις. [c] Cod. ὁπποῖ΄.

ρύνεσθαι θέλει, χαρακτῆρος μὴ ἀντικειμένου, ὡς εἴπομεν διὰ τὸ ποδαπῆ καὶ ποσαχῶς· ὁποῖος· πόσος· πηνίκα· τὰ δὲ μονοσύλλαβα οὐκ ἠδύνατο βαρύνεσθαι, ἐκώλυε γὰρ ἡ μονοσυλλαβία· ὅταν οὖν προλάβῃ τὸ ἀναφορικὸν, καὶ γένηται ὑπὲρ μίαν συλλαβὴν, ἀναλαμβάνει τὸν ὀφειλόμενον τόνον, καὶ βαρύνεται· οἷον, ποῦ, ὃ καὶ πῆ λέγεται, καὶ πῶς· ταῦτα οὐ φυσικῶς περιεσπάσθη· ἀλλὰ κατ' ἀναγκήν· οὐ γὰρ ἠδύνατο βαρύνεσθαι μονοσύλλαβα ὄντα· ἀναγκαίως ἄρα περισπᾶται· καὶ δυνάμει διὰ τῆς περισπωμένης βαρύνεται· ἐὰν οὖν προσέλθῃ τὸ ο, καὶ σχῇ τὴν ποσότητα τῆς βαρείας, ἀναλαμβάνει καὶ τὴν βαρεῖαν ὅπως· τὸ αὐτὸ καὶ ἐπὶ τοῦ τις· τοῦτο γὰρ βαρύνεσθαι μὲν οὐ δύναται διὰ τὴν μονοσυλλαβίαν· οὐ δὲ περισπᾶται διὰ τὴν βραχεῖαν κατάληξιν· ἀναγκαίως ἄρα ὀξύνεται· ὅταν δὲ γένηται μετὰ τοῦ ο ἀποδίδοται αὐτῷ ἡ βαρεῖα, καὶ ἀναδίδοται οὐ μὴν ἐπὶ τοῦ συνδεσμοῦ, οὐδ' ἐπὶ τοῦ ἑτέρου ὀνόματος· ὅπερ οὐδὲ ἓν ἦν· ἀλλ' ἔχει σύνταξιν δύο λέξεων· ὁ γὰρ κανὼν ἐπὶ τῶν ἐχόντων ἀναφορικὸν τὸ ο μόριον· τινὲς δὲ ψιλοῦσι τὸ ὅττι καὶ τὰ λοιπὰ, Αἰολικὸν διπλασιασμὸν οἰόμενοι εἶναι· διὰ τοῦτο δὲ καὶ ἀναπέμπουσι τοὺς τόνους· ἀλλ' οὐκ ἔστιν ὁ διπλασιασμὸς ἐπὶ τούτων Αἰολικὸς, ἀλλ' ἴδιος αὐτῶν τῶν ἀναφορικῶν· εἴπωμεν οὖν ποίων συμφώνων γίνονται παρ' ἡμῖν διπλασιασμοὶ, καὶ τινῶν παρ' Αἰολεῦσι· παρ' ἡμῖν τοίνυν τῶν ψιλῶν διπλασιασμοὶ γίνονται· τοῦ π ἐν τῷ πάππος· ἵππος· τοῦ τ ἐν τῷ κόττος· τοῦ κ ἐν τῷ μίκκος· ἐπὶ δὲ τῶν ἀμεταβόλων· Ὕλλος· κόμμος· θύννος· ὄῤῥος· πύῤῥος· καὶ τοῦ σ κισσός· καὶ τοῦ γ φθόγγος· εἴ που δὲ ποιητικῶς καὶ ἐπὶ τοῦ δ· ἄδδην· παρ' Αἰολεῦσι δὲ τῶν ἀμεταβόλων γίνεται· ἀγείρω ἀγέῤῥω· ἐγείνατο ἐγέννατο· στειλάμεναι στελλάμεναι· εἷμα ἔμμα· καὶ τοῦ σ· τοσοῦτον τεσσοῦτον· ἄλλου δὲ συμφώνου παρ' αὐτοῖς οὐ γίνεται· ἔνθεν σημειούμεθα τὸ πεφύγγων[d] οὐ γὰρ εἰώθασιν αὐτοὶ τὸ γ διπλασιάζειν· ἐὰν οὖν ἕτερον διπλασιασμὸν παρ' αὐτοῖς εὕρῃς, τῷ κοινῷ ἐχρήσαντο, καὶ οὐκ ἰδίως ἐποίησαν· εἰ οὖν παρακολουθεῖ τοῖς ἀναφορικοῖς τὸ διπλασιάζεσθαι, καὶ οὐ τῆς

[d] Hac voce utitur Alcæus vid. mox in Πεφυζότες.

διαλέκτου ἐστίν· οἷον, ποῖος ὁπποῖος· πόσος ὁππόσος· ὅσος ὅσσος· κακῶς ἐκεῖνοι ψιλοῦσιν· οὐ σύνδεσμος οὖν τὸ ὅττι ἐνταῦθα· οὐ δὲ ὄνομα ἐν δυσὶ λέξεσι, ἀλλ' ἐν μιᾷ· ὁ γὰρ διπλασιασμὸς ἀναφορικὸν τοῦτο ἐξηγεῖται, τὸ δὲ ἀναφορικὸν τὸ ἓν ὄνομα δεικνύει, ὡς τὸ ὁποῖος· ἄλλοι δὲ ἐπὶ τῶν προκειμένων ἡγοῦνται τὸ ο ἄρθρον εἶναι· κωλύει δὲ καὶ τὸ τοῦ σημαινομένου, καὶ τὸ τῆς φωνῆς· εἰ γὰρ κατὰ παράθεσιν τὸ ο, ὡς ἄρθρον κατὰ παράθεσιν πῶς φυλάσσεται, καὶ ἐπὶ τοῦ θηλυκοῦ, καὶ οὐδετέρου ὁποῖος ὁποῖα ὁποῖον· ἐχρῆν γὰρ ἐπὶ τοῦ θηλυκοῦ τὸ η· ἐπὶ τοῦ οὐδετέρου τὸ το· πῶς δὲ καὶ οὐκ ἀνεδόθη ὁ τόνος· τὰ γὰρ εἰς ος προπερισπώμενα ἀναδίδονται κατὰ σύνθεσιν· δοῦλος σύνδουλος· κοῦρος ἐπίκουρος· εἰ οὖν ποῖος, ὤφειλεν, ὃ κατὰ σύνθεσιν ἦν προπαροξύνεσθαι, ὁποῖος· εἰ δὲ οὐ προπαροξύνεται, οὐ συντέθειται· ἀλλ' οὐδὲ ἄρθρον ποτὲ μετὰ πύσματος συντάσσεται· ἐναντίον γὰρ ἄρθρον πύσματι· τὸ μὲν γὰρ πύσμα ἀγνοεῖ, τὸ δὲ ἄρθρον ἀναφέρει τὸ προεγνωσμένον· ἔστιν οὖν τὸ ο μόριόν τι προσιὸν τοῖς πύσμασιν[e].

Ὃς: Ποτὲ μέν ἐστιν ἄρθρον ὑποτακτικὸν,

ὃς λοιγὸν ἀμύνει. (Il. E. 603.)

ἔστι δὲ καὶ ἀντωνυμία κτητική· ὅτε καὶ λαμβάνει πλεονασμὸν τοῦ ε ἕος· καὶ ἀντωνυμία ἰσοδυναμοῦσα τῇ οὗτος,

ὃς γὰρ δεύτατος ἦλθε. (Od. A. 286.)

καὶ ἀόριστον μόριον,

ὁ δ' Ἀχαιῶν ἄλλον ἑλέσθω
ὅστις οἵ τ' ἐπέοικε, καὶ ὃς βασιλεύτατός ἐστι. (Il. I. 392.)

Ὁμοκλήσειεν:

ἢ λαοὺς ἐς τεῖχος ὁμοκλήσειεν ἀλῆναι. (Il. Π. 714.)

ῥῆμα εὐκτικὸν ἐνεργητικὸν ἑνικὸν παρασύνθετον, ἐπεὶ καὶ τὸ ὁμοκλὴ, ὅθεν ἐγένετο, σύνθετον· προσώπου τρίτου χρόνου ἀορίστου, συζυγίας πρώτης τῶν περισπωμένων· ἔστιν δὲ καὶ δευτέρας·

ἔνθ' ἡμεῖς πάντες ὁμοκλέομεν. (Od. Ω. 172.)

ἀπὸ πρώτης, ὡς ἐνοέομεν, ἐφιλέομεν·

[e] Hæc longe pleniora sunt quam in Etym. M. p. 636, 40.

ὁ δ' υἱάσιν οἷσιν ὁμόκλα. (Il. Ω. 248.)

ἀπὸ δευτέρας, ὡς ἐγέλα, ἐβόα· εἰώθασι δὲ συνεμπίπτειν συζυγίαι· τὸ γὰρ ὁρῶ δευτέρας μὲν ὡς πρόδηλον, ἀλλὰ καὶ πρώτης, ὡς δῆλον ἐκ τῆς Αἰολίδος διαλέκτου· ὡς γὰρ ἀπὸ τοῦ οἰκῶ ἡ μετοχὴ,

καί τις ἐπ' ἐσχατίαισιν οἰκείς[f]·

οὕτω ἀπὸ τοῦ ὁρῶ,

ἀλλ' ὦ πάντ' ἐφορεῖς ἅλιε·

ἔνθεν λύσομεν καὶ τὸ ἐν Ὀδυσσείᾳ προτεινόμενον,

ῥωγαλέα τὰ καὶ αὐτὸς ἐν ὀφθαλμοῖσιν ὅρηαι[g]. (Od. P. 343.)

τοῦτο δὲ εὑρήσομεν καὶ ἐν τῇ Οἰχαλίας[h] ἁλώσει, αἵ εἰς Ὅμηρον ἀναφέρεται, ἔστι δὲ Κρεώφυλος ὁ ποιήσας· Ἡρακλῆς δ' ἐστὶν ὁ λέγων πρὸς Ἰόλην·

ὦ γύναι ταῦτά τε ἐν ὀφθαλμοῖσιν ὅρηαι.

ἔστι δὲ τὸ θέμα ὁρῶ· τούτου τὸ ἐντελὲς, ὅτε μὲν ἔστι δευτέρας συζυγίας, ὁράω, ὅτε δὲ πρώτης, ὁρέω· τὸ παθητικὸν ὁρέομαι, ὡς,

ὧδε δὲ μυθέομαι. (Il. H. 76.)

τὸ δεύτερον ὁρέαι, ὡς,

μυθέαι ἀκράντον. (Od. B. 202.)

καὶ ἐκτάσει ὅρηαι.

Οὔνομα: (Od. Z. 194.) Πλεονάζει τὸ υ· τὸ γὰρ ὁλόκληρον,

ὡς ὄνομ' ἐξηπάτησ' ἐμόν. (Od. I. 414.)

τὰ γὰρ ἀπαθῆ παρατιθέμενα δηλοῖ τὰ πεπονθότα· Οὔλυμπος Ὄλυμπος γάρ· ἀπὸ τοῦ ὄνομα ῥῆμα ὀνομαίνω ὀνόμηνεν· ὡς χειμαίνω καὶ δειμαίνω· παρῆκται δ' ἀπὸ τούτου καὶ τὸ ὀνομάζω· καὶ σύνθετον ἐξ αὐτοῦ ὀνομακλήδην· οὐδὲν δὲ εἰς μω οὐδέτερον ἔχει δύο ου· ἀναλόγως οὖν οἱ Αἰολεῖς ὄνυμα λέγουσιν ὁμοίως τὸ ἔλυμα· ἔρυμα· ἐν τῇ συνθέσει δὲ τρέπει τὸ ο εἰς ω, καὶ τὸ δεύτερον ο εἰς ω ὁμώνυμον· γίνεται δὲ παρὰ τὸ νέμω ῥηματικὸν ὄνομα νόμα, τὸ ἐπιμεριζόμενον ἑκάστῳ, καὶ νέμων τὴν σημασίαν· προσόδῳ τοῦ ο ὄνομα.

[f] Affert hunc versum Hephæstio p. 43, 9. Gaisf. ut exemplar decasyllabici Alcaici. [g] MS. ὅριαι. [h] MS. χαλίας.

Ὁμοκλή: (Il. Z. 137.) Παρασύνθετον· παρὰ τὸ ὁμοκλῶ· ὁ καὶ πρώτης ἐστὶ συζυγίας· ὡς ἐν τῷ,

ἡμεῖς μὲν ὁμοκλέομεν. (Od. Ω. 172.)

ὡς ἐφιλέομεν· καὶ δευτέρας, ὡς ἐν τῷ,

οὔδ' υἱάσιν οἷσιν ὁμόκλα. (Il. Ω. 248.)

ὀξύνεται· τὰ εἰς λη μετ' ἐπιπλοκῆς συμφώνου, μὴ παραληγομένου τοῦ ο, βαρύνεται· στρέβλη· τρίγλη· κίχλη· ζεύγλη· ὁμίχλη· αἴγλη· τρώγλη· ὅπερ οὐ δόκιμον παρ' Ἕλλησι· πρόσκειται μὴ παραλήγοντος τοῦ ο, διὰ τὸ ὁμοκλὴ[i] καὶ ὁπλή· ταῦτα γὰρ ὀξύνεται.

Ὅταν: (Il. A. 519.) Ἐπίρρημα ἀναφορικὸν ἀπὸ τοῦ ὅτε καὶ ἄν· ἔστι δὲ τὸ ἀνταποδοτικὸν αὐτοῦ· τότ' ἂν οὕτως ἀποσχέσθαι, ὡς ἐπ' ἐκείνου,

οὐδ' ὁπόταν στείχῃσι πρὸς οὐρανόν. (Od. Λ. 17.)

τὸ δ' ἀνταποδοτικὸν,

οὐδ' ὅταν ἂψ ἐπὶ γαῖαν. (Od. Λ. 18.)

καὶ ὡς οὐκ ἔστιν ἓν μέρος λόγου τὸ ὃ πόταν, οὕτως οὐ δὲ τὸ ὅταν· ἀλλ' ὁ πότε ἄν· καὶ ὅτε ἄν· καὶ ὡς οὐκ ἔτι διαστολὴ ἐπὶ τοῦ ὁπόταν ἰσόμορον, οὕτω καὶ "ὡς δ' ὅταν·" ποιεῖ δὲ τὸ ὅτε μόνον ἐξ διαφοράς· ὅτε τότε· ὅτε ὁπότε· πότε ὁπότε· τὸ δὲ ὅτε οἱ Αἰολεῖς ὅταν λέγουσι· Λάκωνες δὲ ὅκα· καὶ οἱ μὲν μόνον ἔτρεψαν τὸ ε εἰς α, οἱ δὲ καὶ τὸ σύμφωνον· ὥστε οὐκ ἀπὸ τοῦ ὅτα Αἰολικοῦ τὸ ὅταν πλεονασμῷ τοῦ ν· ὅταν γὰρ μεταβολὴ γένηται τοῦ ε εἰς α, οὐ προσέρχεται τὸ νυ· ὄπισθεν ὄπισθα· πρόσθεν πρόσθα· ὡς καὶ ἐπὶ συνδεσμοῦ, ἕνεκεν ἕνεκα.

Ὄφρα: Σύνδεσμος καὶ ἐπίρρημα· τὰ δὲ ἐπιρρήματα συνεμπέσοντα συνδέσμοις, εἰ μὲν ὑποτακτικὸν ἐπιφέροιτο, συνδεσμός ἐστιν· οἷον,

ὄφρα πεποίθῃς. (Il. A. 524.)

εἰ δὲ ὁριστικὸν ἐπίρρημα,

ὄφρα μὲν ἠὼς ἦν. (Il. Θ. 66.)

Ὅς: Σημαίνει ἄρθρον ὑποτακτικὸν,

ὃς κεῖνον δύστηνον ἀνόστιμον οἷον[k] ἔθηκεν. (Od. Δ. 182.)

[i] Cod. ὁμικλή. [k] Cod. om. οἷον.

ἔστι γὰρ "ὃ ἔθηκε" σημαίνει καὶ ἀντωνυμίαν κτητικήν· ἐμός· σός· οἷ διὸ καὶ ἐκεῖνος ἀμφιβόλως ἀναγινώσκεται,

ὅτε ὃς δόμος ἀμφεκάλυψεν· (Od. Δ. 618.)

ἢ "ὅ θ' ἑὸς δόμος·" σημαίνει καὶ ἀντωνυμίαν ἰσοδυναμοῦσαν τῇ οὗτος·

ὃς γὰρ δεύτατος ἦλθε. (Od. Α. 286.)

σημαίνει καὶ τὴν αὐτός·

ἀλλὰ καὶ ὃς δείδοικε Διὸς μεγάλοιο. (Il. Φ. 198.)

δύναται δὲ τοῦτο καὶ ἀντὶ τοῦ οὗτος· πιθανώτερον δὲ ἀντὶ τοῦ αὐτός· ἵνα μείζων γένηται ἔμφασις· παραλαμβάνεται καὶ ἀντὶ προτακτικοῦ παρὰ τῷ ποιητῇ,

ἔνθ' ὅτε δειλὸς ἀνὴρ, ὅς τ' ἄλκιμος ἐξεφαάνθη. (Il. Ν. 278.)

ἔσθ' ὅτε γὰρ προτακτικὸν λέγεται ἀντὶ ὑποτακτικοῦ, καὶ ὑποτακτικὸν ἀντὶ προτακτικοῦ.

Ὅ: Ἄρθρον προτακτικὸν πτώσεως εὐθείας· καθόλου δὲ τῶν ἄρθρων ἡ σύνταξις ἐστὶ τοιαύτη· ὅταν τὸ ἐπιφερόμενον ῥῆμα ἔχηται τοῦ προκειμένου ὀνόματος, καὶ ἐπ' αὐτὸ ἀναφέρηται, εὐθείας ἐστὶ πτώσεως· διὰ τὸ ἐπιφερόμενον ῥῆμα εἴχετο· ἀναφέρεται γὰρ ἐπὶ τὸ προκείμενον ὄνομα τὸ ῥῆμα· ὅταν δὲ τὸ ῥῆμα ἐξ ἑτέρου προσώπου, τηνικαῦτα πλαγίας ἐστὶ πτώσεως.

Ὅτι: (Il. Α. 56.) Ἤτοι σύνδεσμος ὁ ὅτι, ἢ δύο μόρια καὶ δύο μὲν μόρια ὁπότε παράκειται τὸ ὅστις, ἥτις, ὅτι· ὁπόταν δὲ εἴπῃ,

ὅτι μοι μένος ἰσοφαρίζει·

σύνδεσμος· ἔστι δὲ καὶ ἕτερος σύνδεσμος ὑπὲρ μίαν συλλαβὴν διὰ τὸ μὴν, καὶ γὰρ ὄνομα καὶ σύνδεσμος· ἰσοδυναμεῖ τῷ γάρ· ὁ ὅτι καὶ γάρ· καὶ ὁ γὰρ ἐπίῤῥημα φέρεται, καὶ ὁ ὅτι· ὅτι ἔστι· ἔστι γὰρ οὐ μέντοι τὸ ἕνεκα· οὗτος γὰρ συντάσσεται γενικῇ·

εἵνεκα τῆς ἀρετῆς. (Od. Β. 206.)

διαφέρει δὲ ὅτι τοῦ γὰρ τάξει· ὁ ὅτι μὲν προτάσσεται· ὁ δὲ γὰρ ὑποτάσσεται.

Οἴξασα: (Il. Ζ. 89.) Μετοχὴ χρόνου ἀορίστου· τὸ θέμα οἴγω· ὁ παρατατικὸς ᾦγον· τὸ τρίτον ᾦγε·

τὸν δ' οὐ θεὸς ἄλλος ἀνῷγε· (Il. Ξ. 168.)

διατί δὲ ὁ παρατατικὸς τὸ ω ἔχει; ὅτι ἀπὸ φωνήεντος ἀρχόμενα ῥήματα ἢ ἀπὸ φωνηέντων, τὰ ἴσα φωνήεντα ἔχει ἐν τῷ παρατατικῷ· αἰτῶ ᾔτουν· αὐλῶ ηὔλουν· χωρὶς τῶν ἀπὸ τοῦ ε ἀρχομένων ῥημάτων· ἐπεὶ ἐκεῖνα, ἢ τὸ η ἔχει ἐν τῷ παρατατικῷ· οἷον, ἐλέγχω ἤλεγχον, ἢ τὸ ι προσλαμβάνει· ἔχω εἶχον, καὶ προσελθὸν τὸ ι παρέβη τὴν ποσότητα· ὁ ἀόριστος ᾦξα, καὶ ἔχει τὸ ι· ὅτε οὖν χρείαν ἔχει ὁ ποιητὴς ἐμφαίνειν αὐτό·

ὤϊξεν δὲ θύραν· (Od. Α. 436.)

τοῦ ᾦξα ἡ μετοχὴ οἴξας[m], τὸ δὲ ἀκόλουθον ὤφειλεν ᾤξας· ἀλλ' αἱ μετοχαὶ ἐν ἀορίστοις ἀποβάλλουσι χρόνον, ὅτε ἀπὸ φωνήεντος μακροῦ ἄρχεται τὸ ῥῆμα· ἧψα ἅψας· ᾔτησα αἰτήσας, οὕτως ᾦξα οἶξας· ἐνεδέησε χρόνος· βραχύτεραι γὰρ αἱ δίφθογγοι τῶν μακρῶν· διατί βαρύνεται τὸ οἴγω; τὰ ἀπὸ τῆς οι διφθόγγου ἀρχόμενα ῥήματα ἔχοντα μεταξὺ σύμφωνον ἢ σύμφωνα, εἰ μὲν παρὰ ὀνόματος ᾖ, περισπῶνται· οἷον, οἰκῶ προκατάρχει τὸ οἶκος· οἰνῶ οἶνος· οἰστρῶ οἶστρος· σημειῶδες τὸ οἰδῶ, ὅτι μὴ προκατάρχοντος ὀνόματος περιεσπάσθη· εἰ μὴ ἄρα ἔχομεν τὸ οἰδὸς ὃ παρὰ Νικάνδρῳ[n] εὑρίσκομεν· εἰ δὲ μὴ οὕτως ἔχει, βαρύνεται· οἷον, οἴχω, οὗ παθητικὸν τὸ οἴχομαι· οἴφω, ἀφ' οὗ τὸ,

ἄριστα χωλὸς οἴφει[o]·

οὕτως δὲ τὸ προκείμενον.

ΟΥ̓: Ἡ οὐ ἀπόφασις ὁριστικοῖς θέλει συντάσσεσθαι· "οὐ γράφω, οὐ λέγω."

οὐκ ἀλέγω ὥς με γυνὴ βάλοι. (Il. Α. 589.)

ἐπειδὰν δὲ εἰς προτακτικὸν μεταβῇ, ἐναλλάσσεται εἰς τὴν μὴ ἀπαγόρευσιν· "μὴ γράφε, μὴ λέγε, μὴ ποιεῖ·" ἡ δὲ εἰς ου λήγουσα δίφθογγον ἀπέστραπται τὴν ὀξεῖαν τάσιν τριῶν ἀντὶ διεσταλμένων· ἰδού· ἰού· οὔ· περισπασθεῖσα δὲ ὄνομα στοιχείου[p] γίνεται οὖ· ὅθεν ἡ παροιμία,

τὸ Φιλοξένου οὗ.

Οἰωνοῖσι: (Il. Α. 5.) Δοτικὴ τῶν πληθυντικῶν ἐπεκτάσει

[m] MS. ἦξας. [n] Ther. v. 188. χ [o] Vid. Arsen. Violet. p. 75. Walz. in not. [p] Cod. στοι.

τοῦ ι· Ἰώνων δέ ἐστιν ἡ ἐπέκτασις· σημαίνει δὲ τοὺς γύπας· γὺψ δὲ εἴρηται παρὰ τὸ γυρεύειν τὰ ὕψη· ἔστι δὲ ἡ εὐθεῖα οἰωνός· γέγονε παρὰ τὸ οἰῶ· τοῦτο παρὰ τὸ οἶος· τοῦτο παρὰ τὸ ἴος ὁ μόνος· πλεονασμῷ τοῦ ο οἰωνός· ὀξύνεται· τὰ διὰ τοῦ ωνος ὑπὲρ β′ συλλαβὰς ἁπλᾶ ὀξύνεσθαι θέλει· οἷον, οἰωνός· κοινωνός· Τιθωνός· πρόσκειται ἁπλᾶ, διὰ τὸ τετράγωνος[q]· ἄφωνος· εὔωνος· ἰστέον δὲ ὅτι ὠνόμασται ὁ γὺψ οἰωνὸς παρὰ τὴν μονότητα, καὶ τοῦ οἶος οὐ συναγελάζεται ἑτέρῳ ζώῳ· ἱστόρηται δὲ ὅτι χωρὶς ἄῤῥενος τίκτει.

Ὅ:

ὃ γὰρ βασιλῆϊ χολωθείς. (Il. A. 9.)

ἄρθρον ὑποτακτικὸν μεταχθὲν εἰς ἀντωνυμίαν ἀναφορικήν· ἔθος γὰρ τῷ ποιητῇ, ὡς πολλάκις εἴρηται, τὰ ὑποτακτικὰ τῶν ἄρθρων εἰς ἀντωνυμίαν μετάγειν· τὰ γὰρ ἄρθρα μὴ ἐπαγομένου ὀνόματος ὃ συνταγῶσι, μετάγονται εἰς ἀντωνυμικὴν σημασίαν·

τοῦ δ' ἕνεκά σφιν.

ἀντὶ τούτου χάριν·

τῷ δ' ἐπετοξάζοντο. (Il. Γ. 79.)

ἀντὶ τοῦ ἐπ' αὐτῶν τὰ τόξα ἔτεινον·

τὸν δ' ἀπαμειβόμενος. (Il. A. 84.)

ἀντὶ τοῦ πρὸς τοῦτον.

Ὄμβρος: (Il. Γ. 4.) Παρὰ τὸ ὅμορος, καὶ ἐν συγκοπῇ ὅμρος· καὶ ἐπεὶ τὸ[r] μυ πρὸ τοῦ ρω οὐ δύναται εἶναι, πλεονάζει τὸ βῆτα.

Οἶσθα: (Il. A. 85.) Ἐνεστῶτος χρόνου τῶν εἰς μι· δευτέρου προσώπου· ἔστι ῥῆμα εἴδω, τὸ σημαινόμενον τὸ ἐπίσταμαι καὶ γινώσκω· οὗ ὁ μέλλων εἰδήσω,

Ἥρη μὴ δὴ πάντας ἐμοὺς ἐπιέλπεο μύθους
εἰδήσειν. (Il. A. 546.)

καὶ τὸ παράγωγον εἴδημαι, εἴδης τὸ δεύτερον· καὶ κατὰ πλεονασμὸν τῆς θα συλλαβῆς εἴδησθα, καὶ κατὰ συγκοπὴν τῆς δη συλλαβῆς, καὶ κατὰ τροπὴν Αἰολικὴν τοῦ ε εἰς ο, οἶσθα· καὶ

[q] Cod. τετράγωγος. [r] Cod. ἐπὶ τοῦ.

ἄλλως Αἰολική ἐστιν ἡ λέξις· ἔστι τὸ θέμα εἴδω· ὁ μέσος παρακείμενος οἶδα· οἱ δὲ Αἰολεῖς τὸ οἶδα οἴδημι λέγουσι, καὶ τὸ δεύτερον οἴδης· καὶ ἐπεκτάσει, καὶ κατὰ συγκοπήν.

Ὀτρηρός: (Il. A. 321.) Ὀτρηρὸς ὁ δραστικὸς, ὁ μὴ ἀναμίμνων παροτρυνθῆναι παρά τινος, ἀλλὰ δι' ἑαυτοῦ παροτρυνόμενος ἅπαντα ποιεῖν· γέγονε δὲ παρὰ τὸ τρέω, τὸ φοβοῦμαι· τρέρος· καὶ κράσει τῶν δύο εε εἰς η, τρηρὸς ὁ δειλός· οὗ παρώνυμον τρήρων· καὶ μετὰ τοῦ στερητικοῦ α ἀτρηρὸς, τουτέστιν ὁ δραστικὸς, καὶ ἐῤῥωμένος τὴν γνώμην, καὶ μὴ δειλός· καὶ τροπῇ τοῦ α εἰς ο ὀτρηρός· καὶ ἀτρεὺς, καὶ κατὰ στέρησιν τοῦ τρεῖν ἐγένετο, ὅ ἐστι φοβεῖσθαι· καὶ μεταθέσει πάλιν τοῦ α εἰς ο Ὀτρεὺς, οὗ ἡ γενικὴ Ὀτρῆος·

λαοὺς Ὀτρῆος. (Il. Γ. 186.)

Οἶνος: (Il. Γ. 300.) Οἶον οἴνους τις ὤν· παρὰ τὸ οἰήσεως ἡμᾶς πληροῦν· Ἀριστοφάνης[q]·

ὁρᾷς ὅταν πινῶσιν ἄνθρωποι, τότε
πλουτοῦσι, πράττουσι[r], νικῶσι δίκας·

ἢ παρὰ τὴν ὄνησιν, τουτέστι τὴν ὠφελείαν· Ὅμηρος·

ἔπειτα δέ κ' αὐτὸς ὀνήσεαι αἴκε πίησθα. (Il. Z. 260.)

οἶον, ὀνῶ, τὸ ὠφελῶ· ὄνομα ῥηματικὸν ὄνος, καὶ πλεονασμῷ τοῦ ι οἶνος· ὁ γὰρ οἶνος ὠφελιμός ἐστι τοῖς μετρίως αὐτὸ λαμβάνουσιν.

Οἵ τέ μοι αἰεί:

ἔνθαδ' ἐπέλθῃσι βουληφόρος, οἵ τέ μοι αἰεί. (Il. Ω. 651.)

ἐνταῦθα τὰ τῆς συντάξεως ἀπὸ τοῦ ἑνικοῦ ἐπὶ τοῦ πληθυντικοῦ κατήντησεν, οὐ γὰρ ὡρισμένως ἕνα βουληφόρον δηλοῖ, ἀλλ' ἀορίστως τινὰ ἐκ τοῦ πλήθους ἐπάγει· εἰ γὰρ ὥριστο ὁ βουληφόρος, οὐδὲν ἐκώλυε λέγειν "ὅς τέ μοι αἰεὶ" οὔτε γὰρ τῇ συντάξει, ἀλλ' οὐδὲ τῷ μέτρῳ τοῦτο ἂν ἦν ἐμπόδιον.

ΑΡΧΗ ΤΟΥ ΠΙ.

Πέλωρα: (Il. B. 321.) Ὄνομα οὐδέτερον· τὸ ἀρσενικὸν ὁ πέλωρ· ῥήτειον τὸν ἐξαίσιον καὶ φοβερόν· καὶ γίνεται παρὰ

q Equit. 90. r Leg. διαπράττουσι.

τὸ πέλω, τὸ ὑπάρχω, καὶ τὸ ὥρα, ὃ σημαίνει τὴν φροντίδα· οἷς ὑπάρχει ἀεὶ ἡ φροντὶς διὰ τὸ μέγεθος· ἐτυμολογεῖται οὕτως· παράγεται δὲ παρὰ τὸ προσπελάζειν τῷ Ὠρίωνι· ὡς λέγει ὁ ποιητὴς ἐν τῷ Χι διὰ τὸ μέγεθος αὐτοῦ, ὅτε εἶδεν ὁ Πρίαμος τὸν Ἀχιλλέα,

ὥς τ' ἀστέρ' ἐπεσσύμενον πεδίοιο
ὅς ῥά τ' ὀπώρης εἶσιν· ἀρίζηλοι δέ οἱ αὐγαὶ
φαίνονται πολλοῖσι[s] μετ' ἄστρασι νυκτὸς ἀμολγῷ·
ὅντε κύν'[t] Ὠρίωνος ἐπίκλησιν. (Il. X. 26.)

λοιπὸν πέλωρ πέλωρος, καὶ πελώριον τὸ οὐδέτερον.

Πελώριος: (Il. Γ. 166.) Τὸ ρι ἰῶτα· τὰ ἀπὸ τῶν εἰς ωρ εἰ μὲν τρέπει τὸ ω, διὰ τῆς ει διφθόγγου γράφεται· τὰ διὰ τοῦ ιος κτητικά· οἷον, Νέστωρ Νέστορος Νεστόρειος,

Νεστορέῃ παρὰ νηΐ. (Il. B. 54.)

εἰ δὲ φυλάττει τὸ ω, διὰ τοῦ ἰῶτα· οἷον πέλωρ πελώριος· ἕλωρ ἕλωρος ἑλώριος.

Πῦρ πυρός: (Il. A. 104.) Καὶ ἔστιν ἐπὶ τῆς εὐθείας μακρὸν, ἐπὶ δὲ τῆς γενικῆς βραχὺ, πρὸς ἀντιδιαστολὴν ἑτέρου σημαινομένου· ἔστι γὰρ πυρὸς, καὶ σημαίνει τὸν σῖτον, καὶ ἔστι μακρὸν τὸ υ· τὸ δὲ πῦρ παρὰ τὸ φύω· οὐδὲν γὰρ εὐφυέστερον πυρὸς ἡνίκα ἐπιλάβῃ τινός.

Πότμος: (Il. B. 359.) Παρὰ τὸ πέτω ποτῶ· ἐξ αὐτοῦ πότος, καὶ πλεονασμῷ του μ πότμος· σημαίνει τρία, τὸν θάνατον, καὶ τὴν ἐσχάτην σύμπτωσιν τοῦ βίου, ἀπὸ τοῦ πεσεῖν· ἐπὶ δὲ τῆς τύχης παρὰ τὸ μεταπίπτειν, ἡ ὑπὸ τὴν πρώτην γένεσιν τοῦ βρέφους ἐπιμεριζομένη τύχη· γίνεται δὲ παρὰ τὸ πτῶ, ὅπερ ἐστὶ κατὰ συγκοπὴν τοῦ πίπτω· γίνεται δὲ εἰς μος ὄνομα πτμὸς, καὶ πλεονασμῷ τοῦ ο διὰ τὴν ἀσυνταξίαν τοῦ πτμ γίνεται δὲ πότμος· ὁ ποιῶν πεσεῖν εἰς τὴν γῆν· ἐπὶ δὲ τῆς τύχης παρὰ τὴν μετάπτωσιν καὶ μεταβολὴν τῶν πραγμάτων· ὅθεν Μένανδρος φησὶ,

τὸ τῆς τύχης[u] ῥεῦμα μεταπίπτει ταχύ.

[s] Cod. πολλοί. [t] Cod. κύνες. [u] Leg. τύχης γὰρ cum Etym. M. p. 685, 38.

Πρηνές: (Il. B. 414.) ‘Επίῤῥημα τοπικὸν ἀπὸ ὀνόματος μετήχθη εἰς ἐπιῤῥηματικὴν σύνταξιν· ἔστι γὰρ πρηνής· τὸ πρη η, διότι ἀνεφάνη τὸ α ἐν τῷ πρανὴς ἐκ τοῦ πρηνής· τὸ οὐδέτερον πρηνές· καὶ ἐξ αὐτοῦ ἐπίῤῥημα.

Πρήθω: (Il. B. 415.) Τὸ πρη η· τὰ διὰ τοῦ ηθω ῥήματα μὴ ἐν κινήσεσιν εὑρισκόμενα γεννῶντα τὸ ο, διὰ τοῦ η γράφεται· ἐπεὶ βαρύνεται καὶ περισπᾶται· ἢ ὅτι τὰ ἀπὸ τῶν εἰς ω ληγόντων ῥημάτων διὰ τοῦ ηθω κατὰ παραγωγὴν γινόμενα διὰ τοῦ η γράφεται· οἷον, νῶ νήθω· πρῶ πρήθω· γῶ γήθω· κνῶ κνήθω· ἐκ τοῦ πρήθω γίνεται τὸ ἐμπρήθω, ὁ παρακείμενος ὁ παθητικὸς, ἐμπέπρησμαι· ἐμπεπρησμὸς καὶ ἐμπρησμός· τὸ πρήθω σημαίνει δύο, τὸ φυσῶ καὶ ἐμπυρίζω· πίπρημι[u] πρήσω, ὁ ἀόριστος ἔπρησα· καὶ τὸ τρίτον ἔπρησε, καὶ ‘Ιωνικῶς πρῆσε· ἔστι δὲ καὶ πρῶ τὸ πιπράσκω· καὶ εἴρηται· περῶ περάσω πεπέρακα, καὶ ἐν συγκοπῇ πέπρακα.

Προβλῆτι: (Il. B. 396.) Ὄνομα ἀρσενικὸν πτώσεως δοτικῆς· ἡ εὐθεῖα προβλὴς, ἡ γενικὴ προβλῆτος· ὁ κανών· τὰ εἰς ος[x] λήγοντα ὀξύτονα σύνθετα ἀπὸ τοῦ παθητικοῦ παρακειμένου, διὰ τοῦ τος κλίνεται, εἴτε εἰς ας ὦσιν, εἴτε εἰς ης, εἴτε εἰς ως· οἷον, κέκραται, χαλκοκρὰς, χαλκοκράτος, ὁ χαλκῷ κεκραμένος· νεοκρὰς νεοκράτος, ὁ νεωστὶ κεκερασμένος· βέβληται, ἀβλὴς ἀβλῆτος· τέτρωται, ἀτρὼς ἄτρωτος, ὁ μὴ τρωθείς· πέπτωκα, ἀπτὼς ἀπτῶτος, ὁ μὴ πεσών· τέθνηκα ἡμιθνὴς ἡμιθνῆτος, ὁ ἡμιθανής· ταῦτα δὲ τὸ πέπτωκα καὶ τέθνηκα, πῇ μὲν φωνῇ ἐνεργητικὰ εἰσὶ, τῷ δὲ σημαινομένῳ παθητικά.

Πίων: (Il. A. 40.) ‘Εκ τοῦ πίω· τὸ πι μακρόν ἐστι· διατί; κανὼν ἐστὶν ὁ λέγων, τὰ εἰς ων δισύλλαβα τῷ ι παραληγόμενα, μὴ ὄντα κύρια, ἐκτείνει τὸ ι· οἷον, κίονος· πρίονος· πίονος· οἱ δὲ παρὰ τὴν πόαν.

Πενταέτηρον[y]: (Il. B. 403.) Τὰ διὰ τοῦ ηρος ὑπὲρ δύο συλλαβὰς, εἴτε ὀξύτονα, εἴτε βαρύτονα, μὴ ἔχοντα ἀναφαινό-

πϊ

[u] Cod. πιπρω πρήσω fors. leg. πιπρῶ πιπρήσω cf. Etym. M. p. 687, 48. [x] Leg. εἰς ς cum Etym. M. p. 3, 39. qui hanc regulam dat e Chœrobosco. [y] Cod. Πεντάετηρ.

μενον τὸ σ· μὴ ἔχοντα ῥῆμα ἀντιπαρακείμενον, διὰ τοῦ η γράφεται· οἷον Ὅμηρος· φάληρος· ἐξ οὗ τὸ τετραφάληρον· Ἄβδηρος τόπος, ἐξ οὗ καὶ Ἀβδηρίτης, ὁ πολίτης· Ἄβληρος ὄνομα κύριον· πενταέτηρος· ὀξύτονα δὲ μοχθηρός· ὀχληρός· σεσημείωται βαρύτονα δύο· Κάμιρος, *ὄνομα πόλεως· ἄϊρος,*

ἦ τάχα Ἶρος ἄϊρος ἐπίσπαστον κακὸν ἕξει. (Od. Σ. 72.)

ὀξύτονα δὲ καυστειρὸς, ὅπερ γίνεται κατὰ διάλεκτον Βοιωτικὴν, *ὡς τὸ τέθηκα τέθεικα· πρόσκειται μὴ ἔχοντα ἀναφαινόμενον τὸ ο, διὰ τὸ ὄνειρος· ὄνοιρος λέγουσιν οἱ* Αἰολεῖς· *πρόσκειται μὴ ἔχοντα ῥῆμα ἀντιπαρακείμενον διὰ τὸ μάγειρος*[z].

Πετεηνῶν: (Il. B. 549.) *Ὄνομα γενικῆς τῶν πληθυντικῶν· τὸ πετεηνὸν γάρ ἐστιν ἡ εὐθεῖα, καὶ τοῦ πετῶ πετήσω, πετηνὸν, καὶ πλεονασμῷ τοῦ ε ποιητικοῦ γίνεται πετεηνὸν, ἐξ οὗ καὶ γράφεται διὰ τοῦ η.*

Πεδίον: (Il. B. 465.) *Ἐκ τοῦ πέδον, ἤγουν πεδόον, καὶ τὸ βραχὺ εἰς βραχὺ τρέπεται, καὶ γίνεται πεδίον, ἐπὶ τοῦ ἀναπεπταμένου, καὶ ἐπιμήκους, καὶ μακροῦ τόπου· διὰ τοῦδε οὐ παροξύνεται ὡς ὑποκοριστικόν· τὰ γὰρ διὰ τοῦ διον ὑποκοριστικὰ τριβράχεα προπαροξύνονται· τοῦτο δὲ οὐκ ἔστιν ὑποκοριστικόν· ὑποκοριστικὸν δέ ἐστι τὸ μείωσιν τοῦ πρωτοτύπου ἀσυγκρίτως δηλοῦν· διαφέρει πέδιον καὶ πεδίον· πέδιον λέγεται προπαροξυτόνως τὸ ὑποκοριστικὸν τῆς πέδης, ὁ μικρὸς δεσμός· πεδίον δὲ ἡ γῆ· τὸ πεδίον μεῖζον ἐστὶν ἐνσημαινομένου τοῦ πέδου.*

Ποσειδάων: (Il. A. 400.) Κλίνεται Ποσειδάωνος· *καὶ ὡς παρώνυμον φυλάττει τὸ ω· ἔστι γὰρ* Ποσειδῶν, *καὶ περισπᾶται· καὶ φύλασσει τὸ ω ὡς περισπώμενον, μὴ συνεξακολουθῆσαν τοῖς περισπωμένοις ὡς παρώνυμον· σεσημείωται τὸ* Ποσειδῶν· *διατὶ δὲ ἐσημειώθη ἐροῦμεν· ὅτι τὰ εἰς ων περισπώμενα οὐδέποτε εἰσὶ παρώνυμα· ἐπειδὴ δὲ εὑρέθη τοῦτο παρώνυμον, τούτου χάριν σεσημείωται· ἔστι γὰρ τὸ ὄνομα ποσειδέης, καὶ ἐξ αὐτοῦ* Ποσειδέων, *καὶ τροπῇ* Δωρικῇ *τοῦ ε εἰς α* Ποσειδάων, *καὶ κλίνεται* Ποσειδάωνος· *καὶ ὡς παρώνυμον φυ-*

z Cf. Etym. M. p. 660, 45.

λάσσει τὸ ω, ὡς Θέων καὶ Ἵέρων· ἐτυμολογεῖται Ποσειδῶν, παρὰ τὸ τῇ πόσει ἐνδεῖν, οὐδεὶς γὰρ γεύεται θαλασσίου ὕδατος· ἢ παρὰ τὸ τοὺς πόδας δεῖν· ἐκεῖσε γὰρ ἀφικόμενοι βαδίζειν οὐ δυνάμεθα· ἢ παρὰ τὸ πέδον σείειν· ὁ αὐτὸς γάρ ἐστι καὶ Ἐνοσίχθων· ἢ παρὰ τὸ τὴν πόσιν τῷ δάει, τουτέστι τῷ ἡλίῳ, ἀναπέμπειν· φασὶ γὰρ τὸν ἥλιον ἐκ τῆς θαλάσσης ἀνιμᾶσθαι τὴν ὑγρότητα.

Πάρεστε: (Il. B. 485.) Ἐκ τοῦ ἐσμὶ ὅπερ οὐκ ἔστιν ἐν χρήσει· ἀλλὰ εἰμὶ, τὸ πληθυντικὸν ἐμὲν, πλεονασμῷ τοῦ σ ἐσμὲν, καὶ τὸ δεύτερον ἐστὲ, καὶ μετὰ τῆς παρὰ πάρεστε· καὶ ἀναβιβάζει τὸν τόνον· κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι πᾶν ῥῆμα ὀξυνόμενον ἐν τῇ συνθέσει ἀναπέμπει τὸν τόνον· καὶ εἰ μὲν δισύλλαβον εἴη τὸ ἁπλοῦν, τριτὴν ἀπὸ τέλους ποιεῖ τὴν ὀξεῖαν ἐν τῇ συνθέσει· οἷον ἐστὲ,

θεαί ἐστε καὶ πάρεστε. (Il. B. 485.)

φημὶ ἀπόφημι· εἰμὶ σύνειμι· εἰ δὲ μονοσύλλαβον πρὸ τέλους· οἷον, σχοῦ ἀπόσχου· θοῦ ἀπόθου· χρὴ ἀπόχρη.

Πυγνύω: Μέλλοντα οὐκ ἔχει· τὰ εἰς μι λήγοντα ὀνόματα ἀπὸ τῆς ἕκτης συζυγίας παραγόμενα, δισύλλαβα μὲν ὄντα κλίνονται ἐπὶ μέλλοντος ἐν ταῖς λοιπαῖς ἐγκλίσεσιν· οἷον θύω θύσω θῦμι· ὑπὲρ δύο δὲ συλλαβὰς ὄντα ἄκλιτα μένουσιν· οἷον ἄχνυμι· πετάννυμι· ὄμνυμι.

Περί: Πόσαις συντάττεται πτώσεσιν ἡ περὶ πρόθεσις; τρισί· γενικῇ· δοτικῇ· αἰτιατικῇ· γενικῇ μὲν ὅτε καὶ αἰτιολογίαν δηλοῖ· "περὶ σωτηρίας·" τουτέστιν ἕνεκεν σωτηρίας· μετὰ δοτικῆς, ὡς ἔχει τὸ,

ἐρωήσει περὶ δουρί. (Il. A. 303.)

ὅτε καὶ τῇ ἐν προθέσει ἰσοσυλλαβῇ· ἔστι γὰρ ῥεύσει ἐν τῷ δόρατι· καὶ αἰτιατικῆς ὅταν καὶ τὴν κύκλῳ περιφορὰν δηλοῖ· λέγουσι δὲ αὐτὴν ἰσοδυναμεῖν τῇ ἀμφί· διαφέρει δὲ αὐτῆς κατὰ τρόπους ε΄· ὅτι ἡ μὲν ἀμφὶ συντίθεται μεθ᾽ ἑτέρας λέξεως, ἀποβάλλουσα τὸ ἔσχατον αὐτῆς φωνῆεν· οἷον,

ἀμφ᾽ ἀγαθὸν θεράποντα ποδώκεος Αἰακίδαο. (Il. Π. 165.)

ἡ δὲ περὶ οὐκ ἔτι· καὶ ὅτι ἡ μὲν ἀμφὶ μακρᾷ παραλήγεται, ἡ

δὲ περὶ βραχείᾳ· καὶ ὅτι ἡ μὲν ἀμφὶ οὐκ ἀναστρέφεται, ἡ δὲ περὶ μετάγεται εἰς μέρος λόγου· ἡ δὲ ἀμφὶ οὔ· καὶ ὅτι ἡ μὲν περὶ συνηθέστερά ἐστιν, ἡ δὲ ἀμφὶ ἀσυνήθης, καὶ ποιητικώτερα.

Πύλος: (Il. A. 269.) Καὶ ἐξ αὐτοῦ Πύλιος· τὸ πυ ψιλόν· τὰ διὰ τοῦ υλος ὀνόματα βαρύτονα, εἴτε κύρια, εἴτε προσηγορικὰ, διὰ τοῦ υ ψιλοῦ γράφεται· οἷον, Πύλος· στύλος· μύλος· σεσημείωται τὸ κοῖλος.

Πένθος: (Il. A. 254.) Κυρίως τὸ ἐπὶ τοῖς κατοιχομένοις πάθος· διὰ τὸ ἐν βαθυτάτῳ εἶναι τὴν εἰς αὐτοὺς λύπην· ἢ διὰ τὸ ἐν βαθυτάτῳ εἶναι τοὺς τεθνεῶτας, τὸ δὲ βαθύτατον καὶ ἀφανὲς βένθος ἔλεγον· μεταθέσει οὖν τοῦ β εἰς π θέντο τὸ τοῦ βάθους τῆς ψυχῆς ἁπτόμενον· ὁ δὲ Ἡρωδιανὸς παρὰ τὸ πάθος φησὶ γεγενῆσθαι, πλεονασμῷ τοῦ ν, καὶ τροπῇ τοῦ α εἰς ε πένθος, ὡς βάθος βένθος· τὸ πεν ψιλόν· ἢ ὅτι κατὰ τροπὴν τοῦ α εἰς ε· ἢ καὶ διὰ τοῦ ενθος ὀνόματα οὐδέτερα μονογενῆ διὰ τοῦ ε ψιλοῦ γράφεται· οἷον, βρένθος· πένθος[a].

Πατήρ: (Il. A. 544.) Εἴδους τῶν ὑποπεπτωκότων πρός τι· πόσαις πτώσεσι συντάσσονται τὰ πρός τι; τρισί· γενικῇ· δοτικῇ· αἰτιατικῇ· γενικῇ οἷον, ὁ πατὴρ υἱοῦ πατήρ· καὶ ἔμπαλιν, ὁ υἱὸς πατρὸς υἱός· δοτικῇ οἷον, ἐπίστημι ἐπιστητῷ, ἐπίστημι καὶ τὸ ἐπιστητόν· αἰτιατικῇ οἷον, ὁ τύπτων τυπτόμενος τύπτει· καὶ τὸ ἔμπαλιν, ὁ τυπτόμενος ὑπὸ τύπτοντος τύπτεται.

Πρός: Πόσαις πτώσεσι συντάσσεται ἡ πρὸς πρόθεσις; τρισί· γενικῇ· δοτικῇ· αἰτιατικῇ· καὶ γενικῇ μὲν συντασσομένη παραλαμβάνεται ἀντὶ τῆς ἐξ· καὶ ἀντὶ τῆς παρὰ, ὡς ἔχει,

πρὸς Διὸς εἰρύαται. (Il. A. 239.)

ἤτοι παρὰ Διός· δοτικῇ δὲ ἀντὶ τῆς παρὰ μόνης· οἷον, "ἑνὰ πρὸς τῇ κεφαλῇ, καὶ ἑνὰ πρὸς τοῖς ποσίν·" ἔστι γὰρ παρὰ τοῖς ποσίν· μετὰ δὲ αἰτιατικῆς κυρίως· οἷον, "πρὸς Ἀγαμέμνονα· πρὸς οἶκον Πηλῆος·" σημαίνει δὲ ἐν ταῖς συνθέσεσι μάλιστα τὴν πρός τι πρᾶγμα ἐγγύτητα· οἷον, προσέδραμα· προσῆλθε· προσδρομὴ, καὶ εἴτι ὅμοιον.

[a] Cf. Etym. M. p. 660, 8.

Παρά: Πόσαις συντάσσεται πτώσεσι ἡ παρά; τρισί· γενικῇ· δοτικῇ· αἰτιατικῇ· γενικῇ οἷον, "παρὰ τοῦ Θεοῦ·" δοτικῇ δὲ καὶ αἰτιατικῇ συντασσομένη σημαίνει ἐγγύτητα· δοτικῇ μὲν, "παρὰ τῷ βασιλεῖ" ἐγγὺς τοῦ βασιλέως· αἰτιατικῇ δὲ, "παρὰ τὴν θάλασσαν" λαμβάνεται δὲ πολλάκις καὶ ἀντὶ τῆς ὑπέρ· οἷον,

ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων·

ἔστι γὰρ ἀντὶ τοῦ ὑπὲρ τοὺς υἱούς· σημαίνει δὲ ἐν ταῖς συνθέσεσι ἀπόκλισιν· οἷον, παράβασις· παραδρομή.

Πλέας: (Il. B. 129.) Ὄνομα αἰτιατικῆς τῶν πληθυντικῶν· ἔστι πλέονας καὶ πλέας· ὥσπερ ἐστὶ χερείων, καὶ ἡ αἰτιατικὴ τὰ χερείονα, καὶ κατὰ συγκοπὴν χέρεια·

ἀλλὰ τὸν υἱὸν
γείνατο εἷο χέρεια μάχῃ. (Il. Δ. 400.)

οὕτως ἐστὶ καὶ πλεῖον, καὶ Ἀττικῶς ἀποβολῇ τοῦ ι πλέον, καὶ ἡ εὐθεῖα τῶν πληθυντικῶν πλέονες καὶ πλέες, καὶ πλέονας καὶ πλέας.

Πανημέριος: (Il. Λ. 279.) Ἐκ τοῦ πανήμερος· τοῦτο παρὰ τὸ πᾶν καὶ τὸ ἡμέρα· τὸ πα βραχύ· τὸ πᾶν συντιθέμενον ἐν ἀρχῇ λέξεως συστέλλει τὸ α· πανάθλιος· πανίερος· παμπόνηρος· πλὴν τοῦ πανάπολις.

Πολλός: (Il. A. 3.) Εἴδους ῥηματικοῦ· πλεονάζει τὸ ἓν λ· τὰ εἰς ος λήγοντα δισύλλαβα τοῖς αὐτοῖς συμφώνοις κεχορηγημένα, παραληγόμενα τῷ ο, βαρύνεται· οἷον, κόττος[b]· ὄσσος· ὄῤῥος· κόλλος· ὁ σπόγγος· τὸ νοσσὸς ἐκ τοῦ νεοσσός· τὸ κόμμος οὐ δὲ σύνηθες· παράλογον τὸ πολλὸς κατ' ὀξεῖαν τάσιν· ὅτι τὰ εἰς λος λήγοντα ἑτέρῳ λ παραληγόμενα τριγενῆ ὄντα, ὀξύνονται· ἰλλός·

ἰλλοί τε πόδες·

κυλλός· οὕτως οὖν καὶ πολλός· καὶ ὅτι τῷ λ παραλήγεται, καὶ ὅτι τριγενές ἐστιν· ἀντίκειται τὸ ἄλλος, ὅπερ ἔχει ἀπολόγιαν, ὅτι τῶν ἐπιμεριζομένων ἐστί· βαρύνεται δὲ ταῦτα· ἕκαστος· ἕτερος· ἄλλος.

Πρηνής: (Il. B. 418.) Σύνθετον· γίνεται παρὰ τὸ νῶ

[b] Cod. κότος.

παράγωγον νεύω, ῥηματικὸν ὄνομα· πρηνὴς[c], καὶ ἐν ἐπεκτάσει πρηνὴς, ὁ νενευκώς· τὰ δὲ ἀπὸ ῥημάτων, ὁπότε μὴ ἔχει δύο σύμφωνα, ἐπὶ γενικῆς εἰς ος λήγει· πολυσπέρης πολυσπέρους· νεάρδης νεάρδους· δύο δὲ σύμφωνα, διὰ τὸ ἄδμης ἄδμητος· ἀντίκειται τὸ Κουρὴς Κουρῆτος· "Κουρῆτές τε." (Il. I. 529.) γέγονε δὲ μεταβολὴ τοῦ ο εἰς η, ὥσπερ πρόων πρήων· οὕτως καὶ προνὴς πρηνής· καὶ ὀλιγοπελίη ὀλιγηπελίη, καὶ θαλαμοπόλος θαλαμηπόλος· καὶ αἱμοπότης αἱμηπότης.

Πέζηι :

πέζῃ ἔπι πρώτῃ. (Il. Ω. 272.)

ὄνομα προσηγορικὸν ἑνικῆς θηλυκοῦ ἁπλοῦν παρώνυμον, παρὰ γὰρ τὸ πέδον πέδη καὶ πέζη· τὸ κοινὸν πέζα, τὸ Ἰωνικὸν πέζη· ἔχει δὲ συγγένειαν τὸ δ πρὸς τὸ[d] ζ· ζυγὸν γὰρ κατὰ τροπὴν ἐκ τοῦ δυγὸν, τὸ δύο ἀγὸν, καὶ αὐτὸ τὸ ῥῆμα, ζεύγω καὶ ζεύξω, παρὰ τὸ δύο ἄγειν ὑπὸ τὸ αὐτὸ, τοῦτο γὰρ κυρίως σημαίνει· τρέπεται δὲ τὸ δ εἰς ζ· ὀλοφύζω ὀλοφυδνός· παίζω παιδνός· ἔστι δὲ καὶ ἕτερον ἐν ὀξείᾳ τάσει πεζῇ ἐπίθετον ἐσχηματισμένον παρὰ τὸ πεζός· πεζὸς γὰρ ὁ διὰ τοῦ πέδου πορευόμενος· πέζα λέγεται καὶ τὸ ἄκρον· ὡς εἵλετό τις τὸ πρὸς τῷ πέδῳ· οὕτως δ' ἂν νοηθείη τὸ ἔσχατον· ταῦτα γὰρ πρός τι· ἔστι γὰρ αὐτὸ δύναται καὶ πρῶτον νοεῖσθαι καὶ ἔσχατον· οὐ τὸ α δὲ εἰς η οἱ Ἴωνες τρέπουσι μόνον, ἀλλὰ καὶ τὸ η εἰς α· λεληχυῖα· λελησμένος,

λελασμένος[d] ἱπποσυνάων. (Il. Ω. 776.)

ἄληστον ἄλαστον,

πένθος ἄλαστον ἔχουσα. (Il. Ω. 105.)

Πρώτη: (Il. Δ. 128.) Θηλυκὸν ἁπλοῦν ἐπιμεριζόμενον τῷ εἴδει ὑπερθετικόν· συνέστηκε γὰρ ἐκ πάθους· ἐπιμεριζόμενον δὲ λέγομεν ὀνόματα ὅσα ἢ ἐκ τοῦ πλήθους, ἢ ἐκ δυάδος ἐπιμερισμὸν ποιεῖται εἰς τὸν καθ' ἕνα· ὥσπερ ἔχει τὸ ἄλλος· ἕτερος· ἑκάτερος· πρῶτος πρότερος· ἡγοῦνται δὲ ὅτι τὸ μὲν πρότερος ἐπὶ δύο, τὸ δὲ πρῶτος ἐπὶ πολλῶν· συγκέχυται παρὰ τοῖς παλαιοῖς· αὐτίκα γοῦν παρὰ τῷ ποιητῇ τὸ πρῶτος καὶ ἐπὶ δύο·

[c] Etym. M. p. 687, 23. leg. πρένης sed noster infra προνής.
[d] Cod. τοῦ. [e] Cod. om. λελασμένος.

Αἰνείας δὲ πρῶτος. (Il. N. 502.)

τὸ δὲ ὄνομα δοκεῖ ἡμαρτῆσθαι παρὰ τὸν τόνον· τὰ γὰρ εἰς τος τῷ ω παραληγόμενα δισύλλαβα τριγενῆ, ὀξύνεσθαι θέλει· πλωτὸς, ἔνθεν,

πλωτῇ ἐνὶ νήσῳ. (Od. K. 3.)

γνωτός· βρωτός· τὸ πρῶτος σεσημείωται βαρυνόμενον, ἴσως ὥσπερ ἐπιμεριζόμενον ὄνομα· μία δὲ τάσις τῶν ἐπιμεριζομένων ἡ βαρεῖα· ἢ πρὸς ἀντιδιαστολὴν τοῦ πρωτὸς βαρύνεται· πρωτὸς γὰρ ὀξυτόνως ὁ πεπρωμένος ὑποπεπτωκὼς, ὅθεν καὶ ἐτόλμησαν τινὲς ἀναγινώσκειν,

ἐπὴν τὰ πρωτὰ γένηται. (Il. Z. 489.)

κατὰ πεπρωμένην· τὰ δὲ τῷ ο παραληγόμενα βαρύνεται μονογενῆ ὄντα· Ὦτος· κλῶτος· Δῶτος ὄνομα αὐλητοῦ· νῶτος· καὶ γὰρ τούτου ἡ χρῆσις, καὶ τὸ μὲν οὐδέτερον,

πολὺ τὸ νῶτον·

ἤδη δὲ καὶ τὸ ἀρσενικόν· ἱστορεῖται δὲ παρὰ Ξενοφῶντι καὶ Ἐφόρῳ· ἡμάρτηται τὸ λωτός· τὸ δὲ πρῶτος παρὰ Δωριεῦσι πρᾶτος λέγεται· συντίθεται δὲ καὶ κατ' ἀρχὴν, καὶ κατὰ τὸ τέλος· πρωτοπαγής· πάμπρωτος· ὥσπερ καὶ ἀπὸ προθέσεως γίνεται συγκριτικὸν ὑπέρτερος, καὶ ὑπερθετικὸν ὑπέρτατος· ὅπερ καὶ κατὰ συγκοπὴν γίνεται ὕπατος·

ὕπατε κρειόντων. (Il. Θ. 31.)

καὶ παρὰ τὴν ὑπὸ ὑπότερος, καὶ κατὰ συγκοπὴν ὕστερος· πολλάκις δὲ τὸ ο συγκοπτόμενον τὸ σ ποιεῖ· θεόφατον θέσφατον· ὑπόπληξ οὕπου[c] ὑποπλήσσονται οἱ ἵπποι· βούλονται δέ τινες καὶ τὸ ὑσμίνη ἐκ τοῦ ὑπομείνη, ἀλλὰ τοῦτο ἀμφίβολον· δύναται δὲ καὶ παρὰ τὸ δυσμένης δυσμίνη, καὶ ὑσμίνη· ὁμοίως καὶ παρὰ τὴν προ πρότερος πρότατος, κατ' ἔνδειαν τοῦ τ, πρόατος· καὶ ὡς ὁ ἄριστος ὥριστος οὕτως πρόατος πρῶτος· παραιτητέον δὲ τοὺς λεγομένους ὅτι ἐστὶ πρότερος, ὁ πρὸ ἑτέρου· οὕτως γὰρ καὶ τὸ ἡμέτερος ἡγήσονται ἡμῶν ἕτερον, καὶ ὑπέρτερος ὁ ὑπὲρ ἑτέρου.

c Leg. ὑπόπληξ ὕσπληξ ὑφ' οὗ.

Πόντος: (Il. Α. 350.) Ὁ μὲν Φιλόξενος παρὰ τὸ πένεσθαι, τοῦτ' ἔστιν καταπονεῖσθαι καὶ ἐνεργεῖν· οἱ δὲ παρὰ τὸ εἰσρεῖν αὐτὸν πάντας τοὺς ποταμοὺς, παρὰ τὴν παντὸς γενικήν· ἡμῖν[f] δὲ δοκεῖ παρὰ τὸ πνέω, πνότος, καὶ πόντος ἐν ὑπερθέσει, ἐξ οὗ αἱ πνοαί· Ὅμηρος·

αἶψα δὲ πόντον ἵκανον ἀήμεναι. (Il. Ψ. 214.)

Περί: Συνωνυμεῖ τῇ ἀμφὶ ὡς τὸ,

ἡμεῖς δ' ἀμφὶ κρήνην·

διαφέρει δέ· ἡ μὲν ἀμφὶ γίνεται ἀμπὶ,

ἀμπίσχων κεφαλήν·

ἡ δὲ περὶ ἡ αὐτὴ μένει· ἡ ἀμφὶ ἐκθλίβεται· ἡ περὶ οὐκ ἐκθλίβεται, εἰ μὴ ἐπιφέρει τὸ ι· τὸ γὰρ,

ἀλλ' οὐδ' ἀχνύμενός περ. (Il. Ν. 419.)

οὐκ ἔστι πρόθεσις· ἡ μὲν ἀμφὶ οὐκ ἀναστρέφεται· ἡ περὶ ἀναστρέφεται· ἀναστρέφεται δὲ ἡ ἐπὶ,

ᾧ ἔπι πόλλ' ἐμόγησα. (Il. Α. 162.)

ἀλλ' ὅταν μεταξὺ πέσοι ἄλλο μέρος λόγου οὐκ ἀναστρέφεται,

ἦλθε δ' ἐπὶ πτωχὸς πανδήμιος. (Od. Σ. 1.)

οὐκ ἔτι γὰρ "ἦλθε δ' ἔπι" διὰ τὸν δὲ σύνδεσμον· τὸ αὐτὸ καὶ ἐπὶ τῆς περί· σημαίνει καὶ ἐπίῤῥημα ἡ περί.

Πολέων: Παρὰ τὸ πολὺς πολέος· ὀξύνεται ἐκ τοῦ πολλὸς καὶ τῆς τριγενείας,

πολέων κεκορήμεθ'[g] ἀέθλων. (Od. Ψ. 350.)

Πόλις: (Il. Β. 373.) Ὄνομα προσηγορικὸν παρὰ τὸ πολῶ, ἔνθα ἀναστρέφονται· τὸ πτόλις πάθει ποιητικῷ παρὰ τὸ πόλις· πολίζω,

ἐπεὶ οὔπω Ἴλιος ἱρὴ
ἐν πεδίῳ πεπόλιστο. (Il. Υ. 216.)

καὶ πτολίζω· ὡς πόλεμος πτόλεμος· τὸ μέντοι πτολίεθρον οὐ λέγεται πολίεθρον, ἐπεὶ παρὰ τὸ πτόλις ἐγένετο· πόλις καὶ ἡ γενικὴ πόλιος, καὶ πόληος, καὶ πόλεως Ἀττικῶς· οὔτε δὲ ἀπὸ τῶν εἰς υς οὔτε ἀπὸ τῶν εἰς ις, οὔτε ἀπὸ τῶν εἰς ος ὀνομάτων γενικὴ ἐστὶ διὰ τοῦ η· σημειούμεθα ἀπὸ τῶν εἰς υς τὴν τα-

[f] Cod. μιν. [g] Cod. κεκαρήμεθ'.

χῆος· ἀπὸ τῶν εἰς ις τὴν πόληος· ἀπὸ τῶν εἰς ος τὴν "τεμένηος" παρὰ Ἀλκαίῳ[h] ἅπαξ χρησαμένῳ· διατί δὲ οὐ γίνεται ἡ γενικὴ διὰ τοῦ η; οὐδέποτε ἡ παραλήγουσα τῆς γενικῆς μείζων ἐστὶ τῆς ληγούσης εὐθείας· διατί βαρύνεται; τὰ εἰς λις λήγοντα δισύλλαβα θηλυκὰ βραχείᾳ παραληγόμενα, ὀξύνεσθαι θέλει· πυλίς· σελίς· ψαλίς· βολίς· σεσημείωται βαρυνόμενον καὶ τὸ πρύλις· ἐκεῖνο δὲ ὅτι παρώνυμον ἐστὶν ἀπὸ τούτου ἡ πρυλὶς ἡ ἐνόπλιος ὄρχησις· τὰ δὲ ἀπὸ τῶν εἰς ος παρώνυμα εἰς ις βαρύνεται, ἢ ὅτι τὰ ὀξύτονα πάντα ἐπ' οὐσίας τάττονται, τὸ δὲ πόλις ἔμφασιν ἔχει μεγέθους· διὸ παρήλλαξε κατὰ τὸν τόνον, ὡς καὶ κατὰ κλίσιν.

Πηοῦς: (Il. Γ. 163.) Ὄνομα ἐπιθετικὸν ἁπλοῦν παρὰ τὸ πάω, τὸ κτῶμαι· τοὺς κτηθέντας κατ' ἐπιγαμίαν· παὸς καὶ πηός· τὸ πα μακρόν· τὰ εἰς ος[i] καθαρὰ εἰ παραλήγει τῷ α ἐκτείνει αὐτό· ναός· λαός· δάος οὐδέτερον· πρᾶος· σεσημείωται τὸ σάος.

Πενθήμεναι: (Od. Σ. 173.) Παρὰ τὸ πένθος, πενθῶ, πενθεῖν· καὶ ποιητικῶς πενθέμεναι, καὶ ἐκτάσει πενθήμεναι· καὶ παρὰ τὸ ἐδεῖν ἐδέμεναι, καὶ ἐν συγκοπῇ τοῦ ε ἔδμεναι· τὸ φορήμεναι καὶ ἀήμεναι· οὐκ ἐκτέταται τὸ πενθήμεναι· τὰ γὰρ εἰς ναι ἀπαρέμφατα, ἐὰν ἔχει μακρὸν παραλῆγον φυλάσσεται· βῆναι βήμεναι· γνῶναι γνώμεναι· οὕτως οὖν καὶ φορῆναι καὶ ἀῆναι· τὸ δὲ ἀρήμεναι Δωρικόν· τὸ δὲ κοινὸν ἀρῶ ἀρᾶς ἀράμεναι· τὸ δὲ ἀρᾶς κοινὸν καὶ Ἰάδος· οἱ γὰρ Δωριεῖς διὰ τοῦ εμεν λέγουσιν εἰπέμεν· φαγέμεν· ὡς ἔμεν· τὸ δὲ εἰπέμεναι ποιητικόν· τό,

χροὸς ἄμεναι. (Il. Φ. 70.)

οὐχ ὅμοιον· οὐ δὲ γὰρ τῷ α παραλήγει ὥστε συγκοπὲν[j] ἐκ τοῦ ἀσσέμεναι, καὶ ἐποίησε πάθος μονῆρες.

Πόθεν: (Il. I. 380.) Ἐπίρρημα πυσματικόν· πάντα δὲ τὰ εἰς θεν ἐπιζήτηται τῆς ἐκ τόπου σχέσεως· τὸ πρωτότυπον ὅθεν, τὸ ἀνταποδοτικὸν τόθεν, τὸ πυσματικὸν πόθεν.

[h] Cod. αλκέω (αι written above). [i] MS. λος. [j] Cod. συγκοπον.

Πλεῖτε:

πόθεν πλεῖθ' ὑγρὰ κέλευθα. (Od. Γ. 71.)

πλείω πλῶ, ὃ σημαίνει τὸ πληρῶ· ἀφ' οὗ καὶ πλήθω, ἀφ' οὗ καί,

πλῆτο ῥόος κελάδων. (Il. Φ. 16.)

σημαίνει δὲ τὸ πλησιάζω, τὸ πλῶ,

αὖτις δ' ἐξοπίσω πλῆτο χθονί. (Il. Ξ. 438.)

ἐξ οὗ καὶ πλήτης καὶ τειχεσιπλήτης, ὡς βήσω βήτης καὶ ἐμπυριβήτης· ἀπὸ τούτου καὶ τὸ πλάσσω παράγωγον· ἔστιν οὖν πλέω πλῶ καὶ πλώω, καὶ πλώσκω· καὶ πλῆτρον τὸ πηδάλιον καὶ ὑποκοριστικῶς εἶπεν Ἀλκμὰν "πλήθριον·" καὶ ποιητικῷ πλεονασμῷ πλείω.

Παρειῶν: (Il. Ω. 794.) Δύναται καὶ θηλυκὸν καὶ οὐδέτερον· τὸ δέ,

παρειάων ἁπαλάων. (Il. Σ. 123.)

θηλυκὸν λέγεται καὶ διὰ τοῦ η ὡς,

τῆς τήκετο καλὰ παρήϊα. (Od. Τ. 208.)

ἐν συνθέσει διὰ τοῦ[k] η ἀεί· οἱ Αἰολεῖς πάραυα λέγουσιν τροπῇ καὶ ἐπενθέσει τοῦ υ τῷ ἰδίῳ ἔθει.

Πρίν: (Il. Α. 29.) Ἐπίῤῥημα χρόνου δηλωτικόν· ἔχει ἐξαίρετον τὸ ἄρθρον πρόταξιν λαμβάνειν,

τὸ πρὶν ἐπ' εἰρήνης. (Il. Ι. 403.)

παρὰ τὸ πάρος παρὶν, καὶ πρίν· σημειῶδες μονοσύλλαβον καὶ ὀξυνόμενον καὶ βραχυνόμενον τὸ ψὸ ἐπίφθεγμα παρὰ Σοφοκλεῖ, καὶ τὸ τίς πυσματικὸν παρατηρητέον.

Πλῆτο:

πλῆτο ῥόος κελάδων. (Il. Φ. 16.)

χρόνου ὑπερσυντελικοῦ συζυγίας δευτέρας τῶν περισπωμένων· ἔστι δὲ πρωτότυπον θέμα[l] πλῶ, ἐξ οὗ πλέω πλῶ· καὶ πλώω καὶ πλωτός· καὶ πλῶ τὸ πλησιάζω,

αὐτός δ' ἐξοπίσω πλῆτο χθονί. (Il. Ξ. 438.)

τὸ ἐμπλησίασε· τὸ δέ,

πλῆτο ῥόος κελάδων. (Il. Φ. 16.)

[k] Cod. vitiose bis habet διὰ τοῦ. [l] Cod. θέαμα.

ἀντὶ τοῦ ἐπλήσθη· ἐκ τοῦ πλῶ πιμπλῶ πίμπλημι, καὶ πίμπλαμαι· καὶ τῆς α΄ καὶ τῆς β΄· ὁ παρακείμενος πέπλημαι, ὁ ὑπερσυντελικὸς ἐπεπλήμην, καὶ πλῆτο, ὡς δέδεκτο δέκτο.

Πολιοῖο: (Il. K. 334.) Ὄνομα ἐπιθετικόν· οὐκ ἀγνοοῦμεν τὴν ἀκριβῆ γραφήν· "πελιοῖο·" οὐ γὰρ ἁρμόζοντος ἐπὶ κατὰ συγκοπὴν ἐξίοντι λαμβάνειν λευκὸν δέρμα· πελιοῦ οὖν παρὰ τὸ πέλλω·

ἔνθ' οὔτε πέλλεις οἷ ἄγραυλος βότος[k].

Σοφοκλῆς ἐν Ἀμφιαράῳ Σατυρικῷ· Ἑλλανικὸς δὲ,

καὶ τὸν Πελίαν ὠνομάζετο, ἐπεὶ ἐπελιώθη αὐτῷ ἡ ὄψις λακτισθέντι ὑπὸ τοῦ ἵππου·

χωρὶς εἰ μή τις λαμβάνει κατ' ἀντίφρασιν τοῦ μέλανος· τὸ δὲ,

πολλῆς[l] ἁλὸς ἐξαναδῦσαι. (Od. Δ. 405.)

ἢ κατ' ἀντίφρασιν τῆς λευκῆς, ἢ κατ' ὑπέρθεσιν ἀντὶ τοῦ πλείστης.

Πολυπλάγκτοιο[m]:

ἐξ ἀνέμοιο πολυπλάγγοιο. (Il. Λ. 308.)

ὄνομα ἐπιθετικὸν κοινὸν σύνθετον νῦν ἀρσενικόν· πλεονασμῷ τοῦ γ, καὶ ἐν τῷ ὀνόματι, καὶ ἐν ῥήματι· πλάγχθη, καὶ πολύπλαγκτος· τὰ δὲ εἰς υς λήγοντα παρ' εὐθείαν[n] συντίθεται· θῆλυς θηλύμορφος· πρέσβυς πρεσβυγενής· καὶ παγενις[o]· βοτρυοχαρής[p]· μόνον τὸ ἥμισυς πῆ μὲν μίαν συλλαβὴν ἐκκέκοπται, ὡς τὸ ἡμισυδῶρον· ἡμισύχοιρος.

Πάρος: (Il. A. 453.) Ἐπίῤῥημα παράγωγον ἐκ τῆς παρὰ προθέσεως· τὰ δὲ εἰς ος ἐπιῤῥήματα καὶ ὀξύνεται καὶ βαρύνεται ὡς παρ' Ἀττικοῖς ἔναγχος· κῆχος· δηλοῖ δὲ τὸ δήπου· συντάσσεται αὐτῷ τῷ ποι· ὡς Φερεκράτης·

ποῖ κῆχος; ἐγγὺς ἡμερῶν γε τεττάρων[q].

τὸ δὲ τῆμος ἐπὶ μὲν ὡρισμένην σημασίαν βαρύνεται· ἐπὶ δὲ

k Leg. vid. ἔνθ' οὔτε πέλλεις οἷα τ' ἄγραυλος βοτήρ. l Hom. Edd. πολιῆς. m MS. πολυπράκτοιο. Cod. πολυπλάγτοιο. n MS. παρευ[θ]. o MS. παγενι[ς]. Leg. fors. πρεσβυγενεῖς. p Leg. βότρυς βοτριοχαρής. q Cf. Etym. M. in ποῖ κῆχος p. 682, 52.

ἀόριστον ὀξύνεται· οὐκ ἐτὸς ἐπίῤῥημα· παρὰ δὲ Συῤῥακουσίοις τὸ ἔξος καὶ τὸ ἔνδος· τοιοῦτο καὶ τὸ πάρος βαρύτονον, τὸ δὲ εἰκὸς, ἐπεὶ ἀπὸ μετοχῆς εἰς ἐπίῤῥημα μετέβη, ὀξύνεται· καὶ τὸ μὲν πάρος ἐκ τῆς παρὰ χρονικῆς ὀξύνεται· τὸ δὲ ἐντὸς καὶ ἐκτὸς ἐκ τῆς ἐν καὶ ἐξ ἐπὶ τόπου ὀξύνεται· παρὰ τὰ τρία ταῦτα γέγονε καὶ ἡ διὰ τοῦ ο ἐπὶ τόπου παραγωγή· ἔκτοθεν· ἔνδοθεν· πάροιθεν· ἔχει δὲ διαφοράν τινα· μόνον γὰρ τὸ πάροιθεν διὰ τοῦ ἰῶτα· τὸ δὲ παροίτερον ζητεῖται εἰ ἐκ τοῦ πάρος παρῆκται, ἢ ἄλλως ἐσχημάτισται.

ΠΟΛΎΣ: (Il. B. 810.) Παρὰ τὸ πολλὸς ὀξύνεται· τὰ εἰς ος ἀρσενικὰ ποιοῦντα εἰς υς παρώνυμα ἀρσενικὰ τὸν αὐτὸν τόνον ἀποδιδόασι· Κότυς· Φόρκυς· Μόρυς· ταύτῃ τινὲς καὶ τὸ πρᾶϋς καὶ τὸ ἵππευς βαρύνουσι· τὸ πολὺς ὀξύνεται· ἐκ τοῦ πολλός· πολλάκις δὲ καὶ κατὰ σχηματισμόν τινα καὶ ὑπόστασιν παραλαμβάνουσιν ὀνόματα· οἷον, μαρτὸς ἀφ᾽ οὗ τὸ μάρτυς· παρὰ τὸ νεκρὸς τὸ νέκυς κατ᾽ ἀφαίρεσιν τοῦ ῥῶ· τινὲς δὲ φασὶ πρότερον τὸ νέκυς κατὰ στέρησιν τῆς χύσεως, καὶ γὰρ ἀλίβας ὁ νεκρός· οἱ δὲ τὸ νεκρὸς πρότερον κατὰ στέρησιν τοῦ κέαρος· τὰ δὲ ὀξυνόμενα εἰς υς ἔχει θηλυκὸν διὰ τοῦ εια· οἷον ὀξεῖα· τὸ πολὺς οὐ ποιεῖ πολεῖα θηλυκόν· τὸ πλεῖα ἐκ τοῦ πλεῖος ἐστὶ, καὶ οὐ συγκέκοπται· τὸ πολὺς θηλυκῶς μόνως τάττεται παρ᾽ Ὁμήρῳ· οἷον,

> πουλὺν ἐφ᾽ ὑγρήν. (Il. K. 27.)

τὸ δὲ,

> περὶ δ᾽ ἠέρα πουλὺν ἔχευεν. (Il. E. 776.)

ἀρσενικόν ἐστι.

ΠΡΎΛΙΣ: (Il. E. 744.) Παρῆκται ἐκ τοῦ πρυλής· δηλοῖ δὲ τὸ πρυλὴς ἐνόπλιον ὄρχησιν· φιλεῖ δέ πως τὰ ἀπὸ τῶν τοιούτων βαρύνεσθαι· ἐκμανὴς ἔκμανις· ἀναλκὴς ἄναλκις· οὕτως πρυλὴς πρύλις.

ΠΆΜΠΑΝ: (Il. A. 422.) Οὐκ ἔστιν ἐπίῤῥημα μεσότητος, ἀλλὰ ποιότητα σημαίνει· τὰ τοιαῦτα ὅταν σοι προταθῇ, ἢ ποιότητα λέγει, ἢ σχέσιν ἔχει· τὰ δὲ εἰς αν ἐπιῤῥήματα ἐκτείνει τὸ α, καὶ βαρύνεται· ἄγαν· λίαν· πέραν· τὸ τάλαν ὀνο-

ματικόν ἐστι· καὶ τὸ πάμπαν δεδιπλασιασμένον· τὸ δὲ ὅτ᾽ ἂν οὐκ ἔστιν ἐπίῤῥημα ἀλλὰ δύο· ὅτε ἄν· τὸ δὲ πᾶν συστέλλει τὸ α ὁπότε ὑπὲρ μίαν συλλαβήν· σύμπαν· πρόπαν· οὕτως καὶ πάμπαν· ἐξ αὐτοῦ τὸ παμπηδὴν καὶ παμπηδόν.

Παΐδες: (Il. Α. 255.) Παῖς ὄνομα κοινὸν τῷ γένει· μονήρες θηλυκὸν τὸ δαῖς· τὸ μονῆρες οὐδέτερον τὸ σταῖς· οἱ δὲ Βοιωτοὶ τὴν αι δίφθογγον εἰς η τρέποντες[s] πῆϊς λέγουσιν ἀντὶ τοῦ παῖς· τὸ ἐντελὲς πάϊς, καὶ ἐν συναλειφῇ παῖς· ὡς ὄϊς οἶς· ἡ εὐθεῖα διχῶς πάϊς καὶ παῖς· ἡ αἰτιατικὴ διὰ τὴν συμπαθείαν πάϊν καὶ παῖν· κωμικῶς δὲ ἡ κλητικὴ ὦ πάϊ ὦ παῖ· ἡ γενικὴ καὶ δοτικὴ μοναχῶς παιδὸς καὶ παιδὶ, καὶ τὰ πληθυντικὰ ὁμοίως μοναχῶς.

Πατέρα: (Il. Δ. 354.) Παρὰ τὸ πῶ, ἢ παρὰ τὸ πατῶ[t], ἢ παρὰ τὸ βῷ, βατὴρ καὶ πατήρ· Ὅμηρος,

μήποτε τῆς εὐνῆς ἐπιβήμεναι. (Il. I. 133.)

ἡ κλίσις ἡμαρτημένη ὁμοίως τῷ ἀστήρ· τὸ φράτηρ Ἀττικοὶ μὲν βαρύνουσιν· οἱ Δωριεῖς ὀξύνουσι· συγκέκοπται ἡ γενικὴ καὶ δοτικὴ, ἀλλ᾽ οὐκ ἔτι ἡ αἰτιατικὴ, οὐ γὰρ λέγεται τὸν πατρά· καὶ ἡ γενικὴ τῶν πληθυντικῶν· Ὅμηρος·

ἐξέτι πατρῶν. (Od. Θ. 245.)

ἴσως μιμούμενος τὴν ἑνικὴν γενικήν.

Πηληϊάδεω: (Il. Α. 1.) Ὄνομα πτώσεως γενικῆς· δεῖ γινώσκειν ὅτι ἔστι Πηλεὺς τὸ πρωτότυπον, καὶ πατρωνυμικὸν αὐτοῦ Πηλείδης, καὶ κατὰ διάλυσιν Πηλεΐδης, καὶ τροπῇ τοῦ ε εἰς η, καὶ πλεονασμῷ τοῦ α διὰ τὸ κακόφωνον, ἢ διὰ τὴν συνέμπτωσιν Πηληϊάδης· ἡ γενικὴ Πηληϊάδου κοινῶς· Δωρικῶς Πηληϊάδαο· καὶ Ἰωνικῶς καθ᾽ ὑπέρθεσιν χρόνου Πηληϊάδεω· ἰστέον δὲ ὅτι τὰ εἰς δος πατρωνυμικὰ, ἢ τῷ ι παραλήγεται μόνῳ, ἢ καὶ ἐν διφθόγγῳ, ἢ τῷ α· εἰ μὲν οὖν ἀπὸ τῶν εἰς ος γενικῶν γένηται ἡ πατρωνυμία, τῷ ι μόνῳ παραλήγει ἐν βραχεῖ, ὁποίας ἂν εἴη καταλήξεως, χωρὶς τῶν ἀπὸ τῶν εἰς ευς, καὶ ἀπὸ τῶν εἰς ος· οἷον, Ἀγαμέμνονος Ἀγαμεμνονίδης· Νέστο-

s v. MS. τρέπουσιν (ποντες written above). t Cod. παω (τω written above).

ρος Νεστορίδης· Βίαντος Βιαντίδης· τὸ δὲ Βιαντίδης πλεονασμός ἐστι τοῦ α· καὶ παρὰ τὴν Δευκαλίωνος γενικὴν καὶ Ἀνθεμίωνος, ὤφειλε Δευκαλιωνίδης καὶ Ἀνθεμιωνίδης· ἀλλὰ συγκοπὴν πέπονθεν ἐν τῷ Δευκαλίδης καὶ Ἀνθεμίδης· καὶ τὸ Χαλκωδοντιάδης καὶ Τελαμωνιάδης πλεονασμὸν ἔχουσι τοῦ α· ὁμοίως δὲ καὶ ἀπὸ τῆς εἰς ους γενικῆς, διὰ τοῦ ειδης γίνεται ἡ παραγωγή· οἷον Ἡρακλῆς Ἡρακλεΐδης καὶ Ἡρακλείδης· καὶ ἀπὸ τῶν εἰς ευς εὐθειῶν διὰ τοῦ ειδης· οἷον, Πηλεὺς Πηλεΐδης, Πηλείδης· ἐν τούτοις γὰρ γίνεται ἡ συναίρεσις εἰς τὴν ει δίφθογγον, ἐπείπερ ἀνεφάνη τὸ ε ἐν τῇ γενικῇ τῶν πρωτοτύπων· εἰ δὲ ἀπὸ τῶν εἰς ος εὐθειῶν ἐστὶν, εἰ μὲν καθαρῶν ὄντων διὰ τοῦ α ἐκφέρονται· οἷον, Ἥλιος Ἡλιάδης· Θυέστιος Θυεστιάδης· τὸ Πάνθοος Πανθοΐδης καὶ Πανθοίδης ἡμάρτηται· εἰ δὲ μὴ καθαρὰ, διὰ τοῦ ι· Ὕλλος Ὑλλίδης· Κόδρος Κοδρίδης· εἰ δὲ ἀπὸ τῶν εἰς ας ἢ εἰς ης, ὧν ἡ γενικὴ εἰς ου, διὰ τοῦ αδης ποιεῖ τὸ πατρωνυμικόν· Βορέας Βορέου, Βορεάδης· Ἱππότας Ἱππότου, Ἱπποτάδης[u]· Πηληϊάδεω· ὁ κανών· οἱ Ἴωνες καὶ οἱ ποιηταὶ τὰς εἰς ου ληγούσας γενικὰς, τὰς ἀπὸ τῶν εἰς ος εὐθειῶν γινομένας, διὰ τοῦ εω προφέρουσιν· οἷον, Ξέρξης Ξέρξου Ξέρξεω· Ἀτρείδης Ἀτρείδου Ἀτρείδεω· ἐναντίως τοῖς Βοιωτοῖς καὶ Αἰολεῦσιν· ἐκεῖνοι γὰρ διὰ τοῦ αο ποιοῦσι τὸ α ἐκτεινόμενον· πᾶσα γὰρ γενικὴ ὀνόματος εἰς φωνῆεν λήγουσα, καὶ περιττοσυλλαβοῦσα τῆς ἰδίας εὐθείας, ἢ ἐκτείνει τὴν παραλήγουσαν, καὶ συστέλλει τὴν λήγουσαν· οἷον, καλὸς καλοῦ καλοῖο· σοφὸς σοφοῦ σοφοῖο· ἢ ἐκτείνει τὴν λήγουσαν· οἷον, Ἀτρείδεω· Πριαμίδεω· Πηληϊάδεω.

Παλλάς: (Il. A. 200.) Παρὰ τὸ πάλλω, τὸ κινῶ, ἢ ἀπὸ τοῦ παλθῆναι αὐτὴν ἀπὸ τῆς κεφαλῆς τοῦ Διός· ἢ ὅτι Πάλλαντα ἕνα τῶν γιγάντων ἀπέκτεινεν, ἢ διὰ τὸ παλλομένην τὴν καρδίαν τοῦ Διονύσου προσκομίσαι τῷ Διΐ.

Παρὰ θῖνα: (Il. A. 34.) Καὶ παρὰ τὸ ἔξω δηλοῖ· ὥσπερ καὶ παραπλεῖν τὸ ἔξω πλεῖν· αἰγιαλὸς μὲν οὖν κοινῷ ὀνόματι

[u] Hinc sæpe corrigendus Etym. Gud. p. 465. Cf. Etym. M. p. 670, 30.

εἴρηται, καὶ ἐστὶ παρὰ τὸ αἶαν ἐγγὺς ἁλὸς ἔχειν· ἔχει δὲ διαφορὰς γ'· ἀκτὴν, καὶ ῥηγμῖνα, καὶ θῖνα· ἀκτὴ μὲν οὖν εἴρηται ὁ πετρώδης αἰγιαλὸς, παρὰ τὸ ἄγνυσθαι καὶ κλᾶσθαι ἐκεῖ τὰ κύματα· θὶν ὁ εὔδιος καὶ ἡσύχιος αἰγιαλός· παρὰ τὸ μετὰ γαλήνης καὶ νηνεμίας ἐκεῖσε τὰ κύματα ἀποτίθεσθαι· ῥηγμὶν δὲ ὁ πρὸς ἄνεμον αἰγιαλός· παρὰ τὸ ῥήσσεσθαι ἐκεῖσε τὰ κύματα.

Πεπίθοιμεν: (Il. A. 100.) Εὐκτική· β' ἀόριστος· τὸ θέμα πείθω· ὁ δεύτερος ἀόριστος ἔπιθον, καὶ ἀναδιπλασιασμῷ Ἀττικῷ ἐπέπιθον· ἐξ οὗ καὶ τὸ,

σπουδῇ γὰρ πεπιθόντες. (Il. Ψ. 37.)

καὶ τὸ ἀπαρέμφατον πεπιθεῖν,

ῥηϊδίως πεπιθεῖν μεγάλας φρένας Αἰακίδαο. (Il. I. 184.)

Πρίν: (Il. A. 97.) Χρόνου δηλωτικόν.

Πάτρης: (Il. A. 30.) Ἡ εὐθεῖα· ἡ πάτρα.

Ποδάρκης: (Il. A. 121.) Ὁ ἐπαρκεῖν τοῖς ποσὶ δυνάμενον, τουτέστι βοηθεῖν διὰ τὸ ὀξὺ τοῦ δρόμου· ὤφειλε δὲ εἶναι ποδαρκὴς ὀξύτονον, ὡς ἐπίθετον· ἀλλὰ σεσημείωται τὰ παρ' αὐτῶ[x] καὶ ἀρκῶ καὶ αὐθάδης· γίνεται ἡ κλητικὴ πόδαρκες, καὶ τὸ οὐδέτερον ποδαρκὲς ὀξύτονον· τῶν ἄλλων ὁμοφωνούντων τῇ κλητικῇ τοῦ ἀρσενικοῦ.

Πρόες: (Il. A. 127.) Ἀόριστος δεύτερος προστακτικοῦ, ἀπὸ τοῦ ἵημι· ὁ β' ἀόριστος ἧν καὶ προστακτικὸν[y] ἓς, καὶ ἐν συνθέσει, πρόες καὶ ἄφες.

Πείρησαι:

εἰ δ' ἄγε μιν πείρησαι. (Il. A. 305.)

παρὰ τὸ πειράζω· ἢ παρὰ τὸ πειρῶ πειρᾶς, ἐπείρασα, καὶ τὸ προστακτικὸν πείρασαι, καὶ τροπῇ τοῦ α εἰς η πείρησαι.

Πρῶτα: (Il. A. 6.) Ἐπίῤῥημα μεταχθὲν ἀπὸ οὐδετέρου· ἰστέον δὲ ὅτι τὰ ἐπιῤῥήματα μεταγόμενα ἀπὸ οὐδετέρου, τὸν αὐτὸν τόνον θέλουσι φυλάττειν· τὸ σάφα παρὰ τὸ σαφέα, συγκοπῇ τοῦ ε· καὶ τὸ ὠκέα τὸ ὦκα· σεσημείωται κατὰ τόνον

[x] Leg. ἀντῶ cum Etym. M. p. 678, 7. [y] Cod. προστακτική.

τὸ σφόδρα· τοῦ ὀνόματος ὀξυνομένου τὸ ἐπίῤῥημα βαρύνεται.

Πάντας: (Il. A. 15.) Ἐκ τοῦ πᾶς· τοῦτο β′ σημαίνει· τὸν πατέρα, οὗ κατὰ ἀναδιπλασιασμὸν παπάς· τοῦτο οἱ Ῥωμαῖοι βαρυτόνως πάπας λέγουσιν.

Παννύχιον: (Il. B. 24.) Ἐπίῤῥημα μεσότητος ἀντὶ τοῦ παννυχίως· ὄνομα γὰρ ὂν μετήχθη εἰς ἐπιῤῥηματικὴν σύνταξιν· ὥσπερ τὸ ἥδιστα καὶ ἥκιστα· καὶ τὰ ὅμοια· γίνεται ἐκ τοῦ ξυνουνυχός[z] νύχιος καὶ παννύχιος· τὸ χι ἰῶτα· τὰ ἀπὸ μονοσυλλάβων ὀξυτόνων διὰ τοῦ ιος γινόμενα ὀνόματα διὰ τοῦ ι γράφεται· οἷον, Φρὺξ Φρυγὸς Φρύγιος· μὴν μήνος μήνιος· νὺξ νυχὸς νύχιος.

Πρίαμος: (Il. A. 255.) Ἐκ τοῦ πρίημι, τὸ πολῶ· πρίαμαι Πρίαμος· ἐπράθη γὰρ, καὶ ταύτης τῆς ἐπωνυμίας ἔτυχε, ὡς ἱστορεῖ Λυκόφρων[a]·

ὠνητὸς αἰθαλωτόν[b]·

ὀξύνεται· τὰ διὰ τοῦ αμος ὀνόματα, εἰ μὲν ὦσι κύρια, βαρύνεται· οἷον, Πρίαμος· Σήσαμος· εἰ δὲ μὴ οὕτως ἔχει, ὀξύνεται· οἷον, φωριαμός· χηραμός.

Πατρώϊον: (Il. B. 46.) Ὄνομα κτητικὸν, ἀπὸ τῶν γενικῶν τῶν ὀνομάτων· πλὴν τριῶν· ἁλυκὸς ὁ ἁλμυρὸς, ἐξ οὗ καὶ

τὰ ἁλμυρὰ νάματα τῆς θαλάσσης·

καὶ Λιβυκός· τί διαφέρει πατρωὸς καὶ πατρώϊος; πατρωὸς λέγεται, ὁ παρὰ τῇ συνηθείᾳ πατροιός· πατρώϊος δὲ τὸ κτητικὸν, πατρῷος δοῦλος· κτῆμα πατρῷον· καὶ ἐν διαλύσει πατρώϊον[c].

Πυκινήν: (Il. B. 55.) Τὸ κι ἰῶτα· τὰ εἰς νος ὀνόματα ἀπὸ ἐπιῤῥημάτων γινόμενα διὰ τοῦ ι γράφεται· ἀληθὲς ἀληθινός· πέδον πεδινός· πύκα πυκινός· τάχα ταχινός· τὸ πυ βραχύ· παρὰ τὸ πετύσσω πετύω πετύσω, καὶ ἐν συγκοπῇ πτύσσω· ἄλλο γὰρ οὐ σημαίνει τὸ πτύσσω εἰ μὴ τὸ ἐπιπίπτον ἕτερον πρὸς τὸ ἕτερον· τὸ κι βραχύ· τὰ εἰς ος ὀνόματα ὀξύτονα, μὴ ὄντα παρώνυμα, διὰ τοῦ ἰῶτα βραχέος ἐκφέρεται· οἷον, ἀδινός·

[z] Leg. credo νὺξ νυχός. [a] v. 338. [b] MS. αἰθαλωτής.
[c] Hæc habet et Etym. Gud. p. 455, 45.

πεδινός· ταχινός· πυκινός· ἀληθινός· σεσημείωται τὸ χαλινὸς καὶ λαρινός· τὸ μὲν χαλινὸς ὅτι ἐστὶ καὶ οὐδέτερον· λέγεται γὰρ τὰ χαλινά· καὶ ὡς διαλλάξαν κατὰ τὰ ἄλλα, διήλλαξε καὶ κατὰ τὸν χρόνον· τὸ δὲ λαρινὸς ἐκ τοῦ * * * * * * * * *[d].

Πύθεσθαι: (Il. B. 119.) Ὁ ἐνεστὼς πεύθω πεύσω ἐπυθόμην, πύθεσθαι τὸ ἀπαρέμφατον· πᾶν εἰς θαι λῆγον ἀπαρέμφατον ὁ μετὰ[e] πλὴν τοῦ παρακειμένου, καὶ τοῦ μέσου ἀορίστου β'· σεσημείωται τὸ ἔρεσθαι β' ἀόριστος ὤν,

ἀλλὰ θέλω σε φέριστε περὶ ξείνοιο ἔρεσθαι. (Od. A. 405.)

διαφέρει πύθεσθαι καὶ πυθέσθαι· πύθεσθαι τὸ σήπεσθαι, καὶ πυθέσθαι τὸ ἀκοῦσαι καὶ μαθεῖν.

Πέφανται: (Il. B. 122.) Ῥῆμα παρακείμενον τῶν εἰς ω· γ' τῶν ἐνικῶν· πέφαμμαι δύο μμ· πᾶσα συλλαβὴ εἰς ν λήγουσα ἐὰν συντέθῃ καὶ τὰ ἑξῆς· πέφαγκα πέφαμμαι· ὁ ἐνεστὼς φαίνω· σημαίνει διὰ τοῦ ε ψιλοῦ τὸ φονεύω· διὰ διφθόγγου δὲ τὸ φανεροποιῶ· ἔφανα καὶ τροπῇ Ἰωνικῇ ἔφηνα.

Πλέας: (Il. B. 129.) Ὄνομα πλέονας καὶ πλέας· ὥσπερ ἐστὶ χερείων, καὶ ἡ αἰτιατικὴ τὸν χερείονα, καὶ ἐν συγκοπῇ χέρεια,

ἀλλὰ τὸν υἱὸν
γείνατο εἷο χέρεια μάχῃ. (Il. Δ. 400.)

καὶ τὸ οὐδέτερον τὸ χέρειον, καὶ τὰ χερείονα, καὶ ἐν συγκοπῇ χέρεια· καὶ

χέρηα δὲ[f] χείρονι δόσκεν. (Il. Ξ. 382.)

οὕτως ἐστὶ πλείων Ἀττικῶς, ἐκβολῇ τοῦ ι πλέων, ἡ εὐθεῖα πλέονες καὶ πλέες, καὶ περιπλέες· ἡ αἰτιατικὴ πλέονας, καὶ ἐν συγκοπῇ πλέας.

Πτολίεθρον: (Il. A. 164.) Ἐκ τοῦ πτόλις κατὰ ποιητικὸν ἔθος γίνεται πτολιέθρον· καὶ διαφέρει ὅτι πτόλις λέγεται[g]

[d] Aliquot voces hic exciderunt, nec opem ministrat Etym. Gud. 487. in ead. v. [e] Corr. et suppl. ex Etym. Gud. p. 486, 48. ὁμοτονεῖ τῷ ἰδίῳ ὁριστικῷ, πλὴν τοῦ παθητικοῦ παρακ. [f] χέρηα δὲ om. Cod. [g] Suppl. ex Etym. Gud. p. 485, 56.

γίνεται διὰ τοῦ ε ψιλοῦ· τὰ εἰς ρον οὐδέτερα μετ' ἐπιπλοκῆς συμφώνου, ὑπὲρ δύο συλλαβὰς ὄντα, ἑνὶ φωνήεντι παραλήγεται· οἷον, πέλεθρον· τέρεθρον· βέρεθρον· φέλετρον καὶ τὰ φέλετρα οὕτως καὶ θύρετρον· πρόσκειται ὑπὲρ δύο συλλαβὰς διὰ τὸ ῥεῖθρον καὶ κλεῖθρον· ταῦτα γὰρ δισύλλαβά εἰσι· παρὰ τὸ θύρα γίνεται θύρετρον· ἐκ τοῦ θύω ἐστὶ, δι' ἧς ὁρμῶμεν πρὸς τὰ ἔξω.

Πλάζουσι: (Il. B. 132.) Πλανῶσι· τὸ πλάζω ἐκ τοῦ πλανῶ· τὸ πλανῶ ἐκ τοῦ πλάνη· τὸ πλάνη ἐκ τοῦ ἀλή· τοῦτο ἐκ τοῦ ἀλῶ· τοῦτο ἐκ τοῦ λῶ, τὸ θέλω· καὶ τοῦ στερητικοῦ α ἀλῶ· ὁ γὰρ πλανόμενος οὐχ ὅπου θέλει πορεύεται.

Ποτιδέγμενος: (Il. B. 137.) Τὸ τι ἰῶτα· ἔστι γὰρ πρὸς, καὶ Δωρικῶς τρέπεται τὸ ο εἰς τ· καὶ ἐπειδὴ οὐδέποτε λέξις Ἑλληνικὴ εἰς ψιλὸν σύμφωνον το τ καταλήγει, προσλαμβάνει τὸ ι, καὶ πάλιν ἀποβαλλον τὸ ῥῶ γίνεται ποτί· καὶ ἐκ τοῦ δέχω δέδεγμαι, καὶ δεδεγμένη, καὶ ὑφέσει δεγμένη, καὶ ἐν συνθέσει ποτιδέγμεναι· συντιθέμεναι γὰρ αἱ προθέσεις τὸν τόνον ἀναπέμπουσιν· ἄλλως· ἔστι πρός· ἐξ αὐτοῦ κατὰ ἐπέκτασιν τῆς τι[h] συλλαβῆς γίνεται προτί· ἀναλόγως[i] ἢ παραλόγως; ἀναλόγως· ἐπειδὴ παρέπεται ταῖς προθέσεσι τὸ μεχρὶ τῆς δισυλλαβίας αὔξεσθαι· καὶ τροπῇ Δωρικῇ τοῦ σ εἰς τ· ὥσπερ σὸς, τὸς, οὕτως καὶ προτί[k].

Πούς: Παρὰ τὸ πόρος, ὁ διαπερώμενος τόπος· τὰ εἰς ος ὀνόματα δισύλλαβα ῥηματικὰ, ἡνίκα μὲν παθητικὰ εἰσὶ τῷ σημαινομένῳ, βαρυτονεῖται· ἡνίκα δὲ ἐνέργειαν, ὀξυτονεῖται· ἐκ τοῦ πόρος γίνεται κατὰ συγκοπὴν πρὸς, καὶ ἐκβολῇ τοῦ ρ πὸς, καὶ ἐπειδὴ οὐδέποτε ὄνομα μονοσύλλαβον βραχυκαταληκτεῖ, πλὴν τοῦ τὶς, πλεονάζει τὸ υ, καὶ γίνεται πούς· ἡ δὲ παραγωγὴ αὐτοῦ ἐστὶ παρὰ τὸ παύω παύσω, παῦς, καὶ πούς· καὶ γὰρ ἐν τοῖς ποσὶ καταπαύεται καὶ καταλήγει τὸ σῶμα· ἐκ τοῦ περῶ πέρος καὶ πόρος· ὀξύτονον, τὸν ἐνεργοῦντα· ἐν τῇ συνθέσει δὲ ἀναβιβάζει τὸν τόνον, ὠκύπους.

[h] Cod. γι. [i] Cod. ἀλόγως. [k] Cf. Etym. Gud. p. 477. ead. v. qui corrigend. e nostro.

Πλεῖαί τοι: (Il. B. 226.) Ἐκ τοῦ πλείων· καὶ κατὰ μεταπλασμὸν γίνεται πλεῖος, καὶ πλεῖαι.

Πῆ: Ἐπίῤῥημα ἐρωτηματικὸν ἀντὶ τοῦ ποῦ· ἔστι καὶ ἀόριστον· ὅτε δὲ ἐρωτηματικὸν περισπᾶται· καὶ τί διαφέρει τὸ πῆ τοῦ ποῦ· ὅτι τὸ μὲν πῆ, τὴν εἰς τόπον σχέσιν σημαίνει, ὡς Ὅμηρος,

πῆ ἔβη Ἀνδρομάχη. (Il. Z. 377.)

τὸ δὲ ποῦ τὴν ἐν τόπῳ,

ποῦ, δεῦρο κιὼν, λίπες Ἕκτορα δῖον; (Il. K. 406.)

ὅθεν οὐδεὶς λέγει "πῆ ἀπέρχῃ" ἀλλὰ, "ποῦ."

Πυραί: (Il. A. 52.) Καὶ πυρκαϊαί· τὸ γὰρ παλαιὸν, τὰ σώματα τῶν θνησκόντων πρότερον ἐκαίετο, διὰ τὸ ἀπέριττα γίνεσθαι, καὶ τὴν τέφραν σὺν τοῖς ὀστέοις ὑπὸ γῆν ἔθαπτον· τοῦτο γίνεται παρὰ τὸ πῦρ· τοῦτο παρὰ τὸ φύω.

Πολυμήχανος: (Il. B. 173.) Ἐκ τοῦ μηχανή· τοῦτο ἐκ τοῦ μῆχος· τοῦτο ἐκ τοῦ μήδω τὸ βουλεύομαι· μήσω μῆχος καὶ[1] * * * * τοῦ πολὺς πολυμήχανος.

Πόλεμος: (Il. A. 61.) Καὶ πολέμιος· καὶ τὸ πολέμιον καὶ π * * * πολεμήϊον καὶ πολεμήϊα, ὡς ποίμνιον ποιμνήϊον,

αἴτε κατὰ σταθμὸν ποιμνήϊον· (Il. B. 470.)

* * τοῦ η.

Παῖς: (Il. B. 205.) Τρία σεσημείωται παῖς· δαῖς· σταῖς· ἅτινα κλίσιν μὲν * * * * * * δὲ οὐχ ὑπέπεσον· ἀρσενικὸν ὁ παῖς· θηλυκὸν ἡ δαῖς· οὐδέτερον σταῖς, τὸ ἄλευρον.

* * * *[m]: Δοτικῇ· πρώτιστος ὑπερθετικοῦ χαρακτῆρι ἐστὶν ἢ σημαινομένῳ· ἢ καὶ χαρακτῆρι, καὶ σημαι * * * μὲν γὰρ αὐτῶν εἰσὶ καὶ χαρακτῆρι καὶ σημαινομένῳ· ὥσπερ ἐστὶ τὸ σοφώτατος· τινὰ δὲ οὐχί· τότε πρώ * * * * πλατάνιστος ἀντὶ τοῦ πρῶτος καὶ πλάτανος· ἀντὶ γὰρ ἁπλῶν εἰσί· πρῶτον γὰρ συγκριτικὸν οὐκ ἔχει· τὸ δὲ ὑπ * * * χαρακτῆρι μόνῳ· καὶ ἡ αἰτιατικὴ ἐστὶν αὕτη· ἐπειδὴ τὰ ὑπερθετικὰ τριγενῆ

[1] In laceri folii margine periere quædam. [m] Glossa quæ ex mutilo codice excidit videtur esse πρωτιστῇ: cf. Etym. Gud. p. 693. v. Πρώτιστος.

εἰσί· ταῦτα δὲ οὐδέτερα οὐκ ἔχουσι· καὶ τί διαφέρει τὰ ὑπερθετικὰ τῶν συγκριτικῶν; ὅτι τὰ μὲν ὑπερθετικὰ ἀπηρτισμένην καὶ ἀκροτάτην ἔχοντα ἐπίτασιν, οὐκ ἐπιδέχονται ἐπιτατικὰ ἐπιῤῥήματα· οἷον τὸ μᾶλλον, ἢ ἧττον, ἢ ἄγαν, ἢ πάνυ, ἢ λίαν, ἢ μάλιστα· οὐ γὰρ λέγομεν "λίαν τιμιώτατος·" τὰ δὲ συγκριτικὰ ἅτε τελειοτάτην οὐκ ἔχοντα ἐπίτασιν ἔστιν ὅτε δευτέραν ἐπιῤῥηματικὴν ἐπίτασιν προσδέχεται· οἷον, ὡς παρ' Ὁμήρῳ,

πολλὸν παυρότεροι. (Od. Ξ. 17.)

καὶ

ῥηΐτεροι δὲ μᾶλλον ἔσεσθε. (Il. Ω. 243.)

Πέπονες: (Il. B. 235.) Ἀπὸ μεταφορᾶς τῶν πεπείρων καρπῶν, καὶ σεσημειωμένων· ἃ τῇ μὲν γεύσει ἐστὶν ἡδέα, τῇ δὲ θίξει καὶ τῇ ἁφῇ μαλακὰ καὶ εὐένδοτα[n]· σημαίνει δύο· καὶ ὅταν μὲν σημαίνει τοὺς γενναίους, γίνεται ἐκ τοῦ φόνος φόνους, καὶ ἔλεγον οἱ Δωριεῖς τοὺς ἐπονειδίστους, ἤγουν ἄξια φόνου δεδρακότας, καὶ Φρυγικῷ ἔθει καὶ ἀναδιπλασιασμῷ πέφονες, καὶ τροπῇ τοῦ φ εἰς π· πέπονες· συστέλλεται δέ· τὰ δὲ κοινὰ τῷ γένει.

Πεσσέμεν[o]: (Il. B. 237.) Σημαίνει τὸ χωνεύω· ἐξ αὐτοῦ τὸ,

καταπέψῃ[p]. (Il. A. 81.)

ἀντὶ τοῦ χωνεύσῃ, κατάσχῃ· δαπανήσει, τουτέστιν ἐγκράτης γένηται τῆς ὀργῆς· ἔστι δὲ ἀπαρέμφατον τὸ πεσσέμεν[q] ἐνεστῶτος· καὶ οἱ Δωριεῖς τὰ εἰς ειν ἀπαρέμφατα διὰ τοῦ εμεν προφέρουσιν· ἔστω πρώτης ἐκ τῶν βαρυτόνων πέπτω γὰρ οἱ Αἰολεῖς βαρυντικοὶ ὄντες τὸ πτ εἰς δύο σ μετατιθέασι· τὸ γὰρ νίπτω νίσσω λέγουσι, καὶ τὸ ὄπτω ὄσσω, οὕτως καὶ τοῦτο· εἴρηται δὲ ἀπὸ τῶν ἐν τῇ γαστρὶ πλείονα χρόνον κατασχομένων σιτίων· καὶ γὰρ αὐτὰ ἂν μὴ κρατηθῇ τὸν ὡρισμένον καιρὸν ἀσθενούσης τῆς καθεκτικῆς δυνάμεως, οὐ πέπτεται· εἰσὶ δὲ τρία εἴδη τῆς γαστρός· ἑλκτική· καθεκτική· ἀλλοιωτική· κριτική· ἑλκτική ἐστι ὅτε ἐπιθυμεῖ τις τοῦ φαγεῖν· καθεκτικὴ * * * * * * *

[n] Etym. M. p. 662, 2. ἀνένδοτα. Sed Etym. Gud. p. 460, 23. εὐένδοτα cum nostro. [o] Cod. πεσέμεν. [p] Cod. καταπέμψῃ. [q] MS. πεσέμεν.

Πεπληγώς: (Il. B. 264.) Πλήσσω ἔπλαγον ἐπὶ τοῦ ψυχικοῦ πάθους [ἔπληγον] λέγουσι· ἐπὶ δὲ τοῦ σωματικοῦ διὰ τοῦ η· ὁ δὲ ποιητὴς εἶπε "κατεπλήγη" καὶ ἵνα μὴ νομίσωμεν ἐπὶ τοῦ σωματικοῦ λέγεσθαι· εἶπε "φίλον ἦτορ" ἤγουν τὴν ψυχὴν διὰ τὸ μέτρον.

Πλησίον: (Il. B. 271.) Ὄνομα, καὶ μετήχθη εἰς ἐπίρρημα· καὶ ἐστὶ μονόπτωτον, καὶ γίνεται ἐκ τοῦ πλητὸς πλητίος, καὶ τροπῇ τοῦ τ εἰς σ πλησίος· καὶ ἡ αἰτιατικὴ τὸν πλησίον.

Περὶ μὲν βουλῆς: Ἡ περὶ ἀνθ' ἑτέρας, λέγω δὴ ἀντὶ τῆς ὑπὲρ, τὸν ἴδιον τόνον φυλάσσει· πρόθεσις γὰρ ἀντὶ προθέσεως παραλαμβανομένη τὸν ἴδιον τόνον φυλάττουσα.

Πτολίπορθος: (Il. B. 278.) Ὄνομα ἐκ τοῦ πορθῶ· τὸ πορ μικρόν· ἐπειδὴ τὰ ἀπὸ βαρυτόνων ῥημάτων τῷ ε παραληγόμενα, μεταγόμενα εἰς περισπώμενα, διὰ τοῦ ο μικροῦ γράφεται· τὸ δὲ πέρθω παρὰ τὸ περιθέω, τουτέστι τὸ περιτρέχειν τὴν γῆν καὶ τὴν πόλιν· καὶ διατί, ὥσπερ τὸ καλλιγράφος ἐκ τοῦ γράφω ῥήματος συντεθὲν πρὸ μιᾶς ἔχει τὸν τόνον, μὴ καὶ τὸ πτολίπορθος ἐκ τοῦ πορθῶ γεγονὼς πρὸ μιᾶς εἶχε τὸν τόνον; ἐπειδὴ τὰ εἰς ος ὀνόματα ἀπὸ ῥημάτων δισυλλάβων, τῶν ἀπὸ μακρᾶς ἀρχομένων, συντιθέμενα, προπαροξύνεται· οἷον, συλῶ ἱερόσυλος· μυκῶ ἐρίμυκος· οὕτως καὶ πορθῶ πτολίπορθος.

* * * γος[r]: (Il. B. 293.) Ὄνομα εὐθείας θηλυκὸν, ἐκ τοῦ πολὺς καὶ τοῦ ζυγός· προπαροξύνεται· κανὼν ἐστὶν ὁ λέγων ὅσα * * * * * ἐν τῇ συνθέσει κατὰ τὸ ἄρχον μέρος, ὀνόματος ἐπιφερομένου, ἢ ῥήματος, ἐν τέλει προπαροξύνεται· * * * αρπος[s]· πολύμηλος· Πολύϊδος· πολύμηλος· πολύολβος· πολύφημος· σεσημείωται τὸ πολυφάγος * * * ἐξηκολούθησεν ἑτέρῳ κανόνι· τὰ γὰρ παρὰ τὸ φαγεῖν συντιθέμενα κατὰ τὸ τέλος πρὸ μιᾶς * * * * τόνον· οἷον, ποηφάγος· ἀδδηφάγος· ὠμοφάγος· σαρκοφάγος· παμφάγος· οὕτως καὶ πολυ * * *.

Πρὸς ῥα πλατάνιστον: (Il. B. 310.) Ὄνομα παρώνυμον

r Leg. πολύζυγος.

s Leg. πολύκαρπος.

τὸ γὰρ πλατάνιστος καὶ πρώτιστος πῆ μὲν * * * ἢ εἰσὶν ὑπερθετικά· τῷ δὲ σημαινομένῳ καὶ τῷ χαρακτῆρι ἀντὶ ἁπλῶν [καὶ] εἰσὶ παρωνυμὰ ἐκ τοῦ πλάτους * * σι[t] γὰρ αὐτὴν εἶναι πλατόφυλλον· ἡ δὲ πρὸς ὧδε κυρίως ἐστὶν ἢ καταχρηστικῶς; καταχρηστικῶς· ἐπειδὴ ἡ πρὸς ἐπὶ τῆς ἐμψύχου τάσεως· ἡ δὲ εἰς ἐπὶ τῶν ἀψύχων, καὶ ὤφειλεν εἰπεῖν "εἰς ῥα πλατάνιστον" τὸ πάρος ἐκ τοῦ πρὸς, καὶ μικρόν τι πρὸς ἀντὶ τοῦ ἔμπροσθεν.

Πτέρυγος: (Il. B. 316.) Ἡ εὐθεῖα πτέρυξ παροξυτόνως, καὶ κλίνεται πτέρυγος· γίνεται ἐκ τοῦ πτερύσσω· τοῦτο ἐκ τοῦ πτερόν· τοῦτο ἐκ τοῦ πέτω, πέτερον καὶ πτερόν· διατί λέγεται ὧδε πτερὺξ ὀξυτόνως; λέγεται ὅτι διαφόρου ἔχει· πτερὺξ γὰρ ὀξυτόνως περιεκτικήν τινα ἔννοιαν σημαίνει ὅλην· παροξυτόνως δὲ τὸ μέρος τί τοῦ πτεροῦ.

Πῆμα[u]: Παρὰ τὸ πήθω τὸ πάσχω γίνεται πῆμα καὶ ἐξ αὐτοῦ πημαίνω· ὡς δεῖμα δειμαίνω· πάσχω μέλλοντα οὐκ ἔχει· καὶ τὰ εἰς σχω λήγοντα ῥήματα μετ' ἐπιπλοκῆς συμφώνου ἄχρι τοῦ παρατατικοῦ· οἷον, ἐρέχθω· ἄχθω.

Πυγμαίοις: (Il. Γ. 7.) Ἐκ τοῦ πυγμὴ, ὅ ἐστιν εἶδος ἀγῶνος, παρὰ τὸ πτύσσω· ὁ μέλλων πτύξω, πτυγμὴ, καὶ ἀποβολῇ τοῦ τ πυγμή· σημαίνει γὰρ ὅτι κλείοντες τοὺς δακτύλους πλήττομεν· σημαίνει δὲ καὶ τὸν ἐν συνηθείᾳ γρόνθον· λοιπὸν ἐκ τοῦ πυγμὸν γίνεται ὄνομα παρώνυμον πυγμαῖος· τὸ μαι δίφθογγος· τὰ ἀπὸ τῶν εἰς α καὶ εἰς η θηλυκῶν διὰ τοῦ αιος γινόμενα ὀνόματα.

Πρήσσω: (Il. Λ. 551.) Ἐνεστώς· τοῦτο μέλλοντα οὐκ ἔχει· κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι τὰ ἀπὸ μελλόντων ποιητικῶς μεταγόμενα εἰς ἐνεστῶτα, ἄχρι τοῦ παρατατικοῦ κλίνεται· ἔστι γὰρ περῶ, ὁ μέλλων περάσω, καὶ κατὰ συγκοπὴν πράσω, καὶ τροπῇ τοῦ α εἰς η πρήσω, πλεονασμῷ ἑτέρου σ· καὶ μετάγεται ὁ μέλλων εἰς ἐνεστῶτα, καὶ γίνεται πρήσσω, καὶ ὁ παρατατικὸς ἔπρησσον,

διέπρησσον πεδίοιο. (Il. B. 785.)

[t] Leg. λέγουσι. [u] Cod. πῆπα.

Προμάχιζε:

Τρωσὶ προμάχιζε. (Il. Γ. 16.)

Τὸ σχῆμα ἐστὶ πτώσεως δοτικῆς ἀντὶ γενικῆς ὡς τὸ,

ἄρχευ Ἀργειοίσιν. (Il. Β. 345.)

ἀντὶ τὸ ἄρχε τῶν Ἑλλήνων· οὕτω καὶ τοῦτο ἀντὶ τοῦ Τρώων προεμάχει· τὸ προμαχίζω ἐκ τοῦ πρόμαχος· τοῦτο ἐκ τοῦ μάχη, καὶ τῆς πρὸ προθέσεως, πρόμαχος προμαχίζω· καὶ τὸ πρόμος ἐκ τοῦ πρόμαχος· τοῦτο ἐκ τοῦ μάχη καὶ τῆς πρὸ προθέσεως πρόμαχος, προμαχίζω· καὶ τὸ πρόμος[v] ἐκ τοῦ πρὸ γίνεται κατὰ συγκοπὴν, ὡς ἐκ τοῦ πύλη εὐρύπυλος.

Παρδαλέην: (Il. Γ. 17.) Ὄνομα· ἡ εὐθεῖα ἡ παρδαλέη· ὁ κανὼν ὥσπερ ἡ λεοντέη· τὸ ἀρσενικὸν παρδάλεος· τὸ λε ψιλὸν διατί; ἐπειδὴ οἱ Ἴωνες τὰ διὰ τοῦ ειος μετουσιαστικὰ ἀποβάλλοντες τὸ ι τῆς ει διφθόγγου διὰ τοῦ εος προφέρονται· Ἑκτόρειος Ἑκτόρεος· παρδάλειος παρδάλεος· καὶ πότε λέγεται πάρδαλις καὶ πότε πόρδαλις; παραφυλακτέον ὅτι ἐπὶ μὲν τοῦ ζώου διὰ τοῦ ο δεῖ προφέρειν, ἐπὶ δὲ τοῦ δέρματος διὰ τοῦ α· καὶ γίνεται πόρδαλις τὸ ζῶον, παρὰ τὸ προάλλεσθαι καὶ ἀτάκτως κινεῖσθαι πρόαλλις, πλεονασμῷ τοῦ δ καὶ ἐν ὑπερθέσει· καὶ τὸ δέρμα λέγεται παρδάλειος καὶ Ἰωνικῶς παρδάλεος, καὶ τὸ θηλυκὸν παρδαλέη παρδαλῆ, καὶ τὴν παρδαλέα τὴν παρδαλῆ περισπώμενον, ὡς λεοντῆ.

Προπάροιθεν: (Il. Γ. 22.) Ἐπίῤῥημα τοπικὸν ἐκ τῆς πρὸ προθέσεως καὶ τὸ πάροιθεν· τοῦτο ἐκ τοῦ πάρος πάροθεν, καὶ πλεονασμῷ πάροιθεν, καὶ κατὰ ἀναδιπλασιασμὸν προπάροιθεν.

Παλίνορσος: (Il. Γ. 33.) Ἐκ τοῦ πάλιν, τοῦ σημαίνοντος τὸ εἰς τοὐπίσω, καὶ τοῦ ὄρσω μέλλοντος· ἔστι γὰρ ὄρω, ὁ μέλλων ὀρῶ, καὶ οἱ Αἰολεῖς βαρυντικοὶ ὄντες πλεονάζουσι τὸ σ, καὶ βαρύνουσιν αὐτό· οὐκ ἄλλο δὲ πλεονάζουσιν ἀλλ' ἢ τὸ σ· διατί; πᾶς γὰρ βαρύτονος μέλλων πρὸ τοῦ ω θέλει ἔχειν τὸ σ, ἢ δυνάμει, ἢ ἐνεργείᾳ, καὶ μετὰ τοῦ πάλιν γίνεται παλίνορσος, ὁ ὀπισθόρμητος· τὸ πάλιν σημαίνει τρία.

[v] Male Etym. Gud. p. 481, 9. πρόχος.

Πάσσεν: (Il. Δ. 219.) Τὸ ἐποίκιλλε· καὶ πόθεν δῆλον ὅτι σημαίνει τὸ ἐποίκιλλεν; ἐπειδὴ καὶ τὰ ποικίλα παραπετάσαντα καλοῦσιν.

Προτέρω: (Il. Γ. 400.) Ἐκ τοῦ πορρωτέρω κατὰ συγκοπὴν καὶ ἐν ὑπερθέσει.

Παλαμάων: (Il. Γ. 128.) Ἡ εὐθεῖα παλάμη παρὰ τὸ πάλλω, τὸ κινῶ· ἐτυμολογεῖται παρὰ τὸ πολλοὺς ἀμᾶν, ἐξ οὗ παλαμαῖος, καὶ πλεονασμῷ τοῦ νυ, παλαμναῖος· σημαίνει δύο· ὁ τοὺς αὐτοχείρας τιμωρούμενος, καὶ ὁ ἐπί τινι μιάσματι κατεχόμενος.

[Προσῳδία ἐστὶ ποία τάσις φωνῆς ἐγγραμματοῦ ὑγιὴς κατὰ τὸ ἐπαγγελτικὸν, ἐκφερομένη μετά τινος τῶν συνεζευγμένων παρὰ μίαν συλλαβήν· ἤτοι διὰ συνήθειαν διαλέκτου ὡμολογουμένη κατὰ τὸν ἀναλογητικὸν λόγον· μετά τινος τῶν συνεζευγμένων παρὰ μίαν συλλαβὴν εἶπεν, ἀντὶ τοῦ μετὰ πνεύματος· μετὰ συντάξεως στοιχείου· μετὰ γράφης· μετὰ σημαινομένου.]

Πηός: (Il. Γ. 163.) Τὸ πη η· ἢ ὅτι κατὰ διάλεκτον εὑρέθη παὸς, ἢ ἐκ τῆς παραγωγῆς· ἔστι γὰρ πῶ, καὶ σημαίνει τὸ κτῶμαι· οὗ ὁ μέλλων πάσω, ἐξ οὗ πάμων καὶ πολυπάμων· γίνεται οὖν παὸς, καὶ τροπῇ τοῦ α εἰς η πηός· τί διαφέρει πηὸς καὶ φίλος; φίλοι μὲν λέγονται οἱ μηδὲν τῷ γένει προσήκοντες· πηοὶ δὲ οἱ κατ' ἐπιγαμίαν συγγενεῖς.

Πέπλος: (Il. Ε. 194.) Καὶ μετὰ τοῦ τανύω τανύπεπλος· γίνεται ἐκ τοῦ πρέπω πρέπαλος καὶ ἐν συγκοπῇ πέπλος· διαφέρει πέπλος καὶ χιτών· χιτὼν λέγεται τὸ λινοῦν καὶ ἁπλοῦν περιβόλαιον· πέπλος δὲ τὸ ποικίλον καὶ γυναικεῖον ἱμάτιον[x].

Πουλυβότειρα: (Il. Γ. 265.) Τὸ τει δίφθογγος· τὰ εἰς ρα βαρύτονα ἐὰν ἔχωσι τὸ ι, ἐν διφθόγγῳ αὐτὸ ἔχουσι παραληγόμενον· γίνεται ἀπὸ τοῦ πολυβοτήρ· τοῦτο παρὰ τὸ πολὺς καὶ τὸ βοτήρ· τοῦτο παρὰ τὸ βόσω μέλλοντα· οὗ ὁ ἐνεστὼς βῶ βοτήρ· σημαίνει δὲ τὸν βόσκοντα, ἐξ οὗ μηλοβοτῆρες, οἱ τὰ μῆλα βόσκοντες.

[x] Cf. Etym. Gud. p. 460, 13.

Πηγεσιμάλλωι: (Il. Γ. 197.) Ἡ εὐθεῖα πηγεσίμαλλος· σημαίνει δὲ τὸν μελάνας μαλλοὺς ἔχοντα· ὁ γὰρ τοιοῦτος φοβερὸς φαίνεται ἐν πλήθει λευκῶν προβάτων· γίνεται παρὰ τὸ πηγὸν, καὶ σημαίνει δύο· ἐκ γοῦν τοῦ πηγὸς καὶ τοῦ μαλλὸς, πηγόμαλλος, καὶ πλεονασμῷ τῆς σι συλλαβῆς πηγεσίμαλλος· μαλλὸς δὲ παρὰ τὸ μῆλα τὰ πρόβατα· πόθεν δῆλον ὅτι πεγεσίμαλλος ὁ ἔχων μέλανας μάλλους; ἐκ τοῦ εἰρηκέναι τὸν ποιητὴν μικρὸν ἔμπροσθεν,

ὅς τ' οἴων μέγα πῶϋ διέρχεται ἀργεννάων. (Il. Γ. 198.[y])

Πῶϋ: (Il. Γ. 198.) Σημαίνει τὸ ποίμνιον· γίνεται παρὰ τὸ πῶ τὸ κτῶμαι, τὰ γὰρ κτήματα ἐπὶ τῶν θρεμμάτων λέγεται· ἢ ὅτι ποτῷ ἥδεται καὶ εὐφραίνεται.

Πολύμητις: (Il. Α. 311.) Ἔστι μῆτις, καὶ ἐν συνθέσει πολύμητις· διατί ἀναβιβάζει τὸν τόνον; ζήτει εἰς τὴν κληΐς· καὶ κλίνεται πολυμήτιδος, καὶ τὸ Ἰωνικὸν πολυμήτιος· διατί δὲ αὐτὸ διὰ καθαροῦ τοῦ ος κλινόμενα, ὡς ἐπὶ τοῦ μάντιος· ὄφιος· τούτου χάριν καὶ ἐπὶ τῶν κλινομένων διὰ συμφώνων ποιοῦσι τὴν γενικὴν διὰ καθαροῦ τοῦ ος· οἷον, Πάριδος· Θέτιδος Θέτιος.

Πέποσθε: (Il. Γ. 99.) Ὁ μὲν Ἡρωδιανὸς ὅτι πήθω τὸ πανθάνω, ὁ μέλλων πήσω, πέπηκα, πέπησμαι, τὸ πληθυντικὸν πεπήσμεθα, πέπησθε, καὶ συστολῇ τοῦ η εἰς ο· οἱ δὲ ὅτι ἐστὶ πονῶ, πονήσω, πεπόνηκα, πεπόνημαι, πεπόνησαι, πεπονήμεθα, πεπόνησθε καὶ συγκοπῇ πέποσθε· ἀντὶ τοῦ πεπόνθατε.

Πύξ: (Il. Γ. 237.) Ἐπίρρημα ποιότητος· γίνεται ἐκ τοῦ πτύσσω, τὸ ἀσφαλίζω· πτύξω καὶ πτύξ· κατακλείοντες γὰρ τοὺς δακτύλους, ὡς εἴρηται, ἐν τῇ πυγμομαχίᾳ ἐπάλαιον.

Πολυδεύκης Πολυδεύκους: (Il. Γ. 237.) Ὁ κανὼν τὰ εἰς ης ὀνόματα κύρια σύνθετα, ἀπὸ ῥήματος παραγόμενα, εἰς ου ἔχει τὴν γενικήν· οἷον, Ἀριστοφάνης Ἀριστοφάνους· Πολυδεύκης Πολυδεύκους.

Πυκνά: (Il. Ρ. 202.) Ὄνομα οὐδέτερον· σημαίνει δὲ τὰ

[y] Cf. Etym. M. p. 669, 17. et Gud. p. 465, 1.

συνεχῆ καὶ συνετά, ἡ γὰρ φρόνιμος διάνοια πεπυκνωμένη ἐστίν, ὥσπερ τοὐναντίον ἡ ἔκφρων[z] ἠραιωμένη· τὸ ἀρσενικὸν ὁ πυκνὸς, τοῦτο ἐκ τοῦ πυκινὸς, τὸ δὲ πυκινὸς παρὰ τὸ πῦκα, τὸ δὲ πῦκα παρὰ τὸ πτύσσω πτύκα, καὶ ἀποβολῇ τοῦ τ πῦκα· τὸ δὲ πτύσσω παρὰ τὸ πέτω πετύσσω· τὸ γὰρ πτύσσειν οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ ἐπιπίπτειν ἕτερον πρὸς ἕτερον.

Παῦρα: (Il. Γ. 214.) Τὸ ἀρσενικὸν παῦρος· σημαίνει δὲ τὸ ὀλίγον· γίνεται παρὰ τὸ παύω, παύσω, παῦρος· ὁ μὴ μέχρι πολλοῦ διήκων, ἀλλὰ ταχέως παύων.

Πέφνηι (Il. Υ. 172.) Καταπέφνη: (Il. Γ. 281.) Ῥῆμα ὑποτακτικὸν ἀόριστος β΄· τὸ ῥῆμα φένω· γίνεται ἐκ τοῦ φῶ, τὸ φονεύω, φένω καὶ φόνος ἐξ αὐτοῦ· ὁ μέλλων φενῶ· ὁ β΄ ἀόριστος ἔφενον, καὶ μετὰ τῆς ἐπὶ προθέσεως ἐπέφενον, καὶ ἐν συγκοπῇ ἔπεφνον· καὶ ἡ μετοχὴ πέφνων· τοῦτο δὲ ἐπειδὴ κανών ἐστιν ὁ λέγων· αἱ εἰς νων λήγουσαι μετοχαὶ ἀορίστου β΄ οὖσαι, ὀξύνονται, πλὴν τοῦ πέφνων· τοῦτο δὲ ἐπειδὴ κανών ἐστιν ὁ λέγων· αἱ εἰς νων λήγουσαι μετοχαὶ ἔχουσαι πρὸ τοῦ ἀμεταβόλου σύμφωνον κατ᾽ ἐπιπλοκὴν, οὐδέποτε ὀξύνονται· οἷον, κάμνων· δάκνων· τέμνων· τούτοις συνεξηκολούθησε καὶ τὸ πέφνων, καὶ καταπέφνων.

Πεσόντος: (Il. Γ. 289.) Τὸ ῥῆμα πεσῶ· τοῦτο παρὰ τὸ πέδον, ὃ σημαίνει τὴν γῆν· κυρίως γὰρ πεσεῖν ἐστὶ τὸ ἀπὸ ὕψους εἰς γῆν κατενεχθῆναι.

Ποινή[a]: (Il. Γ. 290.) Ἡ ἀντέκτισις· ἡ ἀπὸ τοῦ φόνου τιμωρία· γίνεται οὖν ἐκ τοῦ φόνος φονή· ὡς καὶ ὁ ποιητὴς,

> ἐν ἀργαλέῃσι φονῇσι. (Il. Κ. 521.)

καὶ πλεονασμῷ τοῦ ι, καὶ τροπῇ τοῦ δασέος εἰς ψιλὸν, ποινὴ, ἐξ οὗ καὶ μετὰ τοῦ στερητικοῦ α ἄποινον· σημαίνει δὲ τὸ ὑπὲρ τῆς ἀπολυτρώσεως τοῦ φόνου διδόμενον δῶρον· καθὸ καὶ Μωϋσῆς ᾖσεν ᾠδὴν τῷ Κυρίῳ τὸ,

> ᾄσωμεν τῷ Κυρίῳ ἄποινον.

ὁ θεόπτης[b].

[z] Etym. M. p. 696, 40. hab. ἔξηχος. Etym. Gud. p. 487, 20. ἔξοχος. [a] Cod. πεινή. [b] Cf. Etym. Gud. p. 472, 54. et Etym. M. p. 679.

Πεπρωμένον: (Il. Γ. 309.) Ἀπὸ μετοχῆς μετήχθη εἰς ἐπιῤῥηματικὴν σύνταξιν, ὥσπερ καὶ τὸ εἱμαρμένη· ἡ δὲ μετοχὴ πεπερατωμένον, καὶ ἐν συγκοπῇ πεπρωμένον· γίνεται δὲ ἐκ τοῦ περατῶ, περατώσω· τοῦτο ἐκ τοῦ πέρας πέρατος· ἔστι δὲ παρ' Ἕλλησιν ἡ λεγομένη πρόνοια, τὴν δὲ αὐτὴν εἱμαρμένην ἔλεγον, καὶ Ἀδράστειαν, διὰ τὸ μὴ ἀποδιδράσκειν ἅπαντα τὰ προωρησθέντα [c].

Πάντοσε: (Il. Γ. 347.) Διατί προπαροξύνεται; τὰ εἰς ε λήγοντα ἐπιῤῥήματα, τὴν εἰς τόπον σχέσιν δηλοῦντα, ὁμότονα καθεστήκασι τοῖς εἰς θεν λήγουσιν ἐπιῤῥήμασιν· οἷον, ἑκασταχόθεν ἑκασταχόσε· πάντοθεν πάντοσε· πάντοθεν τὸ θο μικρόν· τὰ εἰς θεν λήγοντα ἐπιῤῥήματα παραλήγονται φωνήεντι τῷ ἐπὶ τὸ τέλος τῆς γενικῆς τοῦ ὀνόματος· εἰ δὲ ἀπὸ ἐπιῤῥήματος, τῷ αὐτῷ παραλήγεται δι' οὗ τὸ λῆγον τοῦ πρωτοτύπου· εἰ δὲ δίφθογγος εἴη, καθῶς πρόσκειται τὸ ἐπὶ τέλους φωνῆεν· ἀρχῆς ἀρχῆθεν· θύρας θύραθεν· Θήβης Θήβηθεν· Λυκίας Λυκίαθεν· οὐρανοῦ οὐρανόθεν [d].

Παλαμήφιν: (Il. Γ. 338.) Προγράφει τὸ ι ἐκ παραδόσεως· ἔχει δὲ κανόνα· αἱ διὰ τῆς φι συλλαβῆς γινόμεναι ἐπεκτάσεις προσερχόμεναι ταῖς πτώσεσιν, εἰ μὲν φυλάττουσι τὴν αὐτὴν φωνὴν, καὶ τὴν αὐτὴν γραφὴν φυλάττουσι· καὶ προείρηται.

Πορσανέουσα: (Il. Γ. 411.) Μετοχὴ, τὸ θέμα πορσαίνω, ὁ μέλλων πορσανῶ, ἡ μετοχὴ πορσανῶν, τὸ θηλυκὸν πορσανοῦσα, καὶ Ἰωνικῇ διαλύσει πορσανέουσα· οἱ γὰρ Ἴωνες διαλύουσι τὰ τοιαῦτα καὶ τὸ,

παρὰ ποταμὸν πλυνέουσα. (Od. Ζ. 59.)

τὸ πορσαίνω ἐκ τοῦ ὄρω, τὸ διεγείρω, ὁ μέλλων ὀρῶ, Αἰολικῶς ὄρσω, καὶ κατὰ παραγωγὴν ὀρσαίνω, καὶ πλεονασμῷ τοῦ π πορσαίνω· καὶ πορσανέουσα, οἱονεὶ ἑτοιμάζουσα δωρούμενα [e].

Πολλάς: (Il. Α. 3.) Ἐκ τοῦ πολλός· τὸ θηλυκὸν πολλή;

[c] Etym. M. p. 663, 9. προορισθέντα. [d] Hinc sæpius emendandus Etym. Gud. fœde depravatus p. 451, 8. [e] Cf. Etym. Gud. p. 476, 24. Etym. M. p. 683, 45.

τὸ πολλὸς καὶ πολὺς ἀμφότερα ἐκ τοῦ πέλω, τὸ ἀναστρέφομαι· διαφέρει πολλὸς καὶ πολὺς, ὅτι τὸ μὲν πολὺς δι' ἑνὸς λ, τὸ δὲ πολλὸς διὰ δύο.

Παραβληδήν: (Il. Δ. 6.) Ἔστιν ἐπίῤῥημα ποιότητος· ἐκ πόσων μέρων τοῦ λόγου παράγονται τὰ εἰς δην ἐπιῤῥήματα; ἐκ δύο· ἐξ ὀνόματος καὶ ἐκ ῥήματος· καὶ εἰ μὲν ἀπὸ ὀνομάτων παράγονται, τῷ α παραλήγονται· οἷον, λόγος λογάδην· σπόρος σποράδην· τρόχος τροχάδην· εἰ δὲ ἀπὸ ῥήματος γίνονται, τῷ βῆτα παραλήγονται· οἷον, γράφω γράβδην· λίγω λίγδην· ὡς τὸ,

ἄκρον ἐπιλίγδην[f]. (Il. Ρ. 599.)

κρύπτω κρύβδην· εἰ δὲ ἀπὸ τῶν εἰς ω μελλόντων, τῷ γ παραλήγονται· ὡς τὸ μίξω μίγδην· λίξω λίγδην· εἰ δὲ ἀπὸ περισπωμένων τῷ η παραλήγονται· ῥῶ ῥήσω ῥήδην· σημαίνει δὲ τὸ φανερῶς· τμῶ τμήσω τμήδην· εἰ δὲ ἀπὸ τῶν εἰς μι, εἰ μὲν ἀπὸ τῆς πρώτης συζυγίας τῷ ε παραλήγονται· οἷον, ἀνίημι ἀνήσω ἀνέδην· σημαίνει δὲ τὸ διαλελυμένον· εἰ δὲ ἀπὸ τῆς β', τῷ α παραλήγονται· οἷον, βίβημι βήσω βάδην,

τοῦ δὲ βάδην ἀπιόντος. (Il. Ν. 516.)

Ποιήσειας: (Od. Ν. 42.) Τὰ εἰς μι εὐκτικὰ ἀόριστα ὄντα, οἱ Αἰολεῖς διὰ τοῦ εια προσφέρουσιν· οἷον, τύψαιμι τύψειας· γράψαιμι γράψειας· ζήσαιμι ζήσειας οὐ λέγομεν, διότι τὰ εὐκτικὰ εὐχὴν δηλοῦσι πράγματος ὀφείλοντος πληρωθῆναι.

Πόλις: (Il. Α. 19.) Κλίνεται πόλεως· Ἰωνικῶς πόλιος καὶ πόληος, καὶ διὰ τοῦ δ πόλιδος, καὶ ἐν συνθέσει φυγοπόλιδος· βαρύνεται· τὰ εἰς λις δισύλλαβα, βραχείᾳ παραληγόμενα, ὀξύνεται· ψαλλίς· σκαλλίς· σκελίς· βολίς· φυλίς· σεσημείωται τὸ πόλις καὶ πρύλις.

Πέρσας: (Il. Β. 660.) Μετοχή· τὸ θέμα πέρθω,

πέρθετο δὲ Πριάμοιο πόλις. (Il. Μ. 15.)
ἁλοῦσα τε περθομένη[g] τε. (Il. Β. 374.)
πιείρας πέρθοντες πόλεις. (Il. Σ. 342.)

β

[f] Cod. ἐπιλιγδην. hæc turbata sunt. Cf. Etym. Gud. p. 451, 40.
[g] Cod. πορθουμένη.

βαρύνεται· τὰ τῇ ερ συλλαβῇ παραληγόμενα, μὴ ὄντα παρ᾽ ὄνομα, πάντα βαρύνεται· ἔρδω· ἕρπω· σπέρχω· στέργω· πρόσκειται μὴ ὄντα παρ᾽ ὄνομα, διὰ τὸ κέρδος· προκατάρχει δὲ τὸ κέρδος· σεσημείωται τὸ περνῶ, διότι τὸ ν ἐπεντιθέμενον τοῖς ῥήμασιν, ἐὰν παραλήγηται τῷ ε, τρέπει αὐτὸ εἰς τὸ ι· ὀρέγω ὀριγνῶ· σκέδω σκιδνῶ· οὕτως περῶ τὸ πωλῶ περνῶ· ἐχρῆν οὖν τραπῆναι τὸ ε ἔμεινε, καὶ ταύτῃ σεσημείωται.

Πυροί: (Od. Δ. 604.) Ὄνομα προσηγορικὸν, παρὰ τὴν ἔκφυσιν, φυρὸς καὶ πυρὸς, κατ᾽ ἀντίθεσιν τοῦ φι εἰς τὸ π, ὡς τὸ ἐξαπίνης ἐξαίφνης· ἢ παρὰ τὴν σπορὰν, ἀφαιρέσει τοῦ σ, ὡς τὸ κάπετος, παρὰ τὸ ἔσκαφθαι· καὶ καρὶς, παρὰ τὸ σκαίρω· καὶ ἀντιθέσει τοῦ ο εἰς υ· ὥσπερ παρὰ τὴν ἀγορὰν, ἄγορις καὶ ἄγυρις· ὥσπερ παρὰ τὸ κιθάρα κίθαρις· καὶ ἄσσον ἀσσότερον, τὸ ἀκόλουθον· καὶ ὁ ποιητὴς,

ἀσσοτέρω καθίσασα παραὶ πυρί. (Od. P. 572.)

κατ᾽ ἀντίθεσιν ἀσσότερος, καὶ ἐν συνθέσει,

ἐπασσύτεραι Δαναῶν κίνυντο φάλαγγες. (Il. Δ. 427.)

καὶ οἱ Συρακούσιοι δὲ σπυροὺς αὐτοὺς λέγουσιν, ὡς καὶ ἡ σπυρὶς διδάσκει[h].

Πωλεῖται: (Od. Δ. 384.) Παρὰ τὸ πωλῶ, τὸ ἀναστρέφομαι· διὰ τοῦ ω μεγάλου· ὅθεν καὶ πῶλος, ὁ ἔτι παρὰ τῇ μητρὶ ἀναστρεφόμενος· τοῦτο παρὰ τὸ πολῶ, ὅθεν καὶ τὸ πυρπολῶ,

καὶ δὴ πυρπολέοντες. (Od. K. 30.)

παρὰ τοῦτο ἀμφίπολος καὶ ἱπποπόλος· τὸ Ἰωνικὸν πωλεῖται, τὸ Αἰολικὸν πωλῆται.

Παρά: Πρόθεσις συνεμπίπτουσα ῥήματι· ὃν περ τρόπον τὰ ῥήματα λείπει προθέσεσι, καὶ αὐταὶ αἱ προθέσεις λείπουσι ῥήματι,

ἀλλ᾽ ὑμεῖς ἔρχεσθε καὶ ἀγγελίην. (Il. I. 649.)

λείπει ἡ πρόθεσις· ἡ γὰρ σχέσις οὐκ ἐν τῷ ῥήματι, ἀλλ᾽ ἐν τῇ προθέσει· ἔστι γὰρ ἀπέρχεσθαι, καὶ λείπει ἡ ἀπό· ἔστι τῇ παρὰ, ἐπεὶ δὲ σημαίνει πῇ μὲν πληθυντικὸν ῥῆμα, ὡς ἐν τῷ,

h Cf. Etym. M. p. 724, 33.

πάρ' ἔμοι γε καὶ ἄλλοι. (Il. A. 174.)

ἀντὶ τοῦ πάρεισι· πῆ δὲ ἑνικὸν, ὡς ἐν τῷ,

τῷ δ' αἰεὶ παρὰ εἷς γε θεῶν. (Il. E. 603.)

ζητήσει τὶς ἐπὶ τοῦ,

παρὰ γὰρ μενοεικέα πολλά. (Il. I. 227.)

τὶ δεῖ λέγειν, οὐδέτερον γὰρ τὸ ἐμφερόμενον· ἐπεὶ γὰρ ὁ ποιητὴς πῆ μὲν λέγει τὸ εἰσὶ, πῆ δὲ τὸ ἐστὶ, καὶ ἑνικοῖς ῥήμασι οὐδέτερα ἐπιφέρει πληθυντικὰ, καὶ πληθυντικοῖς πληθυντικά· οὐδέτερον γὰρ ἐν ταύτῳ τὸ ἐμφερόμενον, ἄδηλον πότερον πάρεστιν ἢ πάρεισι "μενοεικέα πολλὰ" οἷον ἔστι καὶ ἐπὶ τῆς ἔνι· καὶ γὰρ αὐτὸ καὶ ἑνικὸν καὶ πληθυντικὸν ῥῆμα σημαίνει· πληθυντικὸν μὲν,

ἐπὶ οὔτι ἔνι φρένες. (Il. Ξ. 141.)

ἑνικὸν δὲ·

ἔνθ' ἔνι μὲν φιλότης. (Il. Ξ. 216.)

οὐκ ἔτι δὲ αἱ ἄλλαι προθέσεις τοῦτο ἔχουσιν· ἐξαίρετον δὲ καὶ ἡ παρὰ ἔχει, ὅτι τέτακται καὶ ἐπὶ[i] προσώπου· οὐδεμία γὰρ πρόθεσις τοῦτο ἔχει· ἡ ἐπὶ ἰσοδυναμεῖ τῷ ἔπεστιν· ἡ μετὰ τῷ μέτεστιν· ἡ ἐνὶ τῷ ἔνεστιν· ἡ ἐξ τῷ ἔξεστι· παρὰ Ἀττικοῖς δὲ μάλιστα ἐπὶ πρώτου προσώπου ἡ παρὰ, ἀντὶ τοῦ πάρειμι· Κρατῖνος Μαλθακοῖς· καὶ Ἕρμιππος Στρατιώτισιν·

ὁ πωλῶν τ' ἀνδράποδ'; ὅδ' ἐγὼ παρά[k]·

ἀντὶ τοῦ πάρειμι· καὶ ἡ συνήθεια δὲ τὸ παρὰ ἀντὶ τοῦ πάρειμι λέγει· ὅποτε δὲ σημαίνει ῥῆμα, παρὰ τοῖς Αἰολεῦσι ἢ καὶ Δωριεῦσι, λέξις παροξυνομένη· ἐξαιρέτως δὲ καὶ α ἀπεκόπη·

πὰρ δὲ στὰς βέλος ὠκύ. (Il. E. 112.)

οὐδέποτε δὲ παρὰ τῷ ποιητῇ ἐν τέλει εὑρέθη, ἀλλ' οὐδὲ ἄλλη πρόθεσις διχρονοῦσα, δίχρονον ἔχουσα παραλῆγον, κατ' ἀρχὴν τάσσεται, χωρὶς πάθους· ἡ ἀνά·

[i] Leg. ἐπὶ πρώτου προσ. [k] Eustath. Il. p. 586. C. Περὶ δὲ τοῦ παρὰ ἰστέον ὅτι οὐ μόνον ἀντὶ τοῦ πάρεστι καὶ πάρεισι λαμβάνεται· ἀλλὰ καινότερον καὶ ἄντι τοῦ πάρειμι πρώτου ἑνικοῦ προσώπου, ὡς ἐν παλαιῷ περὶ παθῶν σκέμματι φέρεται, ὅπου καὶ χρῆσις κεῖται αὕτη· "τίς ἐσθ' ὁ πωλῶν τἀνδράποδα ἐγὼ πάρα." Etym. M. p. 651, 25. Πάρα, σημαίνει τρία· Τίς ἔσθ' ὁ πωλῶν τἀνδράποδα; ἐγὼ πάρα.

ἂν δ' ἴσχων τελαμῶνα. (Il. E. 798.)

καδδὲ κτήματα πολλά. (Il. E. 481.)

κάμμεν ἀδέψητον. (Od. Υ. 2.)

πρόσκειται χωρὶς πάθους, ἐπεὶ τὸ "διὰ μὲν ἀσπίδος" ἐκτεῖναι δεῖ, ἵνα μὴ χωρὶς πάθους ᾖ, ἐντελοῦς παρειλημμένη· ἡ ἀντὶ καὶ ἀμφὶ ἀπάθεις λαμβανόμεναι κατ' ἀρχήν·

ἀντί τοί εἰμ' ἱκέταο. (Il. Φ. 75.)

καὶ

ἀμφὶ δ' ἀρ' αἰγείρων. (Od. P. 208.)

οὐ διχρονοῦσιν· αἴτιον οὖν ἐπ' ἐκείνων τὸ διχρονεῖν.

Πεφυῖα:

ὡς ἔχετ' ἐμπεφυυῖα. (Il. A. 513.)

γε[1] πλανηταί τινες τὸ θηλυκὸν ἔχειν τότε εἰς σα ὅτε καὶ ἡ γενικὴ τοῦ ἀρσενικοῦ κατὰ τὴν γενικὴν ἔχει τὸ ω· ἑστῶτος ἑστῶσα· βεβῶτος βεβῶσα· τεθνεῶτος· γεγῶτος· καὶ ὤφειλε πεφυῶσα· ἐπεὶ καὶ

ἐξ ὁμόθεν πεφυῶτες. (Od. E. 477.)

ἀλλὰ λέγομεν ὅτι ὅπου μὲν φυσικῶς κλίνεται, διὰ τοῦ ο ὑπάρχει ἡ γενικὴ, ὅτε καὶ πάθος ἐστὶ ποιητικὸν, διὰ τοῦ ω, ὡς τὸ μεμαῶτες· καὶ

νέον γεγαῶτ' ἐνὶ οἴκῳ. (Od. Δ. 112.)

ἔστι δὲ τὰ θηλυκὰ αὐτῶν οὐ διὰ τοῦ σα, ἀλλὰ διὰ τοῦ νια·

Διὸς ἐκγεγαυῖα. (Il. Γ. 197.)

ὡς ὁ ἐκείνων λόγος οὐχ ἕστηκεν· ἔστιν οὖν εἰπεῖν ὅτι τότε ὁ παρακείμενος τῆς μετοχῆς τὸ ω ἔχει, ὅτε τὸ ἀρσενικὸν δισυλλαβεῖ, καὶ τὸ θηλυκὸν ὁμοίως ἔχει εἰς σα· βεβῶς βεβῶτος βεβῶσα· ἑστῶς ἑστῶτος ἑστῶσα· ἐὰν δὲ ὑπερβῇ τὰς δύο συλλαβὰς, τὴν νι δίφθογγον λαμβάνει τὸ θηλυκόν· γεγαὼς γεγαυῖα· μεμαὼς μεμαυῖα· ἐν δὲ τῷ πεφυῶτας πάθος ἐστίν· ἦν γὰρ φύω· καὶ πέφυκα ἐκτεταμένου τοῦ υ· ὑφέσει τοῦ συμφώνου πέφυα, ἡ μετοχὴ πεφυὼς πεφυότος ὤφειλεν εἶναι,

καὶ ἐξ ὁμόθεν πεφυότας. (Od. E. 477.)

γέγονεν οὖν ὑπέρθεσις χρόνου συσταλέντος τοῦ υ, καὶ ἐκταθέντος τοῦ ο εἰς ω.

[1] Excidit hic aliquid quamvis nullo lacunæ indicio in Cod.

Πυκινά: (Od. E. 53.) Οἱ μὲν τὸ πυκνὸς ἐνδείᾳ τοῦ ι λέγουσιν ἐκ τοῦ πυκινός· οἱ δὲ τὸ πυκινὸς ἐν πλεονασμῷ τοῦ ἰῶτα ἐκ τοῦ πυκνός· λέγομεν οὖν ἡμεῖς ὅτι τὸ πύκα γέγονεν ἐκ τοῦ πυκνός· ἀπὸ τοῦ πυκνὸς ὀνοματικὸν ἐπίῤῥημα πυκνά·

πυκνὰ μάλα στενάχων. (Il. Σ. 318.)

ἐλλείψει τοῦ νυ πύκα· γίνεται γὰρ ἔλλειψις στοιχείου· ὡς ταχέως τάχα· σαφέα σάφα· οὕτως πυκνὰ πύκα· τὸ δὲ πυκνὸς γίνεται ἀπὸ τοῦ πτύσσω πτυκνὸς ἐλλείψει τοῦ τ πυκνός· ὡς ἴσχω ἰσχνός· τὸ δὲ πτύσσω παρὰ τὸ πέτω, τὸ πίπτω, τὸ ἐπιπίπτον τινί· πέτω πετύσσω καὶ πτύσσω· οὐδὲν γὰρ ἄλλο ἐστὶ τὸ πτύσσειν ἢ τὸ ἐπιπίπτειν ἕτερον ἑτέρῳ· παρὰ τὸ πτύσσω πτύξω πτύξ· καὶ ἀποβολῇ τοῦ τ πύξ· ὡς ἀλλάξω ἀλλὰξ καὶ ἐναλλάξ· κουρίζω κουρίξω κουρίξ· δήκω δήξω δὴξ δὰξ καὶ ὀδάξ· λήγω λήξω λὴξ καὶ λάξ· τὸ τῷ λήγοντι μέρει παίειν· ἀπὸ δὲ τοῦ πύκα γίνεται παραγωγὴ, διὰ τοῦ ινος πυκινός· ἀπὸ γὰρ ἐπιῤῥημάτων γίνονται παραγωγαὶ διὰ τοῦ ινος, συνεσταλμένου τοῦ ι· ἐχθεσινός· πρωϊνός· περυσινός· ὀψινός· καὶ παρὰ τὸ τῆτες ἐπίῤῥημα τητινὸς παρὰ Ἀττικοῖς, ὡς ἄδην ἀδινός.

Πτερόν: (Od. E. 53.) Παρὰ τὸ πέτω πετερὸν καὶ πτερόν· ὡς θάλλω θαλερόν· τήκα τακερόν· ἢ παρὰ τὸ πτῶ, τὸ πέτομαι· ἔνθεν καὶ ὁ πτὴν, καὶ πτῆνες, καὶ μετὰ τοῦ στερητικοῦ α ἀπτήν· τοῦ πτῶ παράγωγον πτείρω, καὶ ὡς ἀπὸ τοῦ φθείρω φθόρος· σπείρω σπόρος· οὕτως πτείρω πτόρος· καὶ τὸ ἔπταρον ἀπὸ πτείρω, "ὡς ἔπταρον·" οἱ γὰρ τοῦτο πάσχοντες κουφίζονται.

Πάτροκλε: (Il. Π. 11.) Ἔστι καὶ Πατρώκλεις παρὰ τῷ ποιητῇ, οὗ ἡ εὐθεῖα Πατρωκλέεις, ἧς ἡ γενικὴ Πατροκλῆος,

Πατροκλῆος καὶ ἀμύμονος Ἀντιλόχοιο. (Od. Λ. 467.)

οὐ γὰρ ὡς ἀπὸ τοῦ Ἀντιφάτης Ἀντιφάτα, εἶτα,

κλυτὸν Ἀντιφατῆα. (Od. K. 114.)

ὡς ἀπὸ τῆς Ἀντιφατεὺς εὐθείας· καὶ

ἀλλ' ὁ μὲν Αἰθίοπας. (Od. A. 22.)

εἶτα,

μετ' ἀμύμονας Αἰθιοπῆας. (Il. A. 423.)

ὡς ἀπὸ τῆς Αἰθιοπεύς· καὶ

ἡνίοχοι[m] δ' ἔκπληγεν. (Il. Σ. 225.)

εἶτα,

ὑπὸ δ' ἔστρεφον ἡνιοχῆες. (Il. Ε. 505.)

ὡς ἀπὸ τῆς ἡνιοχεύς· οὕτως μὴ εἴπῃς Πατροκλῆος, ὡς ἀπὸ τῆς Πατροκλεύς· εὕρηται γὰρ ἡ κλητικὴ Πατρόκλεις ὡς Ἡράκλεις, καὶ ἐπὶ ἡ κλητικὴ Πατρόκλεις, λέγομεν εὐθεῖαν Πατροκλέης, τὸ γὰρ κλέος οὕτω συντίθεται· Ἰφικλῆς· Περικλῆς· οὕτω Πατροκλῆς· εἶτα ὡς Ἡρακλέης, Πατροκλέης· ἔνθεν κλητικὴ, Πατροκλέες Πατροκλεῖς· καὶ ἀπὸ Πατροκλέης, ἡ Πατροκλῆος, ἀπὸ δὲ τοῦ Πάτροκλος Πατρόκλου.

Πτωμήν: (Il. Λ. 634.) Ὄνομα προσηγορικὸν ῥηματικόν· ὤφειλεν εἶναι φυτμὴν, ἀπὸ τῆς πρώτης ἐκφύσεως· ἀμοιβὴν ἡγούμεθα γεγενῆσθαι, ὥσπερ ἐν τῷ τάφος, θάφος γὰρ ἦν τὸ ἀκόλουθον, καὶ παρὰ τοῖς διαλέκτοις· χύτρα Δωριεῖς κύθρα· χιτὼν κιθών· ὀξύνεται· πάντα γὰρ τὰ εἰς μην λήγοντα ἁπλᾶ ὀξύνεται· πρόσκειται ἁπλᾶ ἐπεὶ τὰ σύνθετα ἀναδίδωσι τοὺς τόνους, ὄντα διὰ τοῦ ε· λιμένος· πυθμένος· σεσημείωται τὸ Δαμὴν Δαμῆνος· ἐστὶ δὲ Ἀργολικὸς συγγραφεὺς[n] ὁ Δαμήν· πρόσκειται ὑπὲρ μίαν συλλαβὴν, διὰ τὸ μὴν μηνός.

Πεφυζότες: (Il. Φ. 6.) Κατὰ διάλεκτον· ἔστι γὰρ ὁ παρακείμενος πέφυκα, οὗ ἡ μετοχὴ πεφυκὼς, ὡς πεποίηκα πεποιηκώς· ἢ ἀπὸ τοῦ πέφυγα ἡ μετοχὴ πεφυγώς· ὁ γοῦν Ἀλκαῖος μετατιθεὶς τὸ σίγμα εἰς τὸ νυ κατὰ πλεονασμὸν ἑτέρου γ φησὶ "πεφυγγὼν[o]." οἱ δὲ νεώτεροι Ἴωνες τῷ ζ ἀντὶ τοῦ γ χρῶνται, ὅθεν καὶ τὸ φύγω φύζω, καὶ τὸ πέφυγα πέφυζα, καὶ τὸ πεφυγότες πεφυζότες· καὶ πεφυκώς· κατὰ τὴν αὐτὴν ἀντιστοίχιαν, καὶ τὸ ὀλίγον ὄλικον λέγουσιν· καὶ ἀπὸ τοῦ πεφυκηκότες κατὰ συγκοπήν· ἀλλ' ἄμεινον τὸ πρῶτον.

Πρασία: (Od. Η. 127.) Τὰ ἀθροίσματος σημαντικὰ καὶ οὐσίας πάντα ὀξύνονται· οἷον, ἀχυρμιά· φυταλιά· ἁρματροχιά· ἀνθρακιά· σποδιά· πυρκαϊά· καὶ παρὰ τὸ ἔσχατος ἐσχάτη ἐσχατιά·

[m] Cod. ἡνιόχῃ. [n] Cf. Herodian. περὶ μον. λεξ. Dind. p. 32, 9.
[o] Eustath. Od. Θ. p. 1596, 5. ex Alcæo habet πεφύγγω.

ἀγροῦ ἐπ' ἐσχατιᾶς. (Od. E. 489.)

καὶ σκόπη σκοπιά· ἔστι καὶ σκοπίη· καὶ παρὰ τὸ πολλὸς καὶ πολλὴ καὶ τὸ διὰ πολλοῦ χρόνου ἐρχόμενον πολιά· μὴ ἀπὸ συμβεβηκότος, ἐπεὶ λευκὴ ἐστίν· οὕτως οὖν καὶ πρασιὰ καὶ τρασιὰ. σημαίνει δὲ τόπον ὅπου ἔστι τί πλῆθος σύκων ξηραινομένων ἢ τυρῶν· ἢ ὅτι δή ποτε καὶ τὸ αἱμασιὰ οὕτως ἔχει, ἀπὸ τοῦ συμβεβηκότος τὸ ὄνομα εἰληφότος.

Πιάζω: (Od. Δ. 287.) Οἱ μὲν Ἴωνες καὶ Ἀττικοὶ πιέζω, οἱ δὲ Δωριεῖς πιάζω[p]· ἔστιν οὖν πρῶτον πιάζω, καὶ κατὰ τροπὴν πιέζω· αὐτὸ δὲ τὸ πιάζω ἐκ πάθους· ἰπῶ γάρ τί ἐστιν τὸ θλίβω, παρὰ τὸ ἵππος, ἀφ' οὗ καὶ ἱππάζω· καὶ ἐν ὑπερθέσει πιάζω· παρὰ δὲ τῷ ποιητῇ καὶ ὡς περισπώμενόν ἐστι μᾶλλον.

Ποίη: (Od. Σ. 370.) Ὅτε τὸ ο μόνον ἔχει οὐκέτι τὸ α· τὸ γὰρ ο τὸ η αἰτεῖ· οἷον, ὀγδόη· θόη· πνόη· ἐὰν γὰρ λέγῃς διὰ τὸ α ὀγδόα, Δωρίζεις· τὸ στοὰ οὐχ ὑγιῶς ἔχει τὸ ο· ἢ γὰρ Δωριόν ἐστι, ἢ ἐλλείπει τὸ ι, καὶ δῆλον· τὸ γὰρ περίστοιον τὸ ι ἔχει· ποία οὖν ἐστὶ, οὐ πόα· ἡ γὰρ οι δίφθογγος αἰτεῖ τὸ α· οἷον, ἀλλοῖος ἀλλοία· ὅμοιος ὁμοία· ποία ἄρα· ἐὰν οὖν λέγῃς πόα, ἔλλειψις ἐστὶ τοῦ ι· ὡς τὸ χροία χρόα.

Παρείη:

ποίη δὲ παρείη. (Od. Σ. 370.)

Παρείης παρείη· οὗ πληθυντικὸν παρείημεν, παρείητε, παρείησαν, παρεῖεν· εἴημεν γὰρ τὸ β' εἴητε, ἐκβολῇ τοῦ η· εἶτε·

ποῖοί κ' εἶτ' Ὀδυσσῆϊ ἀμυνέμεν. (Od. Φ. 195.)

τὸ παρείη ἀπὸ τοῦ πάρειμι, οὐκ ἀπὸ τοῦ ἔω, ἀπὸ γὰρ τοῦ ἔω ἔοιμι, ἔοις,

γαμβρός κέν μοι ἔοις. (Il. I. 284.)

τὸ τρίτον ἔοι,

πῶς κεν ἔοι τάδε ἔργα. (Il. Λ. 838.)

τὸ παρείη οὐκ ἔχει τὸ ἰῶτα, οὐ γάρ ἐστιν ὑποτακτικὸν ἔχει τὸ ι· τὴν δὲ ει δίφθογγον κατὰ πλεονασμὸν,

p MS. πιέζω sed vid. Alcman. laud. ab Herodian. π. μον. λέξ. p. 44, 10. Dind.

κάλλεος εἵνεκα οἷο, ἵν' ἀθανάτοισι μετείη. (Il. Υ. 235.)

μετέω μετέῃς μετέῃ.

Πρηνεῖς: (Il. Λ. 179.) Τὸ ἐντελὲς πρηνέες, καὶ κατὰ συναίρεσιν πρηνεῖς· ἡ εὐθεῖα τῶν ἑνικῶν πρηνής· ἔστι δὲ σύνθετον· σχηματίζεται δὲ οὕτως· νῶ ἔστι ῥῆμα, οὗ παράγωγον νεύω, καὶ ἐν συνθέσει προνεύω, καὶ ἐκ τούτου ῥηματικὸν ὄνομα προνὴς, καὶ ἐν ἐπεκτάσει πρηνὴς, ὁ προνενευκώς· γίνεται δὲ ἐν τῷ ὀνόματι μεταβολὴ τοῦ ο εἰς η, ὡς προὼν πρηὼν, καὶ ὀλιγοπελίη ὀλιγηπελίη, καὶ θαλαμοπόλος θαλαμηπόλος, καὶ αἱμοπότης αἱμηπότης· τὰ δὲ ἀπὸ ῥήματος, ὁπότε μὴ ἔχει δύο σύμφωνα, ἐπὶ γενικῆς εἰς ους λήγει· οἷον, πολυσπερὴς πολυσπεροῦς· ἄρδω νεαρδὴς νεαρδοῦς· πρόσκειται ὁπότε μὴ ἔχει δύο σύμφωνα, διὰ τὸ ἀδμής.

Περ: (Il. Α. 131.) Σύνδεσμος· γίνεται παρὰ τὴν περὶ πρόθεσιν· οὐδέποτε δὲ πρόθεσις συμπίπτει ἑτέρῳ μέρει, ἐὰν μὴ πάθῃ ἀποκοπήν· ἔπαθεν οὖν ἡ περί.

Πέζηι:

πέζῃ ἔπι πρώτῃ. (Il. Ω. 272.)

ἡ εὐθεῖα πέζα, καὶ Ἰωνικῇ τροπῇ πέζη· ἔστι καὶ ἕτερον ἐν ὀξείᾳ τάσει πεζὴ παρεσχηματισμένον καὶ ἐπίθετον παρακείμενον τῷ πεζὸς ἀρσενικῷ, συνᾷδον καὶ τούτῳ κατὰ τὴν αὐτὴν ἐτυμολόγιαν· πεζὸς γὰρ ὁ διὰ τοῦ πέδου πορευόμενος· εἶτα λοιπὸν πεζὸν καὶ τὸ ἄκρον, ὡς εἰ λέγει τίς τὸ πρὸς τῷ πέδῳ· οὕτως δ' ἂν νοηθείη[p] τὸ ἔσχατον· τὸ δ' αὐτὸ δύνατον καὶ ἄκρον νοεῖσθαι καὶ ἔσχατον· ἔχει δέ τινα συγγένειαν τὸ δ πρὸ τοῦ ζ· καὶ γὰρ καὶ τὸ ζυγὸν δυγὸν, οἱονεὶ τὸ δύο ἄγον, καὶ ὁ ζευκτὴρ δευκτήρ· τὸ δὲ ζεύγω ῥῆμα, καὶ ζεύξω, καὶ αὐτὸ παρὰ τὸ δύο ἄγειν· τοῦτο γὰρ κυρίως σημαίνει· εἰ καὶ ἐπὶ τριῶν τιθέασιν, ἀλλὰ καὶ τὸ ὀλοφύζω[q] ὀλοφυδνός· καὶ παίζω παιδνός· τρέπεται τὸ ζ εἰς δ.

Πολλός: (Il. Α. 3.) Ὄνομα ἐπιθετικὸν θηλυκὸν ἁπλοῦν ποσότητος σημαντικόν· τὸ ἀρσενικὸν ὁ πολλὸς, ἀφ' οὗ τὸ πολλοστός· ἀπὸ δὲ τῶν εἰς στος γίνεται διὰ τοῦ αιος παραγωγή·

[p] Cod. ἀνοηθείη. [q] Cod. ὀλοφιζω.

εἰκοστὸς εἰκοσταῖος· τριακοστὸς τριακοσταῖος· οὕτως καὶ παρὰ τὸ πολλὸς πολλοστὸς καὶ πολλοσταῖος παρ' Εὐβούλῳ,

καὶ μὴν οἴκαδέ τι πολλοσταῖος ἀποτρέχω γῦναι.

Προΐαψεν: (Il. Α. 3.) Ῥῆμα χρόνου ἀορίστου, συζυγίας πρώτης τῶν βαρυτόνων· εἰ μὲν οὖν τὸ ἔπεμψεν ἁπλῶς σημαίνει, παρὰ τὸ ἴω γέγονε, τὸ διὰ τοῦ ἰῶτα· ἀφ' οὗ καὶ τὸ ἵημι· εἰ δὲ μετὰ βλάβης ἔπεμψεν, παρὰ τὸν ἰόν· ἰάπτω· διαφθαρτικὸς γὰρ οὗτος τῆς ὕλης ἐξ ἧς γίνεται· ἐνταῦθα μὲν οὖν ἀμφίβολον· ἐκεῖ δὲ ἄντικρυς ἐπὶ τῆς βλάβης μόνον,

ὡς ἂν μὴ κλαίουσα κατὰ χρόα καλὸν ἰάπτῃ. (Od. Β. 376.)

ἐν τῷ,

Ἀχιλλῆϊ προϊάπτω. (Il. Ω. 110.)

ἀμφίβολος ἡ γραφὴ, εἰ "προϊάπτω," εἴτε "προτιάπτω·" τοῦτο δὲ τὸ ῥῆμα καὶ τὸ α ἐκβάλλει,

μέγα δ' ἴψαο λαὸν Ἀχαιῶν. (Il. Α. 454.)

ὡς δὲ παρὰ τὸ ἴξω ἴξαλος,

ἰξάλου αἰγὸς (Il. Δ. 105.)

κονίσω κονίσαλος· οὕτως καὶ ἴψω ἴψαλος· ἀφ' οὗ παρὰ Στησιχόρῳ,

ἀνίψαλον παῖδα·

τὴν ἀβλαβῆ.

Πολυκοιρανίη: (Il. Β. 204.) Παρὰ τὸ κοίρανος κοιρανία καὶ συνθέσει πολυκοιρανία· ὡς ξένος ξενία· ῥάθυμος ῥαθυμία· τὸ δὲ κοίρανος ἐσχημάτισται παρὰ καιρόν· οἱονεὶ, τοῦ καιροῦ κύριος· ἔστι καὶ κύριον ὄνομα μάντεως· ἀντιθέσει δὲ ἐγένετο τοῦ α εἰς τὸ ο, ὡς τὸ Ὀρθρύς· ὄρχαμος.

Πόστος: Τὰ πυσματικὰ πάντα βαρύνεται ὑπεσταλμένου τοῦ ποδαπός· τὰ γὰρ διὰ τοῦ δαπος πάντα ὀξύνεται· ἀλλοδαπός· τηλεδαπός. ἡμεδαπός· ὥσπερ καὶ παρὰ τοῦ μυχὸς μύχατος· τρίτος τρίτατος· ἑβδόμος ἑβδόματος καὶ ἑβδομάτη, οὕτως παρὰ τὸ πόσος πόσατος καὶ ἐν συγκοπῇ πόστος.

Παῖς: (Il. Β. 205.) Παρὰ τὸ παίω, τὸ τύπτω, ἢ παρὰ τὸ παίζειν· ἀμφότερα γὰρ παισὶν ἁρμόζει· ἢ παρὰ τὸ βαιὸν, ὃ σημαίνει τι μικρὸν, βαῖς καὶ παῖς· τρία δὲ σεσημείωται· δαῖς·

σταῖς· παῖς· ἅτινα κλίσιν μὲν ἀνεδέξαντο, κανόνι δὲ οὐχ ὑπέπεσον· ἀρσενικὸν ὁ παῖς· θηλυκὸν ἡ δαῖς· οὐδέτερον τὸ σταῖς· ὃ σημαίνει τὸ ἄλευρον.

Πειρίθοον: (Il. A. 263.) Διὰ τῆς ει διφθόγγου, ὅτι Ζεὺς ὁμοιωθεὶς ἵππῳ περιέτρεχε τὴν μητέρα τούτου Δύαν· καὶ οὕτως συνεγένετο αὐτῇ, καὶ ἐκεῖθεν οὗτος ἐτέχθη· παρὰ τὸ οὖν περιθέειν γέγονε Περίθους, καὶ ἐν πλεονασμῷ τοῦ ι Πειρίθους· ἄλλως τε ἐπειδὴ οἱ Δωριεῖς[r] τὴν ει δίφθογγον ἔθος ἔχουσι τρέπειν εἰς η· οἷον, πλείων πλήων· τοῦτο δὲ κατὰ δύο τρόπους ἡμάρτηται· πρῶτον μὲν ὅτι διὰ τοῦ η γράφεται παρὰ τοῖς Δωριεῦσιν· οὐδέποτε δὲ ἡ περὶ πρόθεσις πλεονάζει τὸ ι· δεύτερον δὲ ὅτι διὰ τοῦ η γράφεται παρὰ τοῖς Δωριεῦσιν· οὐδέποτε δὲ οἱ Δωριεῖς τρέπουσι τὴν ει δίφθογγον εἰς η ἔχουσαν ἀπὸ πλεονασμοῦ τοῦ ι· οἷον, τὸ ξένος ξεῖνος λεγόμενον, οὐ λέγουσι διὰ τοῦ η ξῆνος· εἰ οὖν τὸ Πειρίθους ἀπὸ πλεονασμοῦ ἔχει τὸ ι, δῆλον ὅτι παραλόγως παρὰ τοῖς Δωριεῦσιν διὰ τοῦ η γράφεται.

Πότνια: (Il. A. 357.) Διὰ τοῦ ι γράφεται, ἐπειδὴ τὰ διὰ τοῦ εια προπαροξυνόμενα ὑπεσταλμένων τῶν διὰ τοῦ τρια, διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, ἀναίδεια· φληνάφεια· ἐνέργεια· καὶ τὰ ὅμοια· πρόσκειται ὑπεσταλμένων τῶν διὰ τοῦ τρια· οἷον, Ἐρέτρια· λαικάστρια· σημαίνει δὲ τὴν πόρνην· μονάστρια· ψάλτρια· καὶ πλὴν τοῦ πότνια· Πολύμνια· Λάμεια ἰάμνια· Ὄμπνια, σημαίνει δὲ τὴν Δήμητραν· δεῖ προθεῖναι καὶ χωρὶς τοῦ Ἀκυλήϊα· ἔστι δὲ ὄνομα πόλεως· τὸ δὲ Καλαύρια παρὰ μὲν Ἀπολλωνίῳ καὶ Καλλιμάχῳ διὰ τῆς ει διφθόγγου γράφεται· παρὰ δὲ Διονυσίῳ διὰ συνεσταλμένου τοῦ ι· τὸ δὲ Θέσπεια ὁ Ὧρος διὰ τῆς ει διφθόγγου γράφεται τῷ κανόνι τῶν προπαροξυνομένων· ὁ δὲ Ἡρωδιανὸς ἐν τῇ Ὁμηρικῇ προσῳδίᾳ λέγει ὅτι διὰ τοῦ ι γράφεται.

Πόρος: (Il. B. 592.) Πρὸς διάφορον σημασίαν διάφορον ἔχει καὶ τὸν τόνον· καὶ γὰρ πόρος μὲν παροξυτόνως, τὸ πλατούμενον, πορὸς δὲ ὀξυτόνως τὸ πλατοῦν· ὅπερ κατ' ἔνδειαν τοῦ ρω πρὸς, καὶ κατὰ συναλιφὴν ποὺς· ὃ καὶ ἀναλόγως ὀξύνεται, ἵνα

[r] MS. εἰς τήν.

ἡ ἐνέργεια μείνῃ· τόμος τὸ τεμνόμενον· τομὸς δὲ ὁ τέμνων· φόρος τὸ φερόμενον· φορὸς δὲ ὁ ἄνεμος ὁ φέρων· τρόχος τὸ τρεχόμενον πεδίον, τροχὸς δὲ ὁ τρέχων.

Πίμπρημι: Παρὰ τὸ πρῶ πιπρῶ πίπρημι[s], καὶ κατὰ πλεονασμὸν τοῦ μ πίμπρημι· ἀναδιπλασιαζόμενα δὲ τὰ εἰς μι κατὰ τὸν ἐνεστῶτα τοῦτον τὸν τρόπον ἀναδιπλασιάζεται· εἰ μὲν τὸ πρωτότυπον ἀπὸ φωνήεντος ἢ ἀπὸ συμφώνου ἑνὸς ἄρχεται, διὰ τοῦ ι μόνου γίνεται ὁ ἀναδιπλασιασμός· οἷον, ὦ ἰῶ ἵημι· δῶ διδῶ δίδωμι· βῶ βιβῶ βίβημι· θῶ τιθῶ τίθημι· τοῦ δασέος θ διὰ τὴν κακοφωνίαν τραπέντος εἰς τὸ ἀντίστοιχον αὐτοῦ ψιλὸν τὸ τ· εἰ δὲ τὸ πρωτότυπον ἀπὸ δύο συμφώνων ἄρχεται, εἰ μὲν μὴ ἐστὶν ἄφωνον πρὸ τοῦ ἀμεταβόλου, διὰ τοῦ ι μόνου γίνεται ὁ ἀναδιπλασιασμός· οἷον, ἱστῶ ἵστημι· εἰ δὲ ἐστὶν ἄφωνον πρὸ ἀμεταβόλου, δι' αὐτοῦ τοῦ ἀφώνου καὶ τοῦ ι γίνεται ὁ ἀναδιπλασιασμός· οἷον, πρῶ πιπρῶ πίπρημι· καὶ κατὰ πλεονασμὸν τοῦ μυ πίμπρημι· πλῶ πιπλῶ πίπλημι, καὶ πλεονασμῷ τοῦ μ πίμπλημι· σημαίνει δὲ τὸ πληρῶ· χρῶ χιχρῶ χίχρημι, καὶ διὰ τὴν κακοφωνίαν τοῦ δασέος χι, ἐνταῦθα τραπέντος εἰς τὸ ἀντίστοιχον αὐτοῦ τὸ κ, κίχρημι.

Προὔστη: Κατὰ κρᾶσιν τοῦ εο εἰς τὴν ου· ἰστέον ὅτι ἡ συναλιφὴ γένος ἐστίν· ἔχει δὲ εἴδη ἑπτά· τρία μὲν ἁπλᾶ· τέσσαρα δὲ σύνθετα· καὶ τὰ μὲν ἁπλᾶ ταῦτα· ἔκθλιψις· κρᾶσις· συναίρεσις· καὶ ἔκθλιψις μὲν ἐστὶν ἡνίκα εὑρέθη λέξις εἰς φωνήεντα, ἢ εἰς φωνήεντα καταλήγουσα, τῆς ἐπιφερομένης λέξεως ἀπὸ φωνηέντων ἀρχομένης· τότε γὰρ τὸ χασμῶδες καὶ κεχηνῶδες ἐκθλίβεται τέλος τῆς προηγουμένης λέξεως· καὶ ἡνίκα μὲν ὦσιν ἐν παραθέσει δέχονται ἀπόστροφον· οἷον, κατὰ ἐμοῦ, κατ' ἐμοῦ· βούλομαι ἐγὼ, βούλομ' ἐγώ· κατὰ εὐεργέτου κατ' εὐεργέτου· ἡνίκα δὲ ὦσιν ἐν συνθέσει οὐ δέχονται ἀπόστροφον· καταέγραφον κατέγραφον· ἀναέβην ἀνέβην· καταέρχομαι κατέρχομαι· διαφέρει δὲ ἡ συναίρεσις κράσεως κατὰ τούτους τοὺς τρόπους· ἡ συναίρεσις περὶ τοῦ ι καὶ υ καταγίνεται προηγουμένη προτακτικοῦ φωνήεντος· οἷον, πάϊς παῖς· ἄϋω αὔω· Δημο-

[s] Cod. πίμπρημι.

σθένεϊ Δημοσθένει· διαστέλλεται δὲ τὸ συνῃρημένον ἐκ τοῦ ἐντελοῦς, ἐκ τοῦ μὴ περιστίζεσθαι[t] τὸ ι καὶ υ ἐν τῇ συναιρέσει· δεῖ γὰρ γινώσκειν ὅτι τότε τὸ ι καὶ υ περιστίζεται ἡνίκα προηγεῖται προτακτικὸν φωνῆεν κατὰ διάστασιν· οἷον, ἀΰω· παΐς· Δημοσθένεϊ· ἐπεὶ ὅτε μὴ προηγεῖται προτακτικὸν οὐ δεῖ περιστίζειν αὐτά· οἷον, "ἰαχὴ ὑπόπτερος·" ἡ δὲ κρᾶσις περὶ πάντα τὰ φωνήεντα καταγίνεται· οἷον, Δημοσθένεος Δημοσθένους· τὸ ἐμὸν τοὐμόν· ἱερεὺς ἱρεύς· ἰχθύες ἰχθύς· βότρυες βότρυς· καὶ ἡνίκα μὲν γένηται κρᾶσις ἐν ἁρμογῇ δύο λέξεων τίθεται κορωνίς· οἷον, τὸ ἐμὸν τοὐμόν· τὰ ἐμὰ τἀμά· προέστη προὔστη· ἡνίκα δὲ μὴ γένηται ἐν ἁρμογῇ δύο λέξεων ἡ κρᾶσις, οὐ τίθεται[u] κορωνίς· οἷον, νόος νοῦς· Δημοσθένεος Δημοσθένους· ἄλλως τε δὲ ἡ συναίρεσις φυλακτικὴ ἐστὶ τῶν αὐτῶν φωνηέντων· οἷον, πάϊς παῖς· Ἀχιλλέϊ Ἀχιλλεῖ· ἡ δὲ κρᾶσις πάντως ἀλλοίωσιν κατεργάζεται· οἷον, Δημοσθένεος Δημοσθένους· τὸ ἐμὸν τοὐμόν· τὰ ἐμὰ τἀμά· ταῦτα μὲν οὖν εἰσὶ τὰ ἁπλᾶ εἴδη τῆς συναλιφῆς· τὰ δὲ σύνθετα εἰσὶ ταῦτα· ἔκθλιψις καὶ κρᾶσις[x] καὶ συναίρεσις· ἔκθλιψις, καὶ κρᾶσις, καὶ συναίρεσις· καὶ ἔκθλιψις μὲν καὶ κρᾶσις ἐστὶν ὡς ἐπὶ τοῦ, καὶ ἐγὼ κἀγώ· ἐκθλίβεται γὰρ τὸ ι τοῦ καὶ συνδέσμου, καὶ κιρνᾶται τὸ α καὶ ε εἰς α μακρόν· ἔκθλιψις δὲ καὶ συναίρεσις, ὡς ἐπὶ τοῦ, ἐμοὶ ὑποδύνῃ, ἐμοὐποδύνῃ· ἐκθλίβεται τὸ ἰῶτα τῆς ἐμοὶ ἀντωνυμίας καὶ συναιρεῖται τὸ ο καὶ υ εἰς τὴν ου δίφθογγον· κρᾶσις δὲ καὶ συναίρεσις, ὡς ἐπὶ τοῦ ὁ αἰπόλος ᾡπόλος· κιρνᾶται γὰρ τὸ ο καὶ α εἰς ω μέγα, καὶ συναιρεῖται τὸ ο καὶ ι εἰς τὴν ω δίφθογγον· ἔκθλιψις δὲ καὶ κρᾶσις, καὶ συναίρεσις, ὡς ἐπὶ τοῦ οἱ αἰπόλοι ᾡπόλοι, ἐκθλίβεται γὰρ τὸ ι τῆς οἱ, καὶ κιρνᾶται τὸ ο καὶ α εἰς ω, καὶ συναιρεῖται τὸ ω καὶ τὸ ἰῶτα εἰς τὸ ω[y] δίφθογγον[z].

Πονηρός: Ὁ κατὰ ψυχὴν ὀξυτόνως, ὁ δὲ κατὰ σῶμα προπαροξυτόνως· καὶ παρ' Εὐπόλιδι τὸ θηλυκὸν πονήρα·

καὶ μὴ πονηροὺς ὦ πονήρα προξένει·

[t] Cod. παριστίζεσθαι. [u] Cod. γίνεται. [x] Cod. κράσις.
[y] Leg. ωι δ. [z] Horum partem tantum habet Etym. M. in v. Τόφρα p. 763, 8.

τὸ μὲν πρότερον ὀξύνοντες, τὸ δὲ ἐπὶ τῆς προμνηστρίας τὸ δεύτερον βαρυτονοῦντες· τῶν μὲν γὰρ τοὺς τρόπους ὁριζόμενος ὁ δῆμος, τῆς δὲ αἰτιατικῆς ὡς ἐν λοιδορίᾳ τὴν τύχην· οἱ μέντοι νεώτεροι τῆς κωμῳδίας ποιηταὶ γλισχρότεροι διαλύσαντες τὸ ὄνομα πονηροὺς ἐξήνεγκαν τοὺς ἐρῶντας παρὰ τὸ πονεῖν ἐν τῷ ἐρᾶν· τάχα δὲ ὁ πάνσοφος ποιητὴς τοὺς περὶ μίξεις ἀῤῥένων πεπονημένους οὕτως ἐξήνεγκε· φησὶ γάρ·

οἱ δὲ ἄνθρωποι ἐν Σοδόμοις πονηροί·

ἀντὶ τοῦ τὰς κατόπιν εὐνὰς ἐπτοήμενοι.

Παννύχιος: (Il. B. 24.) Νὺξ, νυχὸς νύχιος· τὰ διὰ τοῦ ιος[a] ὀνόματα τρισύλλαβα προπαροξύτονα, ἔχοντα ἐν τῇ πρωτῇ συλλαβῇ τὸ υ, διὰ τοῦ ι γράφεται, χωρὶς εἰ μὴ μέρος σώματος δηλοῖ· οἷον, κύριος· Κύπριος· νύχιος· καὶ ἐν συνθέσει παννύχιος· καὶ τὰ τούτων ὅμοια· πρόσκειται χωρὶς εἰ μὴ μέρος σώματος δηλοῖ, διὰ τὸ κύνειος πούς.

Παρειά:

ὦχρός τέ μιν εἷλε παρείας. (Il. Γ. 35.)

οὐδέτερόν ἐστι τὰ παρειά· ὁ δὲ Ἰξίων δυϊκῶς ἀναγινώσκει, καὶ ἐκτάσει τοῦ α παρειά· λέγει δὲ ὁ Ἀσκαλωνίτης[b] οὐκ ἔστιν εὑρέσθαι ἐπὶ θηλυκῶν ὀνομάτων παρὰ τῷ ποιητῇ τοιοῦτο δυϊκόν· προσέθηκε δὲ ἐπὶ ὀνομάτων διὰ τὸ,

γηθήσει προφανεῖσα ἀνὰ πολέμοιο γεφύρας. (Il. Θ. 378.)

ἡ δὲ κατειθισμένη προσῳδία ἀφορμὴν εἶχε τῶν μεταπλασμῶν τῶν γενῶν· τὰ γὰρ ἀπὸ τοιούτων θηλυκῶν μεταποιούμενα, εἰς οὐδέτερον γένος τοῦ αὐτοῦ σημαινομένου μένοντος διὰ τὸ νεῦρα καὶ νευρά· διάφορον γὰρ τὸ σημαινόμενον· εἰ οὖν παρειμὶ ὀξύνεται ὁμοίως καὶ τὰ παρειὰ οὐδέτερον, τὸν αὐτὸν τόνον αναδέξεται.

Παρείατο[c]: Καλλίμαχος,

κούρη δὲ παρείατο δακρυχέουσα.

τινὲς πλεονασμὸν ἡγήσαντο τοῦ α· ἀντὶ τοῦ παρῆν γάρ ἐστιν καὶ παρεκαθέζετο· οὐκ ἔστιν δὲ πλεονασμὸς ἀλλὰ πληθυντικὸν

[a] Cod. male ινος. [b] MS. ἀσκαλονίτης. [c] Forsan hæc adnectenda sunt antecedentibus.

ἐστὶν ἀντὶ ἑνικοῦ τεθειμένου, ὡς τὸ,

οἴδ' εἴατ' εἰν ἀγορῇ. (Od. Θ. 503.)

Προφρονέως: Πρόφρων πρόφρονος πρόφρονες προφρόνων, ἐπίῤῥημα προφρόνως· εἶτα ποιητικῶς προφρονέως, πλεονασμῷ τοῦ ε, ὡς ἀψοφέως· ἀπὸ γὰρ τοῦ ἄψοφοι ἀψόφων ἀψόφως, καὶ ἀψοφέως.

Πελοπηΐς: Ὃν τρόπον παρὰ τὴν Κέκροπος δοτικῇ Κεκροπίς· Αἰθιόπι Αἰθιοπίς· οὕτως καὶ Πέλοπι Πελοπηΐς· τὸ Πελοπηΐς πεπλεόνακε τὸ η, ὡς τὸ ποίμνιον ποιμνήϊον· καὶ τάφος τάφιος καὶ ἐπιτάφιος καὶ ταφήϊον·

Λαέρτῃ ἥρωι ταφήϊον. (Od. B. 99.)

Παρήορος: (Il. H. 156.) Παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω, παράορος ὁ παραιωρούμενος· ἢ παρὰ τὴν παρὰ πρόθεσιν· ἥτις οὐ τὴν τοπικὴν μόνον σχέσιν σημαίνει· οἷον "παρὰ τῷ βαλανείῳ· παρὰ τῷ Λυκείῳ," ἀλλὰ καὶ τὴν ἐκτός· παρήορος οὖν, ὁ ἐκτὸς τοῦ ἡρμόσθαι· οἱ γὰρ ὑποζυγὸν ἡρμοσμένοι εἰσίν· οὕτως ἔχει καὶ τὸ σπονδεῖν ἐν τῇ συνηθείᾳ.

Πέπληγον:

πέπληγόν θ' ἱμάσιν. (Il. Ψ. 363.)

ἀπὸ τοῦ πέπληγα παρακειμένου γίνεται ἐνεστὼς πεπλήγω· οὗ ὁ παρατατικὸς,

ἐπέπληγον πόδες ἵππων. (Il. E. 504.)

Ἰακῶς, τῆς κλητικῆς ἐκτάσεως ἀποβληθείσης· γίνονται δὲ ἀπὸ παρακειμένων θεμάτων, ὡς ἀπὸ τοῦ δέδοικα δεδοίκω· ὄλωλα ὀλώλω· ταῦτα συνεχῶς παρὰ Συῤῥακουσίοις[d], ἀλλὰ καὶ παρ' ἡμῖν· ἕστηκα ἑστήκω, ὁ μέλλων ἑστήξω·

ἑστήξειν δὲ τὸ τεῖχος ἐπ' ἀρχαίοισι θεμέθλοις[e].

καὶ ἀπὸ τοῦ ἐγρήγορα ἐγρηγορῶ.

Πέπτωκα: Ἀπὸ τοῦ πτώσσω, οὗ ὁ μέλλων πτώσω, ὡς πλάσσω πλάσω· διφορεῖται γὰρ ἡ τετάρτη συζυγία· ὁ παρακείμενος πέπτωκα· ἢ ἀπὸ τοῦ πέδον, τοῦ σημαίνοντος τὸ χαμαὶ, γέγονε πεδῶ πεδώσω πεπέδωκα, καὶ κατὰ συγκοπὴν πέπδωκα· καὶ ἐπειδὴ δασέα δασέων, καὶ ψιλὰ ψιλῶν, καὶ μέσα μέσων

[d] MS. παρὰ κουσίοις. [e] Callim. Hymn. in Apoll. 15.

ἡγοῦνται, κατὰ σύλληψιν· οἷον, πτῶσις· κτῆμα· ἐτράπη τὸ δ εἰς τὸ τ, καὶ γέγονε πέπτωκα· εἰ δέ τις ἀπὸ τοῦ πίπτωμι αὐτὸ λέγει· πρῶτον μὲν, ἐν χρήσει οὐκ ἔστι· δεύτερον ἀνάγκη ἦν γράφεσθαι τὸ πτῶσις διὰ τοῦ ο μικροῦ, ὥσπερ ἀπὸ τοῦ δίδωμι δόσις· τὰ γὰρ ἀπὸ τῶν εἰς μι γινόμενα ὀνόματα οὐ θέλουσι μακρᾷ[f] παραλήγεσθαι· οἷον, στάσις· φάσις· πόσις· χωρὶς εἰ μὴ ποιητικῶς ἢ Ἀττικῶς ἐκταθείη, ὡς τὸ,

θεοὶ δωτῆρες ἐάων· (Od. Θ. 325.)

ἢ ἀπὸ τοῦ πετῶ πετήσω πεπέτηκα, συγκοπῇ πέπτηκα, καὶ ὥσπερ ἀπὸ τοῦ οἰχῶ οἰχήσω ᾤχηκα, καὶ κατὰ μεταβολὴν τοῦ η εἰς ω ᾤχωκα· Ὅμηρος,

παρῴχηκε δὲ πλέω νύξ. (Od. Θ. 325.)

οὕτως καὶ ἀπὸ τοῦ πέπτηκα πέπτωκα.

Πεπληγώς: (Il. Χ. 497.) Παρ' Ὁμήρῳ μὲν ἐνεργείαν σημαίνει· λέγομεν δὲ καὶ πέπληγα τὸ ἀντικνήμιον· καὶ τὸ τέτευχα καὶ τὸ τετευχώς· ἐνεργείαν δήλουσιν ἀντὶ τοῦ ἔτευξα καὶ τευξάς· ἀλλὰ καὶ πάθος·

βοὸς ῥινοῖο τετευχώς· (Od. Μ. 423.)

ἀντὶ τοῦ τετυγμένος.

Πέφρικα: (Il. Λ. 383.) Ἐνεργητικοῦ ἐστὶ παρακειμένου, ἀλλ' οὐ μέσου· εἰ γὰρ ἦν μέσου παρακειμένου, διὰ τοῦ γ ἂν ἐξηνέχθη· τὰ γὰρ τῆς τετάρτης συζυγίας τῶν βαρυτόνων διὰ τοῦ γ ἐκφέρονται κατὰ τὸν μέσον παρακείμενον· ὁ δὲ λόγος ἐπὶ τῶν ἐχόντων διὰ τοῦ ξ τὸν μέλλοντα ἐκφερόμενον· οἷον, πλήσσω πλήξω πέπληγα· νύσσω νύξω νένυχα· φρίσσω φρίξω πέφριγα[g]· ἀλλ' ἐνεργητικοῦ ἐστὶ παρακειμένου καὶ οὐ μέσου· ἀπὸ γὰρ τοῦ φρίσσω φρίξω γέγονε πέφριχα, καὶ διὰ τὴν τῶν δασέων σύγχυσιν ἐτράπη τὸ χι εἰς κ, καὶ γέγονε πέφρικα· καὶ ὁ μέσος παρακείμενος πέφριγα· ἐξ οὗ γίνεται καὶ τὸ ἔρριγα ἀποβολῇ τοῦ πι φι,

καὶ γ' Ἀχιλλεὺς τούτῳ γε μάχῃ ἐνὶ κυδιανείρῃ
ἔρριγ' ἀντιβολῆσαι εἴπερ σέο πολλὸν ἀμείνων. (Il. Η. 114.)

[f] Cod. μακρά. [g] Cod. πέφριγα (with κα written above).

Πέπονθα: Τινὲς λέγουσιν παρὰ τὸ πήθω τὸ πάσχω· οὗ ὁ β' ἀόριστος ἔπαθον, ὡς λήθω ἔλαθον· μήθω ἔμαθον· τούτου τοῦ πήθω ὁ παρακείμενος πέπηθα, εἶτα τροπῇ τοῦ η εἰς ο, καὶ πλεονασμῷ τοῦ ν πέπονθα· κρεῖττον δὲ λέγειν παρὰ τὸ πονῶ πονήσω πεπόνηκα· ὁ μέσος πέπονα πλεονασμῷ τοῦ νυ[h] πέπονθα.

Παρέσομαι: Σημαίνει τὸ παραγενήσομαι· οὐκ ἀπὸ τοῦ εἶμι τὸ πορεύομαι· παρείσομαι γὰρ ἂν ἦν· ἐν τοῖς εἰς μι γὰρ τὴν αὐτὴν ἔχει παραλήγουσαν ὅτε μέλλων ὁ ἐνεστώς· οἷον, τίθημι θήσω· ἵστημι στήσω· δίδωμι δώσω· ἀλλ' ἀπὸ τοῦ ἔω ῥήματος, τοῦ σημαίνοντος τὸ πορεύομαι· ἐξ οὗ γέγονε καὶ τὸ εἶμι, τὸ ἔω, κατὰ πλεονασμὸν τοῦ ι γέγονεν εἴω· τοῦ ἔω ὁ μέλλων ἔσω, ἔσομαι, καὶ παρέσομαι.

Ποιέεσκεν: Οἱ Ἴωνες ἐπὶ τῶν τρίτων προσώπων τῶν παρῳχημένων, οὐ πάντων, ἀλλ' ἐπὶ πάντων τῶν παρατατικῶν, καὶ τῶν δύο ἀορίστων, τοῦ τε πρώτου καὶ τοῦ δευτέρου, ποιοῦσι παράγωγον διὰ τοῦ σκ· οὐκ ἐπὶ ἑνικῶν μόνων, ἀλλὰ καὶ ἐπὶ δυϊκῶν καὶ πληθυντικῶν· ποτὲ δὲ ἐν τῇ παραληγούσῃ λαμβάνουσι τὸ ε, ὡς ἔλεγε λέγεσκε· ποτὲ δὲ τὸ α, ὡς τύψασκε· λέγεσκε· καὶ τὰ τῆς πρώτης δὲ συζυγίας τῶν περισπωμένων, καὶ τὰ τῆς πρώτης τῶν εἰς μι, τὸ ε ἔχουσι πρὸ τοῦ σκ· οἷον, ποιέεσκε· τίθεσκε· τὰ δὲ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων ἐν τῷ παρατατικῷ μόνῳ τὸ α ἔχουσιν, ὡς γέλασκε· βόασκε· ἐν δὲ τῷ δευτέρῳ ἀορίστῳ διὰ τοῦ α ἐκφέρονται πρὸ τοῦ σκ· οἷον, ἵστημι ἵστης ἵστασκε· ἔστιν στάσκε· οἱ δὲ ποιηταὶ κατὰ μίμησιν τῶν Ἰώνων πολλάκις καὶ τὸ πρῶτον πρόσωπον καὶ τὸ δεύτερον ποιοῦσι διὰ τοῦ σκ· οἷον,

χαίρεσκον γὰρ ἔγωγε.

καὶ τύπτεσκον, ὑποστολῆς γενομένης χρόνου κατὰ τὴν ἄρχουσαν, διὰ τὸ καὶ τοὺς Ἴωνας συνάρχεσθαι τοῖς ἰδίοις θέμασιν· εἰ καὶ μὴ ἀεὶ, ἐπὶ γὰρ τοῦ εἴπεσκεν οὐκ ἔπεσε χρόνος· καὶ ὤθουν, ὤθεις, ὤθεσκε· καὶ τὸ,

h Sic Cod.

ἐμιγέσκοντο πάροιθεν. (Od. Υ. 7.)

καὶ τὸ,

ἤ οἱ παρέκεσκετ' ἀμοιβάς. (Od. Ξ. 521.)

καίτοι ἐν ἑτέροις τοῦτο χωρὶς τοῦ ε λέγει·

κέσκετ' ἐνὶ μεγάροισιν. (Od. Φ. 41.)

μήποτε δὲ ἡ πρόθεσις ὁλόκληρός ἐστι, καὶ ὀφείλει διὰ τοῦ β' ἐκφέρεσθαι παρέσκετο· ἔχομεν δὲ καὶ παρὰ τὸ ἐῶ ἐᾷς ἐᾷ· εἴων εἴας εἴα, εἴασκε "ἀλλ' οὐκ εἴασκε·" μήποτε δὲ καὶ τοῦτο κατὰ πάθος γέγονε τοῦ ι πλεονασάντος.

Πεπιθεῖν: (Il. I. 184.) Τῶν εἰς ν ληγόντων ἀόριστος ἐνεργητικῶν, τουτέστι τῶν δύο ἀορίστων ἐνεργητικῶν οἱ δεύτεροι μέλλοντες μιᾷ ἐνδέουσι συλλαβῇ· οἷον, ἔλιπον λιπῶ· ἔδραμον δραμῶ, ἀφ' οὗ τὸ δραμοῦμαι· ἔπιθον πιθῶ, ἀφ' οὗ τὸ πιθεῖν καὶ

πεπιθεῖν μεγάλας φρένας Αἰακίδαο. (Il. I. 184.)

Πεφυζότες: (Il. Φ. 6.) Ὡς ἀπὸ τοῦ φυζῶ περισπωμένου, πεφύζηκα, καὶ ἡ μετοχὴ πεφυζηκώς· ἀπὸ τούτου συγκοπῇ πεφυζώς[1].

Πετάννυμι: Οὐδέποτε παρ' ἡμῖν τὰ εἰς μι ἁπλᾶ ὄντα ὑπερβαίνουσι τὰς τρεῖς συλλαβάς· οἷον, τίθημι· ἵστημι· δίδωμι· ζεύγνυμι· χωρὶς τοῦ ὀρέγνυμι· κεράννυμι· καὶ πετάννυμι καὶ ὀμόγνυμι· ἀφ' οὗ τὸ,

κελαινεφὲς αἷμ' ἀπομόργνυ. (Il. E. 798.)

καὶ ὀνίνημι· παρὰ δὲ τοῖς Αἰολεῦσι πολλὰ εὑρίσκονται εἰς μι ὑπερβαίνοντα τὰς τρεῖς συλλαβάς· οἷον, ἐλευθέρωμι· δοκίμωμι· πρόσκειται ἁπλᾶ ὄντα διὰ τοῦ ἀποδίδωμι καὶ συνίστημι.

Προτί: Τινὲς λέγουσι ὅτι ἀπὸ τῆς πρὸς γέγονε κατὰ τροπὴν Δωρικὴν τοῦ σ εἰς τ· ὥσπερ σὺ τύ· καὶ ἐπειδὴ οὐδέποτε εὑρίσκεται λέξις Ἑλληνικὴ εἰς ἄφωνον καταλήγουσα, πλεονάζει τὸ ι, καὶ γίνεται προτί· ἀλλ' ἔστιν εἰπεῖν ὅτι οὐδέποτε οἱ Δωριεῖς τρέπουσι τὸ σ ἐν τέλει λέξεως, ἀλλ' ἐν ἀρχῇ· ὡς ἐν τῷ σὺ τύ· σὲ τέ· ἢ ἐν τῷ μέσῳ, ὡς τὸ ἐσσί· ἔστιν εἴκοσι

[1] Cod. πεφυκώς.

εἴκατι· καὶ φασὶ φατί· καὶ δῆλον οὐκ ἐγένετο πρὸτ, καὶ οὕτω προτὶ, καὶ κατὰ πλεονασμὸν τοῦ ι· ἔστιν οὖν εἰπεῖν ὅτι πρῶτον ἐπλεόνασε τὸ ι, καὶ ἐγένετο προσί· πεφύκασι γὰρ αἱ προθέσεις τὸ ι πλεονάζειν ἐν τῷ τέλει· οἷον, κατὰ καταί· παρὰ παραί·

πᾶσι δὲ παραὶ ποσὶ κάππεσε θυμός. (Il. O. 280.)

ὑπὲρ ὑπείρ·

ὑπεὶρ ἅλα τ' ἠϊόνας τε. (Il. Ω. 16.)

πρῶτον οὖν γέγονεν ὁ συνηθὴς πλεονασμὸς τοῦ ι, καὶ τότε τέτραπται τὸ σ εἰς τὴν παρὰ Δωριεῦσιν, ὡς μεσιλοιπὸν[k] τὸ σ γενόμενον· οἷον, προσὶ προτί· λέγει δὲ ὁ Φιλόπονος ὅτι ἅμα ὁ πλεονασμὸς ἐγένετο τοῦ ἰῶτα, ἅμα δὲ καὶ ἡ τροπὴ τοῦ σ εἰς τ.

Περικλυτός: (Il. A. 607.) Ἰστέον ὅτι τὸ κλυτὸς καὶ κλειτὸς συντιθέμενα μετὰ ἀπτώτου ὑπὲρ μίαν συλλαβὴν τὴν ὀξεῖαν τᾶσιν φυλάττουσιν· οἷον, ἀγακλυτός[l]· περικλυτός· μετὰ ἀπτώτου μονοσυλλαβοῦ, ἢ καθόλου μετὰ πτωτικοῦ συντιθέμενα, ἀναβιβάζουσι τὸν τόνον· πρόκλυτος·

πρόκλυτ' ἀκούοντες ἔπεα θνητῶν ἀνθρώπων. (Il. Υ. 204.)

ὀνομάκλυτος· τοξόκλυτος· Ἡράκλειτος· ὅθεν τὸ δουρίκλυτος ἐν παραθέσει λέγομεν εἶναι· εἰ γὰρ ἦν ἐν συνθέσει, ἤμελλε προπαροξύνεσθαι, ὡς μετὰ πτωτικοῦ συντεθὲν, καὶ μὴ ἀναβιβάσαν τὸν τόνον.

Πάτος: (Il. Z. 202.) Ἐκ τοῦ βῶ, τὸ βαίνω, βάτος, καὶ πάτος· τὰ εἰς τος λήγοντα δισύλλαβα βραχείᾳ παραληγόμενα μονογενῆ, πρὸ μιᾶς ἔχει τὸν τόνον· κρότος· μίτος· νότος· βάτος· πάτος· σεσημείωται τὸ βελὸς καὶ στρατός.

Πολυδίψιον: (Il. Δ. 171.) Τὸ δ ἐπλεόνασε ἐνταῦθα· ὅπερ ἀγνοήσαντες τινὲς ἱστορίαν ἀναπλάττουσιν, ὅτι Ἴναχος οὐκ ἔσχεν ὕδωρ, καὶ ἐξηράνθησαν αἱ πηγαί· ἀλλὰ τὸ πολυβλαβὲς μᾶλλον δηλοῖ· καὶ ἐστὶ πλεονασμὸς τοῦ δ· τοιοῦτο δ' ὁρᾶται καὶ ἐπὶ τοῦ Ἑκατηβελέταο· ἀγνοοῦντες γὰρ πλεονασμὸν εἶναι τῆς τη συλλαβῆς ἀναπλάσσουσι τὰ περὶ τὸν δράκοντα ὃν ἑκατὸν ἰοῖς ἐπάταξεν· οὐκ ἔστι δ' οὕτως ἀλλ' ὃν λέγουσιν

π`` ξι ό

[k] MS. μέσϊλοι. [l] MS. ἀγακλυτ.

Ἑκάεργον Ἑκηβόλον, ἐν πλεονασμῷ εἶπεν Ἑκατηβόλον· ὡς τὸ ἔτυμος ἐτήτυμος· ὁμοίως δὲ κἀκείνῳ ἐπλεόνασε,

θάνατος δέ τοι ἐξ ἁλὸς αὐτῷ. (Il. Ψ. 281.)

ἐπεὶ γὰρ ἡ ἐξ τὴν ἀπό τινος σχέσιν σημαίνει, ἐκ Κρήτης, ἐκ Ῥόδου· τοῦτο δὲ καὶ τὸ ἐξ ἁλὸς, ἀνέπλασε τὸ κέντρον καὶ τὴν τρυγόνα· Δημήτριος δὲ ἐπὶ τοῦ πολυδίψιον τὸν δὲ συνδεσμὸν ἐδέξατο, καὶ κατὰ ὑπέρθεσιν ἐλάμβανε, ὅπερ σπάνιόν ἐστι,

καί κεν ἐλέγχιστος πολυδίψιον Ἄργος ἱκοίμην. (Il. Δ. 171.)

ἵν' ᾖ Ἀργοσδέ.

Παρέξ: Παρὰ τῷ ποιητῇ καὶ δύο μέρη λόγου ἐστὶν καὶ ἐγκλίνονται αἱ δύο προθέσεις· ὅτε πολλάκις καὶ ἡ ἐξ εἰς κ τρέπει τὸ ἑαυτῆς ξ· οἷον,

παρὲκ μέγα τειχίον αὐλῆς. (Od. Π. 165.)
παρὲκ νόον ἤγαγεν Ἕκτωρ. (Il. K. 391.)

παρελκούσης τῆς ἐξ· εἰ δὲ φωνῆεν καὶ μὴ σύμφωνον ἐπανεχθῇ, δῆλον ὅτι τὸ ξ μένει· οἷον,

παρὲξ ἅλα φῦκος ἔχευεν. (Il. I. 7.)

τὸ γὰρ ἑξῆς παρὰ τὴν ἅλα φῦκος ἔχευεν·

ὡς ἄρα φωνήσαντε παρὲξ ὁδοῦ. (Il. K. 349.)
νῆχε παρὲξ γαῖαν. (Od. E. 439.)
ἀλλὰ παρὲξ εἴποιμι. (Od. Δ. 348.)
δῆμον ἐόντα παρὲξ ἀγορευέμεν. (Il. M. 213.)

ἐν τούτοις δέ ἐστι τὸ νοητὸν ὅτε ἐπικρατεῖ τῆς ἐξ προθέσεως· ἔστιν ὅτε καὶ τὸ τῆς παρά· εἰσὶ δὲ οἱ ἓν μέρος λόγου παρειλήφασι τὸ παρὲξ σημαῖνον τὸ ἐκτός· καὶ ἡμῖν δὲ οὕτως δοκεῖ ὅτε τὸ ξ φυλάττεται ἐπιφερομένου συμφώνου·

ἀλλὰ παρὲξ τὴν νῆσον. (Od. M. 276.)
στῆ δὲ παρέξ· Τρῶες δὲ διέτρεσαν. (Il. Λ. 486.)

καὶ

ἀλλὰ παρὲξ μεμνώμεθα. (Od. Ξ. 168.)

καὶ δῆλον ὅτι ἐπίῤῥημά ἐστι· καὶ οὐκ ἔτι ὀφείλει τὸ ξ τρέπεσθαι εἰς κ· οὐ γάρ ἐστι πρόθεσις ἀλλ' ἐπίῤῥημα βαρύτονον ἀφ' οὗ χωριστικὸν ἐπίῤῥημα οἱ παρὰ Ἡρόδοτον ἐποίησαν ὁμοίως ὑφ' ἕνα τόνον βαρυτόνως ὡς Λέλεξ· ὅπερ οὐκ ἔστι παρὰ τῷ ποιητῇ· ὁμοίως τῷ πλὴν, τοῦτο γὰρ καὶ γενικῇ φιλεῖ συντάσ-

σεσθαι ἧς ἐστὶ χωριστικόν· "πάντας παρεγένοντο πλὴν Ἀπολλωνίου·" παρὲξ Ἀπολλωνίου· οὕτως ἔχει καὶ τὸ παρ' Ἡροδότῳ[m],

οὔτε ἄνδρα λόγιον οἴδαμεν γενόμενον, παρὲξ τοῦ Σκυθικοῦ ἔθνους καὶ Ἀναχάρσιος·

καὶ παρὰ Πλάτωνι·

παρὲξ τῶν εἰρημένων.

φησὶν δὲ ἐν τῇ καθόλου ὁ Τεχνικὸς αὐταῖς λέξεσι· τὸ πάρεξ βαρυνόμενον καὶ γενικῇ συντασσόμενον, ἔχει τί παράσημον, ὡς καὶ παρὰ δύο προθέσεις ἐγένετο· ὁπότε γὰρ ὀξύνεται, οὐ φαμὲν εἶναι ἐπίῤῥημα, ἀλλὰ δύο προθέσεις.

Πολυδάμας, Πολυδάμαντος: (Il. Μ. 60.) Ὁ κανών· τὰ εἰς ας μετὰ συμφώνου ὑπὲρ δύο συλλαβὰς, διὰ τοῦ ντ κλίνεται· οἷον, Εὐρυδάμας Εὐρυδάμαντος, Πολυδάμας Πολυδάμαντος· καὶ ἡ κλητικὴ, ὦ Πολυδάμα· ὁ κανών· τὰ εἰς ας βαρύτονα ὑπὲρ δύο συλλαβὰς, περιττοσυλλαβῶς κλινόμενα, ἀποβολῇ τοῦ σ ποιεῖ τὴν κλητικήν.

Ποιῶ: Ἐνεστῶτος ἐστὶ χρόνου· λέγεται δὲ ἐνεστὼς χρόνος, καὶ ὁ κατὰ πλάτος· λέγεται δὲ κατὰ τοὺς φιλοσόφους καὶ ὁ ἀκαριαῖος, κατὰ δὲ Ἀπολλώνιον βραχύς· βραχύτατος γάρ ἐστιν ὁ ἐνεστὼς χρόνος, καὶ περιεχόμενος ὑπὸ τοῦ μέλλοντος καὶ τοῦ παρῳχημένου· οἷον, ὁ ποιῶ, ἐνεστώς ἐστιν· οὗτος δηλοῖ καὶ παρῳχημένον καὶ μέλλοντα· ἐὰν γὰρ εἴπω "ποιῶ οὕτως," λέγω, ὡς ἀρξάμενος πεποιηκέναι τι τοῦ πράγματος, ὅ ἐστι παρῳχημένος· καὶ πάλιν ἐὰν εἴπω "ποιῶ," λέγω οὕτως, ὁ μέλλων τι ποιῆσαι τοῦ πράγματος, ὅπερ ἔστι μέλλοντος· περιέχεται οὖν ὁ ἐνεστὼς χρόνος ὑπό τε τοῦ παρῳχημένου, καὶ τοῦ μέλλοντος· διαφέρει δὲ ὁ παρατατικὸς τοῦ ἐνεστῶτος, ὅτι ὁ μὲν παρατατικὸς ἐν μεγίστῃ παρατάσει ἔχει τήν τε πάροδον καὶ τὴν μέλλησιν, ἤτοι ἔνστασιν, ὁ δὲ ἐνεστὼς ἐν βραχυτάτῃ· ἀλλ' εἰ καὶ ἀκαριαῖος ἐστὶ ὁ ἐνεστὼς, ἀλλ' ὅμως ἔχει τινὰ παράτασιν καθὸ εἴρηται, ὅτι ὑπὸ δύο χρόνων περιέχεται· περιεχόμενος δὲ ὑπό τε παρῳχημένου καὶ μέλλοντος, δύο παρῳχημένους ἐγέννησε· τὸν μὲν ἐντελῆ, τὸν δὲ ἐλλιπῆ· ἐλλιπῆ μὲν τὸν παρατα-

m IV. 46.

τικὸν, τέλειον δὲ τὸν παρακείμενον· προϊὼν γὰρ ὁ ἐνεστὼς, ὅτε μὲν πολὺ παρέλθῃ τοῦ παρῳχημένου, ὀλίγον δὲ ἐπέχει ὑπὸ τοῦ μέλλοντος, γίνεται παρατατικός· ὅταν δὲ διοδεύσῃ καὶ τὸ λοιπὸν τῆς μελλήσεως, γίνεται ὅλος παρῳχημένος, τουτέστι παρακείμενος· οὗτός τι πλέον προκόψας γεννᾷ τὸν ὑπερσυντελικόν· ἰστέον δὲ ὅτι ὁ μὲν παρῳχημένος δηλοῖ τὴν πρὸ ὀλίγου συντέλειαν· ὁ δὲ ὑπερσυντελικὸς, τὴν πρὸ πολλοῦ· διὸ μετὰ τῆς ὑπὲρ προθέσεως λέγεται· ὁ γὰρ λέγων "ἐγεγράφειν," πολὺ πρότερον γέγραφεν· οὐ χρῆ οὖν προνέμειν τῷ ὑπερσυντελικῷ τὸ πάλαι· ἔχει γὰρ αὐτό· τὸ μέντοι κατὰ μέρος καὶ ἰδικὸν, ὃ δηλοῦται διὰ τοῦ ἐχθὲς, καὶ πρὸ ἡμέρων τρίων, ἢ καὶ πρὸ ἐνιαυτοῦ, ἢ τινος χρόνου· καὶ ὅτι μὲν παλαιότερός ἐστιν ὁ ὑπερσυντελικὸς τοῦ παρακειμένου δῆλον· φέρεται δὲ πρὸς τὸν ἀόριστον καθὸ ἐκεῖνος, καὶ ὑπόγυον πάροδον σημαίνει· οὗτος δὲ τὴν πάλαι· παρῳχημένος δέ ἐστι ὁ ἀόριστος τοῦ μέλλοντος, οὐ διὰ τὸ τὰ αὐτὰ ἔχειν σύμφωνα, ἀλλὰ καθὸ ἡ αὐτὴ ἀμφίβολός ἐστι τῶν χρόνων, μέλλοντος καὶ ἀορίστου, ἢ καὶ ὅτι ὁ μέλλων ἐλλείπει τὸ ἄρτι, ἢ τὸ πάλαι, ὥσπερ καὶ ὁ ἀόριστος· ἐὰν γὰρ εἴπω "ἐποίησα," ἄδηλον ἢ ἄρτι, ἢ πάλαι· ἐν δὲ τῷ μέλλοντι οὐκ ἔτι ἐστὶ ποιότης τῆς πράξεως, ὡς ἐπὶ τοῦ ἐνεστῶτος· ὁ γὰρ λέγων "ποιήσω," οὔπω διάθεσιν ἔσχε τοῦ πράγματος, ὁ δὲ λέγων "ποιῶ," ἔσχε τὴν διάθεσιν τοῦ πράγματος· ὁρίζει μέντοι ὁ μέλλων, ὅτι μέλλει ποιῆσαι.

Πιμπρᾶσι: Τὰ εἰς ι παραληγόμενα τῷ α προπερισπᾶται· πιμπρᾶσι· κιχρᾶσι· ἱστᾶσι· καὶ ζητοῦσι τίνος χάριν οὐ προπερισπᾶται,

καί τ' ἀγεληδὸν ἴασι. (Il. Π. 160.)

καὶ λέγομεν, ὅτι τὰ προπερισπώμενα ἰσοσυλλαβεῖ τοῖς πρώτοις· ἱστᾶσιν ἵσταμεν· κιχρᾶσι κίχραμεν· τὰ δὲ πλεονάζοντα τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν· δίδομεν διδόασι· τίθεμεν τιθέασιν· ἐν οἷς οὖν τὸ ἴασι πλεονοσυλλαβεῖ τοῦ ἵμεν, ἐν τούτοις καὶ προπαροξυνθήσεται· ἔστι καὶ οὕτως εἰπεῖν περὶ τοῦ ἴασιν· πᾶν πληθυντικὸν εἰς μεν λῆγον ὅτε ἐστὶ ἀπὸ τῶν εἰς μι μετὰ τιθέασι· δίδομεν διδόασι· ἵεμεν ἱέασιν· ἔμεν ἔασι· ζεύγνυμεν

ζευγνύασιν· εἰ οὖν ἔστιν ἔμεν, σαφὲς ὅτι τῇ αὐτῇ ἀκολουθεῖ, καὶ τὸ ἴασι προπαροξυντονηθήσεται· ἔστι δὲ ἀπὸ τοῦ εἶμι, τὸ πορεύομαι· τὸ πληθυντικὸν ἴμεν διὰ τοῦ ἰῶτα.

τέλος τοῦ Π.

ἈΡΧΗ ΤΟΥ ῬΩ.

ῬΙΝΌΝ[m]:

εἴσατο δ' ἔκτοσθεν ῥινόν. (Il. K. 334.)

ὄνομα θηλυκόν· τὰ εἰς νος δισυλλαβὰ τῷ ι μόνῳ παραληγόμενα, βαρύνεται· σπῖνος· Νῖνος· Λίνος· μόνον τὸ ῥινὸς ὀξύνεται.

ῬΟΆΩΝ: (Il. Γ. 5.) Ὄνομα γένους θηλυκοῦ· ἡ εὐθεῖα ῥοή· αἱ ῥοαὶ τῶν ῥοῶν· καὶ οἱ Αἰολεῖς τὰς εἰς ων γενικὰς, τὰς ἀπὸ τῶν εἰς αι εὐθείων γινομένας, διὰ τοῦ αων προσφέρουσιν· μοῦσαι μουσῶν μουσάων· οἱ δὲ Δωριεῖς διὰ τοῦ εων· πύλαι πυλῶν πυλέων.

ῬΙΓΩ͂[n]: (Il. Γ. 259.) Ῥιγήσω· τὸ γη η· καὶ τὰ διχρόνῳ παραληγόμενα· ὁ μέσος παρακείμενος ἔῤῥιγα· διατί ἐνδεῖ τοῦ ἐνεργητικοῦ; ὅτε γὰρ ὁ β' ἀόριστος ἐνδεῖ τοῦ πρώτου συλλαβῆς τότε καὶ ὁ μέσος παρακείμενος ἐνδεῖ τοῦ ἐνεργητικοῦ·

οὔτι ἐγὼ ἔῤῥιγα μάχην, οὐ δὲ κτύπον ἵππων. (Il. P. 175.)

ἔστιν οὖν ὁ β' ἀόριστος ἔῤῥιγον, τὸ ὑποτακτικὸν ἐῤῥίγω, ἐῤῥίγῃς ἐῤῥίγῃ· καὶ κατ' ἐπέκτασιν ἐῤῥίγῃσι· ὡς τὸ,

δῷσι πόλιν· (Il. A. 128.)

τὸ ῥιγῶ ἐκ τοῦ ῥίγος, ὃ σημαίνει τὸν φόβον· τοῦτο ἐκ τοῦ φρίσσω φρίγος καὶ ῥίγος· τὸ ρι μακρὸν, διατί; τὰ γὰρ θέσει μακρὰ, ἡνίκα ἀποβάλλουσι σύμφωνον εἰς φύσει μακρὸν μεταβαίνουσιν· οἷον, γιγνώσκω γινώσκω· ἔστι καὶ ἕτερον ῥῆμα ῥιγῶ ἐπὶ τοῦ ψύχους, καὶ ἐστὶ συζυγίας τρίτης τῶν περισπωμένων· ὁ μέλλων ῥιγώσω, καὶ ὁ ποιήτης,

ἐπεὶ οὐκ ἐφάμεν ῥιγωσέμεν. (Od. Ξ. 481.)

ἀμφότερον ἐκ τοῦ ῥίγος.

[m] Cod. ῥιρόν. [n] Cod. Ρριγῶ.

ʽΡίπτω: (Il. A. 591.) Τὸ ρι μακρόν· τὰ εἰς πτω λήγοντα ῥήματα διχρόνῳ παραληγόμενα συστέλλει αὐτό· οἷον, βλάπτω· νίπτω· πλὴν τὴν ῥίπτω καὶ πίπτω· ἐκ τοῦ ῥίπτω τὸ ῥίμφα ἐπίῤῥημα· τὰ γὰρ ῥιπτούμενα ταχέως φέρεται.

ʽΡεῖα: (Il. B. 475.) Ἐκ τοῦ ῥέω ῥέα ῥεῖα·

ῥέα μὲν γὰρ βριάει. (Hes. Op. I. 5.)

καὶ

ῥεῖα δ' ἀρίζηλον μινύθει. (Hes. Op. I. 6.)

τὸ γὰρ εὐχερῶς γινόμενον ῥεύσει ἔοικεν, ὡς παρὰ τὸ ἠρεμῶ ἠρέμα.

ʽΡέξας: (Il. H. 147.) Παρὰ τὸ ἔρδω, τὸ θύω· καὶ ἐν ὑπερβιβασμῷ ῥέδω· τροπῇ τοῦ δ εἰς ζ Δωρικῇ, ῥέζω· ὁ μέλλων ῥέξω· ὁ ἀόριστος ἔρεξα· ἡ μετοχὴ ῥέξας· τὸ ῥέζω σημαίνει τρία· τὸ πράττω,

νῦν δὲ τόδε μέγ' ἄριστον ἐν Ἀργείοισιν ἔρεξε. (Il. B. 274.)

ʽΡέξαι:

ἀλλ' ὧδε ῥέξαι·

ἡ φωνὴ καὶ ἀπερεμφάτου καὶ προστακτικοῦ καὶ εὐκτικοῦ· καὶ ὁπότε μὲν εὐκτικοῦ, τρίτου προσώπου, ὁπότε δὲ προτακτικοῦ, δευτέρου· τὸ θέμα ῥέζω· ὃ κατὰ ὑπέρθεσιν καὶ τροπὴν Δωρικὴν τοῦ ζ εἰς δ γίνεται ἔρδω· οὐ δύναται γὰρ πρὸ τοῦ ξ σύμφωνον εἶναι· σεσημειωμένου τοῦ ἀμέλξω καὶ ἐνζεῦξαι[o].

ʽΡα: Παραπληρωματικὸς σύνδεσμος· οὐκ ἀπὸ τοῦ ἄρα δὲ συλλογιστικοῦ ὥς τινες φασὶ κατ' ἀφαίρεσιν τοῦ α, ἀλλὰ θεματικός ἐστι· καὶ γὰρ τὴν ἄρα τινὲς φασὶ κατὰ μὲν ἀφαίρεσιν τοῦ προτακτικοῦ α ῥα γίνεται· κατὰ δὲ ἀποκοπὴν τοῦ ἐσχάτου α αρ· ἀεὶ δὲ ἐγκλιτικός ἐστι· [τὰ ἐγκλιτικά ἐστι]· τὰ δὲ ἐγκλιτικὰ ἐν πᾶσι τοῖς μέρεσι τοῦ λόγου εὑρίσκεται, χωρὶς τῶν μετοχῶν, καὶ τῶν ἄρθρων τῶν φυσικῶν, καὶ τῶν προθέσεων· οἷον, ἐν μὲν ὀνόμασι, τό τις,

καί τις θεὸς ἡγεμονεύεν. (Od. K. 141.)

ἐν ῥήμασι, τὸ εἰμὶ καὶ φημὶ καὶ ἠμί· καὶ τὰ κινήματα αὐτῶν·

[o] Cod. ἐνζέξαι. Cf. Etym. M. p. 370, 19.

τοῦτο δὲ τὸ ἠμὶ, τὸ διὰ τοῦ η γραφόμενον, καὶ ὀξυνόμενον, σημαίνει τὸ λέγω· καὶ γέγονεν ἐκ τοῦ φημὶ κατ' ἀφαίρεσιν τοῦ φι· ἐν ἀντωνυμίαις· καὶ μὶν καὶ σφέας· ἐν ἐπιῤῥήμασι·

καὶ ποτέ τοι·

ἐν συνδέσμοις

καί ῥα πάροιθ' αὐτοῦ. (Il. Α. 360.)

τὰ γὰρ ἄρθρα ἐγκλινόμενα, εἰς ἀντωνυμικὴν σημασίαν μεθήσταντο·

ἐνθ' ἔσαν οἱ πέπλοι παμποίκιλοι. (Il. Ζ. 289.)

ἰστέον δὲ ὅτι οἱ παραπληρωματικοὶ σύνδεσμοι, ἐπειδὴ μέτρου χάριν, ἢ κόσμου παραλαμβάνονται, δηλονότι οὐ σημαίνουσι· μὴ σημαίνοντες δὲ τὶ, οὐδὲ λέξεις εἰσίν· ἔστι δὲ εἰπεῖν ὅτι οὐ πάντες πάντοτε παραπληροῦσιν, ἀλλ' ἐνίοτε καὶ σημασίαν ἔχουσιν· οἷον, ὁ γὲ ἐπιτατικὸς ἐστίν· οἷον, καλώς γε· ἀντὶ τοῦ πάνυ καλῶς· ἀλλὰ καὶ μείωσιν σημαίνει,

τοῦτο γέ μοι χάρισαι.

ἀντὶ τοῦ, τοῦτο γέ μοι χάροιτο· ἀντὶ τοῦ, τοῦτο τὸ σμικρότατον· ἀλλὰ καὶ παρέλκει,

οὗτος γ' Ἀτρείδης εὐρυκρείων Ἀγαμέμνων. (Il. Γ. 178.)

ἐνταῦθα γὰρ χάριν μέτρου παρειλήφθη· ὁ μὴν ἀποδεικτικός ἐστιν· "οὐ βλέπω καὶ μὴν ἡμέρα ἐστίν" ἔψευστο καὶ μὴν ἀγαθός ἐστιν· ἀλλὰ καὶ ὁ ἔμπης καὶ ὁ περ ἐναντίωσιν σημαίνει· ὃ δὴ παραγραφήν· παραγραφὴ δέ ἐστι μακρὰ παρολκὴ πρὸς διακοπὴν νοήματος καὶ ἀρχὴν ἑτέρου λόγου· ὡς ἐν τῷ,

οἱ μὲν δὴ παρ' ὄχεσφιν ἐρητύοντο μένοντες. (Il. Ο. 3.)

εἰ οὖν σημαίνουσί τι, λέξεις ἄρα εἰσίν· ἴδιον δὲ λέξεως τὸ μεταλαμβάνεσθαι ὁμοιοσήμους· οἷον, βροτὸς ἄνθρωπος μέροψ· ἄορ ξίφος μάχαιρα· εἰ οὖν καὶ ῥά νυ ἀντὶ τοῦ δή· λέξεις ἄρα εἰσίν· ἀλλὰ καὶ ἴδιον λέξεως τὸ παρέλκεσθαι· οἷον,

πῇ ἔβη Ἀνδρομάχη λευκώλενος. (Il. Ζ. 377.)

παρέλκει· παρέλκοντες δὲ, καὶ οἱ παραπλημωρατικοὶ πῶς οὐχὶ λέξεις εἰσί; λέξεις ἄρα εἰσίν.

Ῥίπτασκεν: (Il. Ψ. 827.) Τοῦτο καὶ τὸ ἔχεσκες,

πῇ δή τοι μένος οἴχεται, ὃ πρὶν ἔχεσκες. (Il. Ε. 472.)

οὐκ ˈἸωνικά εἰσιν ἀλλὰ ποιητικὰ, καὶ τὸ μὲν ἔχεσκες δῆλον ὅτι ποιητικόν· τὸ δὲ ῥίπτασκε ἀμφιβάλλεται· καὶ μήποτε ἀπὸ τοῦ ῥιπτάζω ῥιπτάσω, ἐπενθέσει τοῦ κ ῥιπτάσκω, ὡς μεθύω μεθύσκω· καὶ τρῶ τρώσω τρώσκω· μεταγομένων τῶν μελλόντων εἰς ἐνεστῶτα.

ˈΑΡΧΗ ΤΟΥ ΣΙΓΜΑ.

Σφέας: (Il. B. 96.) Τὸ σφέας κατὰ πλεονασμὸν ἐστὶ τοῦ ε· ἢ τὸ σφᾶς κατὰ συναίρεσιν· καὶ λέγομεν ὅτι τὸ σφέας κατὰ πλεονασμὸν τοῦ ε γίνεται· κατὰ τὸν κανόνα τὸν λέγοντα· καθόλου ἐν πληθυντικοῖς ἀριθμοῖς, ἡ[p] τοῦ τρίτου προσώπου ἀντωνυμία, ἀρχομένη ἀπὸ τοῦ σφ, ἐνδεῖ συλλαβὴν κατὰ τὸ δεύτερον καὶ τρίτον πρόσωπον τοῦ πρώτου τε καὶ δευτέρου προσώπου· οἷον, ἡμεῖς· ὑμεῖς· σφεῖς· ἡμῶν· ὑμῶν· σφῶν· ἡμῖν· ὑμῖν· σφίν· οὕτως καὶ ἡμᾶς· ὑμᾶς· σφᾶς· ὥστε κατὰ πλεονασμόν ἐστι τοῦ ε ἐπὶ[q] τοῦ σφέας.

Σμαραγῶ: (Il. B. 210.) ˈἘκ τοῦ σμάραγος ὁ ψόφος καὶ ὁ ἦχος· γίνεται ἀπὸ τοῦ σπαράσσω σπάραγος, καὶ κατὰ τροπὴν τοῦ π εἰς μυ, σμάραγος· κυρίως γὰρ λέγεται σμάραγος ὁ ἀπὸ σπαραγμοῦ ἦχος· ἐκ τοῦ σμάραγος γίνεται σμαραγῶ· καὶ περισπᾶται· κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι τὰ εἰς ω λήγοντα ῥήματα τῷ α παραληγόμενα περισπᾶται· χωρὶς εἰ μὴ παρὰ πρόθεσιν συντεθῶσιν· οἷον, σφαραγῶ·

> σφαραγεῦντο δέ οἱ πυρὶ ῥίζαι· (Od. I. 390.)

πλαταγῶ·

> χερσί τε συμπλατάγησεν. (Il. Ψ. 102.)

ἀγῶ σημαίνει τὸ θαυμάζω, καὶ τὸ θηλυκὸν ἄγη,

> ἄγη μ' ἔχει ὄρχαμε λαῶν. (Il. Φ. 221.)

οὕτως οὖν καὶ σμαραγῶ·

> σμαραγεῖ δέ τε λειμών. (Il. B. 463.)

ἀντὶ τοῦ ψοφεῖ καὶ κτυπεῖ· πρόσκειται χωρὶς εἰ μὴ παρὰ πρό-

p Cod. ἢ.

q Cod. τοῦ ε πί.

θεσιν συντεθῶσι, διὰ τὸ συνάγω καὶ προάγω· ἔστι δὲ καὶ ἕτερον σμαραγῶ, καὶ σημαίνει τὸ λάμπω· ἐξ οὗ καὶ σμάραγδος ὁ λαμπρότατος λίθος· τοῦτο γίνεται παρὰ τὸ μαίρω, τὸ λάμπω· ὁ μέλλων μαρῶ, καὶ κατὰ παραγωγὴν μαράσσω, καὶ πλεονασμῷ τοῦ σ σμαράσσω· καὶ ὄνομα ῥηματικὸν σμάραγδος, καὶ τὸ ῥῆμα σμαραγῶ, τὸ λάμπω· γίνεται δὲ καὶ ἄλλο ῥῆμα ἐκ τοῦ μέλλοντος· ἔστι γὰρ μαρῶ, καὶ κατὰ παραγωγὴν μαρύσσω, καὶ κατὰ ἀναδιπλασιασμὸν μαρμαρύσσω· καὶ τὸ ῥηματικὸν ὄνομα μαρμαρυγή· καὶ Ὅμηρος,

μαρμαρυγὰς θηεῖτο ποδῶν. (Od. Θ. 265.)

γίνεται δὲ καὶ ἄλλο ῥῆμα ἀμαρύσσω, καὶ ἀμάρυγμα.

Σκαμάνδριος: (Il. B. 465.) Τὸ δρι ἰῶτα· ὡς τὸ κάπριος· ἐκ τοῦ Σκάμανδρος· δίψει γάρ ποτε κατασχεθεὶς ὁ Ἡρακλῆς ηὔξατο τῷ πατρὶ Διὶ ἐπιδεῖξαι αὐτῷ λιβάδα· ὁ δὲ μὴ θέλων αὐτὸν κατατρύχεσθαι, ῥίψας κεραυνὸν ἀνέδωκεν μικρὰν λιβάδα· ἣν θεασάμενος ὁ Ἡρακλῆς, καὶ σκάψας εἴστε πλουσιώτερον ἐποίησε φέρεσθαι, καὶ διὰ τοῦτο Σκάμανδρος, διὰ τὸ ἐσκάφθαι ὑπὸ τοῦ ἀνδρος[r].

Σῶμα: (Il. H. 79.) Παρὰ τὸ σῆμα, ὃ σημαίνει τὸν τάφον κατὰ τὸν Πλάτωνα· "τάφος γὰρ," φησὶ, "τὸ σῶμα ψυχῆς· δίκην γὰρ τάφου ἐντέθαπται ἡ ψυχὴ τῷ σώματι." τροπῇ τοῦ μακροῦ εἰς μακρὸν, σῶμα· διαφέρει δέμας καὶ σῶμα· δέμας λέγεται ἐπὶ ἐμψύχων· σῶμα δὲ ἐπὶ ἀψύχων· ὁ δὲ ποιητὴς εἰπὼν,

ὥστε λέων ἐχάρη μεγάλῳ ἐπὶ σώματι κύρσας. (Il. Γ. 23.)

τὸ ἐναντίον εἴρηκε, καὶ εἶπε τὸ σῶμα ἐπὶ ἐμψύχων· φασὶ γὰρ τὸν λέοντα νεκροῦ σώματος μὴ ἅπτεσθαι· τὸ δὲ "μεγάλῳ ἐπὶ σώματι" ἐστὶν ὁ τρόπος ἀντίπτωσις, ἀντὶ τοῦ μεγάλου σώματος ἐπιτύχων.

Σκαιός: (Il. Γ. 145.) Γίνεται ἐκ τοῦ σκάζω τὸ χωλαίνω, ἐξ οὗ καὶ σκαμβρὸς ὁ μὴ ὀρθῶς βαδίζων· σκαὸς καὶ σκαιός·

[r] Hæc partim habet Etym. M. p. 715, 30.

σκαιὸς γὰρ ἔχει ἡ ἀριστερὰ χεὶρ πρὸς τὰς πράξεις· κατὰ τρόπους τρεῖς λέγονται Σκαιαὶ πύλαι· ἢ ἀπὸ Σκαίου τοῦ δημιουργήσαντος αὐτὰς, ἢ ὅτι ἐν τοῖς σκαιοῖς, ἤγουν ἀριστεροῖς μέρεσι, κεῖνται· σκαιὰ γὰρ τὰ ἀριστερὰ, ὡς καὶ ὁ ποιητὴς ἐδήλωσεν εἰπὼν,

> εἴτ' ἐπὶ δεξί' ἴωσι πρὸς ἠῶτ' ἠέλιόν τε
> εἴτ' ἐπ' ἀριστερὰ τοίγε ποτὶ ζόφον ἠερόεντα. (Il. M. 239.)

ἢ παρὰ τὸ σκαιῶς βεβουλεῦσθαι τοὺς Τρῶας, τὸν γὰρ δούριον ἵππον κατ' αὐτὰς ἐδέξαντο.

Σκηπτοῦχος: (Il. A. 279.) *Παρὰ τὸ σκῆπτρον ἔχειν· προπερισπᾶται· ἐπειδὴ τὰ παρὰ τὸ ἔχω συγκείμενα ὀνόματα, εἰ μὲν τῇ ου διφθόγγῳ παραλήγεται, προπερισπᾶται· οἷον, ῥαβδοῦχος· κλειδοῦχος· λαμπαδοῦχος· εἰ δὲ τῷ ο, προπαροξύνονται· οἷον, αἰγίοχος· ἡνίοχος· ἔνοχος· μέτοχος· πάροχος*[s].

Στεῦται: (Il. Γ. 83.) *Σημαίνει τὸ διαβεβαιοῦται καὶ ὑπισχνεῖται· ἀπὸ τοῦ στεύομαι στεύεται, καὶ κατὰ συγκοπὴν στεῦται· γίνεται παρὰ τὸ στῶ στεύω· λέγεται δὲ τὸ ῥῆμα ἐπὶ τοῦ ὡρισμένου τι τὴν ψυχὴν καὶ στάσιμον λαβεῖν.*

Σπάρτω: (Il. B. 135.) *Ἐκ τοῦ σπείρω, τὸ ἑλίσσω, ἐξ οὗ καὶ σπείρημα, τὸ τοῦ ὄφεως ἕλιγμα· σπάρτον οὖν ἐξ αὐτοῦ, καὶ σπάρτιον ὑποκοριστικόν· καὶ ὥσπερ μηρία μῆρα, οὕτως καὶ σπαρτία σπάρτα κατὰ συγκοπήν.*

Σιδονίηθεν: (Il. Z. 291.) *Ἐπίῤῥημα σημαίνει τὴν ἐκ τόπου σχέσιν· παρὰ τὸ Σιδονίαθεν· ἡ δὲ πόλις Σιδών· τὸ ἐθνικὸν Σιδώνιος, ὡς Πλευρὼν Πλευρώνιος· Καλυδὼν Καλυδώνιος· τὸ ἐθνικὸν κατὰ συστολὴν εἶπεν ὁ ποιητὴς,*

> Σιδονίων βασιλεύς. (Od. Δ. 618.)

παρὰ τὸ Σιδὼν Σιδῶνος Σιδώνοθεν, ὡς Πλευρώνοθεν, καὶ ὄνομα Σιδονία· καὶ ὡς Οἰχάλια Οἰχαλίηθεν· Τροῖα Τροίηθεν· κλισία κλισίηθεν· οὕτως Σιδονία Σιδονίηθεν· οἱ μὲν οὖν Ἀττικοὶ τὸ α φυλάσσουσι· Φθίαθεν· θύραθεν· πέραθεν· Ἴωνες δὲ τρέπουσι Σιδονίηθεν· Τροίηθεν· θύρηθεν· τρέπεται καὶ τὸ α εἰς ο· Δεκέλεια

[s] Cf. Etym. Gud. p. 503, 46.

Δεκελειόθεν ἴσως καὶ παρὰ τὸ πλευρὰ πλευρόθεν· καὶ παρὰ τὸ ἑσπερὰ ἑσπέροθεν· εἰ μὴ ἄρα παρὰ τὸ ἕσπερος· Ἱστιαία Ἱστιαίοθεν· ἡ δὲ τοιαύτη παραγωγὴ ἐὰν μὲν πρὸ τέλους ὁ τόνος ὅτε φυλάσσει τὸ α, ἢ τὸ η, βαρύνεται· Οἰχαλία Οἰχαλίηθεν· εἰ δὲ ὀξύνεται τὸ πρωτότυπον προπερισπᾶται τὸ ἐπίρρημα· ἀγορὰ ἀγορῆθεν·

ἦμος δ' ἐπὶ δόρπον ἀνὴρ ἀγορῆθεν ἀνέστη. (Od. M. 439.)

οὕτως δὲ καὶ Ὀλυμπία λέγομεν Ὀλυμπίαθεν· τέτριπται δὲ Ὀλυμπιάθι καὶ Ὀλυμπιᾶσιν.

Σίσυφος: (Il. Z. 154.) Σύνθετον· ἐτυμολογεῖται δὲ παρὰ τὸ σοφὸς, ὁ ὑπὸ θεῶν σοφὸς, καὶ ὑφέσει τοῦ ο, Σίσυφος· ἔχομεν δὲ τροπὴν τοῦ ο εἰς υ, οὐ μόνον πρὸς τὸ ἄγυρις καὶ ὁμήγυρις, ἀλλὰ καὶ πρὸς τὸ ἀσύφηλος· παρὰ τὴν σοφίαν, τὸν οἷον ἄσοφον καὶ ἀπαίδευτον· βαρύνεται· τὰ εἰς φος λήγοντα, ὑπὲρ δύο συλλαβὰς, προπαροξύνεται· κρόταφος· κόσσυφος· κόλλαφος· Ἄντιφος· σεσημείωται τὸ ἀδελφὸς, καὶ ἴσως ὡς τριγενὲς, τὰ γὰρ λοιπὰ μονογενῆ.

Σφίν:

αὐτὰρ ἐπεί σφιν. (Il. K. 574.)

οἶδεν αὐτὸ ὁ ποιητὴς καὶ χωρὶς τοῦ νυ, καὶ ἐγκλίνεται· ἅπαξ δ' ὠρθοτονήθη παρ' Ἡσιόδῳ, ἐπεὶ καὶ προετάγη·

σφίν τ' αὐτοῖς μέγα πῆμα[s]. (Op. I. 56.)

Σκίδναται: (Il. Λ. 308.) Ἀπὸ τοῦ σκεδῶ γίνεται σκεδάζω, καὶ σκιδνῶ, καὶ σκίδνημι, καὶ χωρὶς τοῦ σ, ὡς παρὰ τὸ σκάπτω σκάπετος, καὶ κάπετος· καὶ ἀπὸ τοῦ σκαίρειν καρίς· καὶ σφὴν, καὶ φήν.

Σῆισι: (Il. A. 297.) Διατί ἐπεκτείνεται διὰ τοῦ ι; ἐπειδὴ πᾶσα δοτικὴ πληθυντικῶν πρὸ τοῦ ι ἔχει τὸ σ· ἢ δυνάμει ἢ ἐνεργείᾳ, μὴ ἔχοντα πρὸ τοῦ ι τὸ σ, ἢ δυνάμει ἢ ἐνεργείᾳ· τὸ Ἀτρείδαις, καὶ καλοῖς καὶ σοφοῖς· διὰ τοῦτο ἐπεκτάθη διὰ τοῦ ι· ἵνα εὑρέθῃ τὸ σ πρὸ τοῦ ι· ἔτρεψε καὶ τὸ α εἰς η· αὗτοι· αὗται· δοτικαὶ εἴτε ἐπεκτεινόμεναι εἰσὶν, εἴτε ἀνεπέκτατοι[t].

[s] Cf. Apollon. de Adv. p. 384. quem cit. Gaisf. ad Hesiod. loc.
[t] Est lacunæ indicium in Cod.

Σχέτλιος: (Il. B. 112.) Παρὰ τὸ σχέθω, τὸ κωλύω, καὶ τὸ λίαν· ὁ ἐπισχέσεως ἄξια ἔργα ποιῶν.

Σχοίατο: (Il. B. 98.) Ὡς τὸ δευοίατο· σχοῖτο ἀπόσχοιτο· διατί ἀνεβίβασε τὸν τόνον; τὰ τοῦ δευτέρου μέσου ἀορίστου δισύλλαβα ὑπάρχοντα κατὰ τὸ δεύτερον πρόσωπον, διὰ τοῦ οιο ἐκφερόμενα, οἷς ἀκολουθεῖ καὶ τὰ τρίτα πρόσωπα, αναδίδωσι τὸν τόνον· οἷον, θοῖτο ἀπόθοιτο· σχοῖτο ἀπόσχοιτο· καὶ τὰ ἀνακολούθως ἐσχηματισμένα, τότε πρόοιτο καὶ κατάθοιτο.

Σπουδῆι: (Il. B. 99.) Ἐπίῤῥημα ἀθροίσεως· τὸ δη η διατί; τὰ παρὰ δοτικῶν ὀνομάτων γινόμενα ἐπιῤῥήματα, καὶ τὴν αὐτὴν γραφὴν φυλάττουσι· οἷον, σιωπῇ·

ἀκὴν ἐγένοντο σιωπῇ. (Il. Γ. 95.)

Σέσηπε: (Il. B. 135.) Ἐκ τοῦ σήπω ἢ ἔσαπον· γίνεται παρὰ τὸ σὴς σητός· ὅ ἐστιν εἶδος σκώληκος, γίνεται σήπω, καὶ κλίνεται σητός· ὁ κανών· τὰ εἰς ης ὀνόματα μονοσύλλαβα, εἰ μὲν ὀξύνονται, διὰ τοῦ τος κλίνονται· Κρὴς Κρητός· θὴς θητὸς, ὁ μισθωτός· σὴς σητός· βλὴς βλητὸς, βλῆτα καὶ ἀβλῆτα· εἰ δὲ περισπᾶται ἀποβολῇ τοῦ σ κλίνεται· οἷον, δρὴς δρῆ· ἀπὸ τοῦ σητὸς, σήτω καὶ σήπω.

Σκῆπτρον[u]: (Il. A. 28.) Παρὰ τὸ σκηρίπτω, τὸ ἐπακουμβίζω, ἢ σκήπτω, ὃ σημαίνει δύο· τὸ ἐπακουμβίζω, καὶ τὸ προφασίζομαι· ἐξ οὗ καὶ σκῆψις ἡ πρόφασις.

Στρατός: (Il. A. 10.) Παρὰ τὸ στεῤῥῶς ἄττειν, ἤγουν ἐφάλλεσθαι· ἢ παρὰ τὸ στρέφω ἔστραμμαι στραπτὸς, ὡς γέγραπται γραπτὸς, καὶ στρατός· ὁ εὐπερίστρεπτος· ἢ παρὰ τὸ στεῤῥῶς ἵστασθαι· στρατὸς, ὁ συνεστραμμένος καὶ συνδεδεμένος ὄχλος.

Στῆθος: (Il. B. 218.) Σιτίον, καὶ τὸ ὠθῶ· σιτίωθόν τι ὄν· παρὰ τὰ σιτία δι' αὐτοῦ ὠθεῖσθαι, κατὰ συγκοπὴν στῶθος, καὶ τὸ μακρὸν εἰς μακρὸν, στῆθος· ἢ παρὰ τὸ ἵστημι στήσω στῆθος· καὶ τί μετέχει; τὸ ἱστάμενον ὀρθόν· τὰ διὰ τοῦ ηθος[x] δισύλλαβα μονογενῆ, διὰ τοῦ η γράφεται· οἷον, ἦθος· πλῆθος· στῆθος· πλὴν τοῦ λίθος καὶ πίθος.

[u] Cod. Σκηπτον. [x] Cod. ηθω.

Συνοχωκότε[y]: (Il. B. 218.) Μετοχὴ πρώτης συζυγίας τῶν περισπωμένων, καὶ τὸ ο, τὸ πρῶτον, μικρὸν ποιητικῶς· ἔστι γὰρ συνώχηκα, καὶ ἐστὶ παρασύνθετον· τὸ σύνθετον σύνοχος, τοῦτο ἐκ τοῦ συνέχω· συνοχῶ ῥῆμα ὁ μέλλων συνοχήσω· ὁ παρακείμενος συνώχηκα, τὸ ω μεγὰ, τὸ δὲ ο εἰς ω, καὶ τὸ μακρὸν εἰς μακρὸν, γίνεται συνόχωκα, καὶ ἡ μετοχὴ συνοχωκὼς, καὶ ἡ εὐθεῖα τῶν δυϊκῶν συνοχωκότε κατὰ συστολὴν ποιητικήν.

Σμώδιξ[z]: (Il. B. 267.) Ἐκ τοῦ σμώγω· τὸ μω μεγά· δύο γάρ εἰσιν εἰς ω ῥήματα δισύλλαβα τὸ ω παραληγόμενα, τὸ τρώγω καὶ τὸ σμώγω· γίνεται ἐκ τοῦ σμώδιξ· ἔστι δὲ τὸ διξ βραχύ· ἐπειδὴ οὐδέποτε τὸ ι καὶ τὸ υ εὑρίσκονται φύσει μακρὰ, χωρὶς εἰ μὴ λόγῳ ἀρχούσης παρατατικοῦ, ὡς τὸ ἰξεύω ἴξευον.

Σιωπῶ: (Il. B. 280.) Τὸ ω μεγά· ἐκ τοῦ σιωπή· τοῦτο ἐκ τοῦ σιγῶ σιγωπή· γίνεται δὲ παρὰ τὸ σιγὴ, καὶ τὴν ὄπα, ὃ σημαίνει τὴν φωνὴν, καὶ ἐστὶ σιγή· τὸ σι μακρὸν, ὡς παρὰ τῷ[a] ποιητῇ· καὶ τὸ σιωπῶ ῥῆμα βραχὺ αὐτὸ ἔχουσιν.

Σμερδαλέα: (Il. E. 302.) Γίνεται παρὰ τὸ σμερδνὸν, τοῦτο ἐκ τοῦ μερίζω μεριδνὸς, καὶ πλεονασμῷ τοῦ σ σμερδνός· καὶ ἐξ αὐτοῦ σμερδναλέος, καὶ ἐκβολῇ τοῦ ν σμερδαλέος· μερίζεται γὰρ ἡ ψυχὴ τῶν ὁρώντων τῷ φόβῳ, καὶ οὐκ ἐᾷ ἐν τῷ αὐτῷ μένειν· διατί προπαροξύνεται; τὰ διὰ τοῦ αλεος ὑπὲρ τρεῖς συλλαβὰς πρὸ μιᾶς ἔχουσι τὸν τόνον· οἷον, γηραλέος· κερδαλέος· πλὴν τεσσάρων· κονισάλεος· δαιδάλεος· ἀτασθάλεος· ἀθάλεος[b].

Στέρνον: (Il. Δ. 528.) Παρὰ στεῤῥὸν εἶναι.

Σάκος: (Il. E. 619.) Ἀπὸ Σάκων· Σάκες δὲ ἔθνος Θρακικόν.

Στρουθός[c]: (Il. B. 311.) Ὀξύνεται· ὤφελε βαρύνεσθαι· τὰ γὰρ εἰς θος δισυλλαβὰ μονογενῆ, φύσει μακρᾷ παραλήγοντα, βαρύνεται· οἷον, Ξοῦθος· ἔστι δὲ ὄνομα κύριον· μῦθος· κῶ-

[y] Cod. Συνοχοκότες. [z] Cod. σμώδιγξ. [a] Cod. τό.
[b] Leg. αἰθάλεος cum Etym. Gud. p. 506, 38. [c] Cod. σρουθός.

θος, σημαίνει σζῆθος[d], ἀλλ' ὀξύνεται ἀπὸ τῆς ἐτυμολογίας, παρὰ τὸ μετὰ οἴπρου θέειν, τὰ δὲ παρὰ τὸ θέω συντιθέμενα ἅπαντα ὀξύνεται· οἷον, ἀγαθός· βοηθός· τούτοις συνεξηκολούθησε καὶ τὸ στρουθός· ἢ παρὰ τὸ στέρεσθαι οὔθατος.

Στίξ: (Il. B. 525.) Διὰ τοῦ ι, οὐ δὲ δίφθογγος εἰς διπλοῦν λήγει· οἷον, λίψ· θρίψ· κνίψ· τί διαφέρει σκνὶψ[e] καὶ κνίψ; οὐδὲν διαφέρει, ἢ μόνον κατὰ κλίσιν· τὸ μὲν γὰρ μετὰ τοῦ σ κλίνεται σκνιπὸς[f] σκνιφὸς, διὰ τοῦ πι καὶ τοῦ φι, τὸ δὲ χωρὶς τοῦ σ· κνὶψ μόνον διὰ τοῦ πι, κνιπὸς, ἀπὸ δὲ μεταφορᾶς τοῦ ζώου, μετάγεται εἰς γενικὴν εἰς εὐθεῖαν, καὶ γίνεται κνιπός· σημαίνει δὲ τὸν σμικρολόγον ἄνθρωπον· τὸ δὲ στὶξ γίνεται παρὰ τὸ στείχω· τὸ στει δίφθογγος· τὰ ἔχοντα τὸ ο ἐγκείμενον ἐν τοῖς ῥήμασι, ἔχει τὸ ἐγκείμενον ἐν τοῖς ῥήμασιν, ἡ γενικὴ στιχός.

Στιχῶ· καὶ Ἐστιχόωντο: (Il. B. 92.) Ἔστι δευτέρας συζυγίας τῶν περισπωμένων στιχάω, στιχῶ, στιχάει στιχᾶ,

ὁ μὲν ἐν πρώτῃσι καὶ ὑστατίῃσι βόεσσιν
αἰὲν ὁμοστιχάει. (Il. O. 635.)

γίνεται ἐκ τοῦ στὶξ στιχὸς, σημαίνει τὴν τάξιν· τὸ στι ἰῶτα, ἐκ τοῦ στίξ· τὰ εἰς στιξ, οὐδέποτε διφθόγγῳ παραλήγεται· γίνεται ἐκ τοῦ στίχω στίξω στίξ.

Στόμαχος: (Il. Γ. 292.) Σημαίνει τὸν φάρυγγα· ἐτυμολογεῖται, ἢ ὅτι σιτόμαχός τις ὢν, ὁ τοῖς σιτίοις μαχόμενος, ἢ ὅτι στόμα ἐστὶ τῶν χεομένων, ἢ παρὰ τὸ στόμα, καὶ τὸ μῆχος, ὃ σημαίνει τὴν μηχανὴν, ἢ παρὰ τὸ στόμα καὶ τὸ χέω· δι' αὐτοῦ γὰρ, ἥτε ὑγρὰ καὶ ξηρὰ τροφὴ πρὸς τὴν γαστέρα χεῖται.

Σπαίρω καὶ Ἀσπαίρω: (Il. Γ. 293.) Ἐκ τοῦ σπαίρω· τοῦτο ἐκ τοῦ σκαίρω· καὶ κατὰ πόσους τρόπους διαφέρει τὸ σκαίρω τοῦ σπαίρω; λέγομεν μετὰ τοῦ α κατὰ Ἀττικὴν συνήθειαν, ὡς τὸ,

d Male Codex orditur novam glossam post σημαίνει.

e Cod. σκιπός. f Cod. κνίτ. Cf. Etym. M. p. 718, 14.

ἤ ῥά οἱ ἀσπαίρουσα καὶ οὐρίαχον πελέμιξεν. (Il. N. 443.)

καὶ

ὁ δ' ἑσπόμενος περὶ δουρὶ
ἤσπαιρε. (Il. N. 570.)

καὶ διότι τὸ μὲν σπαίρειν καὶ ἀσπαίρειν ἄμουσόν τινα κίνησιν δηλοῖ, ὃ γίνεται ἐν ἰχθῦσι, καὶ ἐν τῷ δεδεμένῳ κατὰ τὴν ποίην βοΐ· τὸ δὲ σκαίρειν ἔμμουσόν τινα καὶ εὔρυθμον κίνησιν δηλοῖ, ὅθεν παράγονται σκάρος καὶ σπάρος ἰχθύες· ὅθεν τὸ σκάρος ἔμμουσον καὶ εὔρυθμον κίνησιν ἀποτέλει· ἐξ οὗ καὶ τὸ σκιρτᾶν παράγεται[f].

Σφύριον καὶ Ἐπισφύριον: (Il. Γ. 331.) Κτητικὸν, καὶ γίνεται ἐκ τοῦ σφυρὸν,

ἀμφὶ δέ μιν σφυρὰ τύπτεν. (Il. Z. 117.)

ἐκ τοῦ σφυρὸν οὖν σφύριον καὶ ἐπισφύριον· διατί προπαροξύνεται; τὰ διὰ τοῦ ιον ὑποκοριστικὰ, εἰ μὲν ὦσι δακτυλικὰ, πρὸ μιᾶς ἔχουσι τὸν τόνον· εἰ δὲ τριβράχεα προπαροξύνονται· οἷον, θρόνιον· τόπιον· οὕτως καὶ σφύριον καὶ ἐπισφύριον· τὸ ρι ἰῶτα· τὰ διὰ τοῦ ιον οὐδέτερα τριβράχεα καὶ προπαροξύνεται, καὶ διὰ τοῦ ἰῶτα γράφεται.

Στιβαρόν: (Il. Γ. 335.) Γίνεται ἐκ τοῦ στείβω τὸ περιπατῶ· καὶ τί μετέχει τὸ στιβαρὸν πρὸς τὸ στείβω; οἱονεὶ τὸ πεπιλημένον καὶ συνημμένον, καὶ ἠσφαλισμένον, ἤγουν μὴ ἔχον ἔξοδον μὴ δὲ ὀπήν· τὸ στι ἰῶτα· πολλὰ γὰρ εἰσὶν ὀνόματα ἀπὸ ῥημάτων· ἐκ τοῦ στείβω ὁ β' ἀόριστος ἔστιβον ἐστίβην, καὶ τὸ ἀπαρέμφατον στιβῆναι· καὶ ἐπειδὴ κανὼν ἐστὶν ὁ λέγων· τὰ εἰς ναι λήγοντα ἀπαρέμφατα, εἰώθασιν ἀντιπαρακεῖσθαι ὀνόμασιν εἰς ρος· οἷον, μιᾶναι μιαρός[g]· λιπάναι λιπαρός· οὕτως στιβῆναι Δωρικῶς τρέπεται τὸ η εἰς α στιβάναι[h], καὶ ἐξ αὐτοῦ στιβαρός.

Σχόμενος (Il. M. 298.) καὶ Ἀνασχόμενος: (Il. Γ. 362.) Τὸ ῥῆμα σχῶ· μέσον παρακείμενον οὐκ ἔχει· τὰ γὰρ μονοσύλλαβα ῥήματα μέσους παρακειμένους οὐκ ἔχουσιν.

[f] Cf. Etym. M. p. 722, 51. [g] Cod. μιαναιμι μαρός.
[h] Cod. στιάναι.

Στυγερήν: (Il. Γ. 404.) Ἐκ τοῦ στυγῶ[i]· σημαίνει δύο, τὸ φοβοῦμαι καὶ τὸ μισῶ· τοῦτο ἐκ τοῦ Στυγὸς, ἥτις ψυχρότατον ὕδωρ ἔχει· καὶ τί μετέχει τὸ στυγῶ πρὸς τὸ Στυγός; μυθεύονται οἱ ἀρχαῖοι ὅτι τὰ μὲν ἀηδῆ καὶ λυπηρὰ ἐκ τῶν ψυχρῶν καθέστηκε· τὰ δὲ ἡδέα καὶ τερπνὰ ἐκ τῶν θερμῶν· τὸ Στὺξ παρὰ τὸ στύζω στύξω Στύξ· ἢ παρὰ τὸ στυγῶ στυγέσω, ἐξ οὗ καὶ

στυγέῃ δὲ[j] καὶ ἄλλος. (Il. A. 186.)

καὶ στυγητὸς, ὁ μισητὸς, καὶ στυγνὸς ἐξ αὐτοῦ.

Σφῶε: (Il. A. 8.) Ἀντωνυμία τρίτου προσώπου αἰτιατικῆς μόνης πτώσεως· διατί οὐκ ἔστιν ὀρθῆς καὶ αἰτιατικῆς; διότι ἡ ὀρθὴ πτῶσις οὐδέποτε ἀναδίδωσι τὸν τόνον· οἷον, νῶϊ σφῶϊ· τοῦτο δὲ καὶ ὀξύνεται, καὶ ἐγκλίνεται, καὶ ἀναδίδωσι τὸν τόνον· διὸ ἀπέλειψεν ἡ εὐθεῖα, καὶ ἐστὶν αἰτιατικῆς μόνης.

Σαώτερος: (Il. A. 32.) Ἐστὶ ῥῆμα σῶ τὸ ὑγιαίνω· παράγωγον σάω, ἐξ οὗ ὄνομα σάος· ἐξ αὐτοῦ σαώτερος· ἔστι δὲ ἐκ τοῦ σῶ ῥῆμα σέω, ἐξ οὗ σόος· ἐκ τοῦ σῶ σῶος· ἐξ οὗ τὸ σώζω· ἐκ τοῦ σόος, ὃ ἐκ τοῦ σέω, τὸ,

βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι. (Il. A. 117.)

τροπῇ τοῦ ο εἰς α· σάος καὶ σαώτερος· τὸ δὲ σόος εἴρηται καὶ παρὰ τὸ σεύειν, τὸ ὁρμᾶν· ὁ δυνάμενος ὁρμᾶν καὶ κινεῖσθαι.

Στήτην: (Il. A. 332.) Χρόνος ἀόριστος, τὸ θέμα ἵστημι.

Σάφα: (Il. B. 192.) Ἐπίρρημα μεσότητος· ὅσα ἐν ὁμοφωνίᾳ καθέστηκε πληθυντικὰ βαρύτονα ὀνόματα, μεταγόμενα εἰς ἐπιρρηματικὴν σύνταξιν· διατί βαρύνεται; τὰ ἀπὸ πληθυντικῶν οὐδετέρων ὀνόματα μεταγόμενα εἰς ἐπιρρηματικὴν σύνταξιν βαρύνονται· οἷον, ταχέα τάχα· σαφέα σάφα· ὠκέα ὦκα· πλὴν τοῦ θαμέα θαμά[k].

Στός: (Il. I. 544.) Διάφορος ἐτυμολογία οὐ πάθος· ἡ μὲν γὰρ ὁρμητικὸν τὸ ζῶον σύω σῦς· καὶ πάλιν παρὰ τὸ ὕω ὗς, ἐπεὶ ἀεὶ ὕεσθαι θέλει· αὐτὸς γοῦν ὁ ποιητής φησιν,

[i] Cod. στίγω. [j] Cod. στυγέει om. δέ. [k] Cf. Etym. Gud. p. 497, 17.

αἱ δὲ νέμονται
παρ' Κόρακος πέτρῃ παρά τε κρήνῃ 'Αρεθούσῃ. (Od. N. 408.)

ὗς λείπει τὸ σ, ὡς ἐν τῷ κάπετος· πλεονάζει δὲ ὡς ἐν τῷ σειρήν· ταύτῃ τοι ὅπου μὲν συβώτης λέγει ὁ ποιητὴς, ὅπου δὲ ὑφορβός· πρὸς διάφορον οὖν ἐτυμολογίαν· συστέλλει δὲ τὸ υ ἐπὶ τῆς γενικῆς· καθόλου γὰρ τὸ περισπώμενον καὶ ἐκτεινόμενον συστέλλεται ἐπὶ τῆς γενικῆς· ἰχθύς ἰχθύος· μῦς μυός· δρῦς δρυός[1].

Στρατός: (Il. A. 10.) Ὄνομα ῥηματικὸν παρὰ τὸ στρέφω· ἔνθεν τὸ ἔστραπτος στραπτός· καὶ ἐνδείᾳ τοῦ πι, ὡς ἐν τῷ θάλπω θάλπαμος καὶ θάλαμος, γίνεται στρατὸς, οἷον, τὸ συνεστραμμένον πλῆθος· καὶ τὸ ε δὲ τρέπεται εἰς α· ὡς Ἄρτεμις Ἄρταμις· οἱ δὲ Αἰολεῖς στρόφω λέγοντες τὸ ῥῆμα, καὶ στροτὸν λέγουσιν·

Στερῶ: Ὥσπερ τὸ φορῶ καὶ πονῶ βραχείᾳ παραληγόμενα, τὸν μέλλοντα ἔχουσι διφορούμενον, καὶ διὰ τοῦ ε καὶ διὰ τοῦ η, ἢ πρὸς διάφορόν ἐστι τοῦτο τὸ σημαινόμενον, ἢ διαφορὰ τῆς παραληγούσης τοῦ μέλλοντος· οὕτω δὴ καὶ ἐπὶ τοῦ στερῶ στερήσω καὶ στέρεσω· διὰ τοῦτο καὶ ἐπὶ τοῦ παρακειμένου ἐστέρημαι καὶ ἐστέρεσμαι.

Σύνοιδα: Τὸ κεῖμαι καὶ ἧμαι ἐν τῇ συνηθείᾳ ἀναβιβάζει τὸν τόνον· ἐγκείμαι· καθῆμαι· καθόλου γὰρ πᾶς παρωχήμενος ὁριστικὸς, ἀπὸ φωνήεντος καὶ φύσει μακρᾶς ἀρχόμενος, τὸν αὐτὸν τόνον φυλάσσει καὶ ἐν τῇ συνηθείᾳ· οἷον, ἧψα· συνῆψα· εἶχον κατεῖχον· εὗρον ἐφεῦρον· ἦλθον συνῆλθον· ὦσμαι ἀπῶσμαι· χωρὶς τοῦ οἶδα σύνοιδα· καὶ εἶκον ὑπόεικον·

νηῶν δ' ὑπόεικον ἀνάγκῃ. (Il. Π. 305.)

καὶ εἶξεν ὑπόειξε·

τῷ δ' ἕδρης ἐπιόντι πατὴρ ὑπόειξεν 'Οδυσσεύς· (Od. Π. 42.)

τὸ δὲ σύνοιδα Αἰολικῶς ἀνεβίβασε τὸν τόνον· οἱ γὰρ Αἰολεῖς ἀναβιβαστικοὶ τῶν τόνων εἰσί· οἷον, Ἀτρεὺς Ἄτρευ· σοφὸς σόφος· πρόσκειται παρωχημένον, διὰ τὸ ἧμαι τὸ κάθημαι, ἐνεστὼς

[1] Cf. Etym. M. p. 736, 40.

γάρ ἐστιν· πρόσκειται ὁριστικὸς, διὰ τὸ εἰπὲ πρόσειπε· καὶ εὗρε ἔφευρε· οὐχ ὁριστικὰ γὰρ ταῦτα· πρόσκειται ἀπὸ φύσει μακρᾶς ἀρχόμενος, διὰ τὸ ἷζε ἔφιζε· τὸ δὲ ἷζε κοινῶς καὶ μακρὸν ἔχει τὸ ι· ἐξ οὗ τὸ ἐφίζεν· Ἰωνικῶς δὲ ἢ ποιητικῶς, συστέλλει αὐτό· ἐξ οὗ τὸ ἔφιζε· ἀπὸ φωνήεντος πρόσκειται, διὰ τὸ χεῦε περίχευε, καὶ κεῖται κατάκειται.

Σχέσ: Παρὰ τὸ σχῶ, οὗ ὁ μέλλων σχήσω· ὁ β′ ἀόριστος ἔσχον, καὶ κατέσχον· ἡ μετοχὴ σχών· ἔδει οὖν ὡς ἐκ τῆς φαγὼν φάγε· πιὼν πίε· οὕτως σχὼν σχὲ, καὶ κάτασχε, καὶ πάρεσχε· ἐν πλεονασμῷ δὲ τοῦ σ γέγονε σχὲς καὶ κατάσχες· τὸ δὲ σπὲς γίνεται παρὰ τὸ σπῶ, τὸ σημαῖνον τὸ λέγω καὶ τὸ ἀκολουθῶ· οὗ ὁ μέλλων σπήσω, καὶ ἐνισπήσω· ὁ β′ ἀόριστος ἔσπον, ἡ μετοχὴ σπῶν καὶ ἐνισπῶν· τὸ προστακτικὸν σπέ· καὶ πλεονασμῷ πάλιν τοῦ σ σπές· ὁμοίως τὸ φρὲς, ἐκ τοῦ φέρε τὸ πρόφερε, κατὰ συγκοπὴν τοῦ ε καὶ προσθέσει τοῦ σ φρές[m].

Σχῶ: (Il. Φ. 309.) Τὸ ἐὰν σχῶ καὶ ἐὰν σπῶ, καὶ ἐνίσπω· τὸ δὲ ἐὰν ὦ καὶ ἐν τῇ συνθέσει τὸν αὐτὸν τόνον φυλάττει· οἷον, συνῶ, καὶ ἐὰν παρῶ· ἀπὸ γὰρ τοῦ ἐὰν συνέω γέγονε, κατὰ κρᾶσιν τοῦ ε καὶ ω εἰς ω.

τέλος τοῦ σίγμα.

ἈΡΧΗ ΤΟΥ ΤΑΥ.

Τετράφαται: (Il. B. 25.) Ἐπὶ τοῦ παθητικοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ τοῖς τρίτοις προσώποις τῶν πληθυντικῶν πρὸ τοῦ τ προτίθεται τὸ α, καὶ εἰ μὲν ψιλὸν ᾖ σύμφωνον πρὸ τοῦ τ, τρέπεται εἰς τὸ δασύ· οἷον, ἀπὸ τοῦ τέτραμμαι, τέτραπται, τετράμμεθα, τέτραφθε, καὶ Ἰωνικῶς τετράφαται·

πεδίον δὲ[n] γὰρ αἰεὶ
τετράφαθ' ὁππότ' ἐπὶ Τρώων ἀΐοιεν[o] ἰόντων. (Il. K. 188.)

καὶ

ᾧ λαοί τ' ἐπιτετράφαται· (Il. B. 25.)

τοιοῦτον καὶ τὸ τεύχω, τέτευχα, τέτυγμαι, τέτευκται, τετεύ-

m Cf. Etym. M. p. 740, 16. n Cod. πεδιον. o Cod. ἀΐοι.

χαται· εἰ δὲ τὸ σ ᾖ, τρέπεται εἰς τὸ σύμφωνον τοῦ μέσσου παρακειμένου, καὶ τοῦ δευτέρου ἀορίστου, ὡς ἀπὸ τοῦ ἔρασμαι, ἔρασται, καὶ ἐρράδαται·

αἵματι δ' ἐρράδαται τοῖχοι[p]. (Od. Υ. 354.)

καὶ ἐρείδω, ἤρεισται, ἠρείδαται καὶ Ἀττικῶς ἐρηρέδαται·

λᾶε δὲ τοῦ ἑκάτερθε ἐρηρέδαται δύο λευκώ. (Il. Ψ. 329.)

καὶ παρὰ τὸ πείθω, πέπεισται, πεπείθαται· εἰ δὲ ἀμετάβολον ᾖ πρὸ τοῦ τ, τοῦτο φυλάττεται ἐξ ἀνάγκης, ὡς παρὰ τὸ ἀγείρω, ἤγερκα, Ἀττικῶς ἀγήγερται, καὶ Ἰακῇ παραγωγῇ ἀγηγέραται, καὶ ὁ ὑπερσυντελικὸς ἀγηγέρατο· καὶ στέλλω, ἔσταλκα, ἔσταλται, ἐστάλαται· καὶ παρὰ τὸ κλίνω, κέκλιται, παρὰ τῷ Δημοκρίτῳ χωρὶς τοῦ ν· κατὰ τὴν πλάνην τοῦ Ὁμηρικοῦ ὡς φησὶν Ἡρωδιανός·

κεκλίαται χώρης ὀλίγην ἔτι μοῖραν ἔχοντες. (Il. Π. 68.)

ὅπερ φημὶ οὐκ ἀπὸ τοῦ κλίνω ἀλλ' ἀπὸ τοῦ κλείω· ἐγὼ δὲ νομίζω τὸ παρὰ Δημοκρίτῳ μὴ κατὰ πλάνην γεγόνεναι· ἀλλ' ἐπειδ' ἄν περ ἀπὸ τῶν εἰς νω δισυλλαβῶν, ἑνὶ φωνήεντι παραληγομένων, οἱ παρακείμενοι ἀποβολὴν τοῦ ν πεπόνθασιν, ἀναλόγως ἐκ τοῦ κέκλιται γέγονε τὸ κεκλίαται· οἱ γὰρ καθαρεύοντες παρακείμενοι τὸ α μόνον πρὸ τοῦ ι λαμβάνουσι· καὶ εἰ μακρᾷ παραλήγοιντο ταύτην συστέλλουσι, καὶ οὕτως τὸ Ἰωνικὸν ποιοῦσι· παρὰ γοῦν τὸ κλείω, κέκλειται· οὐδέποτε γὰρ μετὰ τοῦ σ τοῦτο λέγουσιν οἱ Ἕλληνες· συνεσταλμένη οὖν ἡ ει δίφθογγος τῇ ἀποβολῇ τοῦ ε, καὶ προσελθὸν τὸ α, ἐποίησε τὸ κεκλίαται· τοιοῦτο ἐστὶν καὶ ἀπὸ τοῦ ἐρύω ἔρρυται, τὸ ἐρρύαται.

Ταρβός: (Il. Ω. 152.) Ὡς ἀπὸ τοῦ ἀράσσω ἄρραβος, οὕτως ταράσσω τάραβος καὶ ταρβός· ἢ παρὰ τὸ τρέπω τάρπος, ἀντιθέσει τοῦ π εἰς β ταρβός· οἱ γὰρ εὐλαβούμενοι καὶ φεύγουσιν, ἢ παρὰ τὸ τηρῶ, ὁ β' ἀόριστος ἔταρον, εἶτα ὡς ἔμαθον μάθος, οὕτως ἔταρον τάρος, καὶ ἐπενθέσει τοῦ β τάρβος[q].

Τάφος: (Il. Ψ. 680.) Ὁ ἐπὶ τῶν νεκρῶν γίνεται μὲν παρὰ τὸ πάθος, μεταβολῇ τοῦ ψιλοῦ εἰς ψιλὸν, καὶ τοῦ δασέος εἰς

[p] Cod. τεῖχος. [q] Cf. Etym. M. p. 746, 26.

δασύ· γίνεται δὲ καὶ παρὰ τὸ θάπτω, καὶ ὤφειλεν εἶναι θάπος, ὡς κόπτω κόπος, ἀλλ' ὑπερβιβασμὸς γέγονε καὶ ἐναλλαγὴ στοιχείου Ἰωνική· καὶ τάφος δὲ ὁ σημαίνει τὴν κατάπληξιν, οἷον,

τάφος δ' ἕλε πάντες Ἀχαιούς. (Od. Φ. 122.)

παρὰ τὸ θήπω γενόμενον ῥῆμα ἔδει εἶναι θάπος· ἔθαπον γὰρ ὁ δεύτερος ἀόριστος, ἀλλ' Ἰωνικῶς ἀντέστρεψε τὰ στοιχεῖα· τοιοῦτόν ἐστι καὶ τὸ ἐνταῦθα, καὶ τὸ ἐντεῦθεν· τὸ μὲν παρὰ τὸ ἔνθα, καὶ ὤφειλεν εἶναι ἐνταθαῦ· τὸ δὲ παρὰ τὸ ἔνθεν, καὶ ὤφειλεν ἐνθεῦτεν· Ἴωσι δὲ σύνηθες τὰ μὲν παρ' ἡμῖν ψιλὰ εἰς δασέα μεταβάλλειν, καὶ ἔμπαλιν τὰ δασέα εἰς ψιλά.

Τετεύχατον: Τέσσαρα σημειοῦνται παρ' Ὁμήρῳ μὴ φυλάξαντα τὴν τῶν προσώπων ἀναλογίαν, πρῶτον τὸ,

τὼ δ' ἀμφὶς φρονέοντε δύο Κρόνου υἷε κραταιὼ
ἀνδράσιν ἡρώεσσι τετεύχετον ἄλγεα λυγρά. (Il. N. 346.)

παρατατικοῦ γὰρ ὂν χρόνου ἔδει εἶναι ἐτευχέτην, εἰ δὲ ὡς τὰ πολλὰ τῶν ἀντιγράφων ἔχει διὰ τοῦ α τετεύχατον, παρακειμένον ἐστι, καὶ διπλασιασμένου, καὶ οὐδὲν σημειῶδες· καὶ τὸ,

ὡς τὸν Τυδείδης ἠδὲ πτολίπορθος Ὀδυσσεὺς
λαοῦ ἀποτμήξαντε διώκετον ἐμμενὲς αἰεί. (Il. K. 364.)

παρατατικοῦ γὰρ ὄν, ἔδει διὰ τοῦ η διωκέτην· τρίτον,

τὼ[r] δ' ἀναῤῥήξαντε βοὸς μεγάλοιο βοείην,
ἔγκατα καὶ μέλαν αἷμα λαφύσσετον. (Il. Σ. 582.)

ἔδει γὰρ λαφυσσέτην, παρατατικοῦ ὄν· τὸ δὲ τέταρτον ἐκ τοῦ ἐναντίου ἐπὶ ἐνεστῶτος σημειοῦνται τὸ κομείτην· διὰ τοῦ ο γὰρ ὤφειλεν εἶναι·

Νεστορέας μὲν ἔπειθ' ἵππους θεράποντε κομείτην. (Il. Θ. 113.)

ἀντὶ τοῦ ἐκόμουν, ἀπὸ τοῦ κομῶ, κομεῖς· ἀλλὰ τὸ μὲν ἄντικρυς παρατατικοῦ καὶ σημειῶδες· τὸ μέντοι·

τούτω μὲν θεράποντε κομείτην. (Il. Θ. 109.)

πρὸ τριῶν κείμενον στίχων σημειοῦνται ὡς προστακτικὸν ὑπάρχον τὸ κομείτων, ὡς τὸ,

κήρυκε δὲ Διῒ φίλοι ἀγγελλόντων. (Il. Θ. 517.)

[r] Cod. τό.

ἀντὶ τοῦ ἀγγελλέτωσαν· οὕτως κἀνταῦθα ἀντὶ τοῦ κομείτωσαν· καὶ γράφουσι μέν τινες κομείτων· ἀλλ' οὐδέποτε δυϊκῷ προστακτικῷ τρίτου προσώπου ἐχρήσατο Ὅμηρος, τῷ γὰρ

τὼ δ' αὐτὼ μάρτυροι ἔστων. (Il. A. 338.)

τοῦ ἔστωσαν ἔστι συγκοπή· τὸ δὲ,

τώ δ' οὐκ ἄκοντε πετέσθην. (Il. E. 366.)

καὶ

τῶν αὖθ' ἡγείσθην. (Il. B. 731.)

παρατατικοῦ ἐστὶ χρόνου συναρξαμένου τοῖς ἰδίοις ἐνεστῶσιν.

Τέ: Παραπληρωματικὸν τίνι ἰσοδυναμεῖ τῷ καὶ, διαφέρει δὲ αὐτοῦ τῇ τάξει, ὅτι ὁ μὲν καὶ προτάσσεται, ὁ δὲ τὲ ὑποτάσσεται, οἷον,

Ἀρκεσίλαός τε Προθοήνωρ τε Κλονίος τε. (Il. B. 495.)

οὐδεὶς τῶν συμπλεκτικῶν ἐγκλιτικὸς, μόνος ὅ τε.

Τιτύσκω: (Il. Γ. 80.) Ἐκ τοῦ θεῶ ὁ μέλλων θεάσω, ἐκ τοῦ θέω κατὰ συγκοπὴν θῶ· τροπῇ τοῦ δασέος εἰς ψιλὸν τῶ, καὶ κατὰ παραγωγὴν τύω, ὁ μέλλων τύσω, καὶ πλεονασμῷ τοῦ κ τύσκω, καὶ μετάγεται ὁ μέλλων εἰς ἐνεστῶτα, καὶ ἀναδιπλασιάζεται.

Τῶιδε:

τῷ δὲ Μέγης[s] ἐπόρουσε· (Il. O. 520.)

δύο μέρη λόγου· ἔστι δὲ καὶ ἕν· τὸ δὲ καὶ αὐτὸς τόνος· ἐν μὲν οὖν τῇ εὐθείᾳ καὶ αἰτιατικῇ ὁ τόνος διαστέλλει· ἐν δὲ τῇ γενικῇ καὶ δοτικῇ οὐκ ἔτι,

ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει. (Il. A. 287.)

ἓν μέρος λόγου· ὀξεῖα γάρ· ὧδε ἐκ τοῦ τόνου ἐνοήσαμεν τὸν μερισμόν·

ὁ δὲ προσέειπεν ἄνακτα·

μέρη δύο λόγου ἐκ τοῦ τόνου· τὸ δὲ τῷ δὲ σὺν τῷ ἰῶτα ὂν, καὶ περισπᾶται καὶ ἑνικῆς ἐστὶ πτώσεως δοτικῆς· ὀξυνομένη δὲ καὶ γίνεται δυϊκὴ χωρὶς τοῦ ι·

τώ δε νῶϊν. (Il. Θ. 109.)

Τηλεδαπός: (Od. O. 224.) Ὄνομα ἐπιθετικόν· τινὲς δ' ᾠήθησαν τὸ ἔδαφος ἐγκεῖσθαι· ἀλόγως· παραγωγὴ γάρ ἐστι διὰ

[s] Cod. μέγ'.

τοῦ δαπὸς, καὶ ἐπὶ ἔθνους τίθεται· παρὰ γὰρ τὸ τῆλε τηλεδαπός· ζητοῦσι δὲ πῶς ἀπὸ τῆς Λέσβος Λέσβου γέγονε Λεσβόθεν ἀπὸ δὲ τοῦ ἐμοῦ ἐμέθεν, καὶ οὐκ ἐμέθεν· καὶ λέγομεν ὅτι ἀπὸ τοῦ Ἰωνικοῦ τοῦ ἐμεῦ γέγονεν οὐκ ἀπὸ τοῦ κοινοῦ· οὐ δὲ τοῦ τῆλε γέγονε τήλοθεν, ὡς ὑψοῦ ὑψόθεν· ἐποίησε καὶ τὴν εἰς τόπον τηλόσε, καὶ τὴν ἐν τόπῳ τηλόθι· συντίθεται δὲ ὡς τὸ τηλεκλυτός· Τήλεφος· Τηλέμαχος· Τήλεμος.

Τρόφι :

πολλὸν δὲ τρόφι κῦμα κυλίνδεται. (Il. Λ. 307.)

Ὄνομα ἐπιθετικόν· ζητεῖται εἰ ἐκ τοῦ τρόφις ἐστὶν, ἀλλ' οὐδὲν εἰς ις ἁπλοῦν ποιεῖ οὐδέτερον· τὸ δέ τις ἑτέρῳ λόγῳ· οἱ δὲ ἀπὸ τοῦ τρόφιμος εἶναι ἀποκοπήν· ἀλλὰ μᾶλλον ἀπὸ τοῦ εὔτροφις εὔτροφι οὐδέτερον κατὰ ἀφαίρεσιν.

Τρώων : (Il. Α. 160.) Τὰ εἰς ος ὀνόματα μονοσύλλαβα ἀρσενικὰ ὀξύνονται· χρώς· πλώς· θώς· φώς· δμώς· Τρώς· τὸ δὲ σῶς περισπασθὲν ἐκ τοῦ σόος συνήλειπται· καὶ γὰρ τὸ θηλυκὸν αὐτοῦ εὑρίσκεται σᾶ·

ἡ μάζα γὰρ σᾶ, καὶ τὰ κρέα, χὠ κάραβος.

τὸ δὲ ζὼς ἐκ τοῦ ζῶος κατὰ συναλιφὴν ἢ συγκοπὴν γέγονε, κλίσιν δὲ τοῦ ζὼς οὐχ εὑρίσκομεν· διατί δὲ τὸ Τρώων καὶ δμώων βαρύνεται ; ἢ ὅτι ἔχει θηλυκὸν Τρώων· δμώων· τὰ δὲ διαλλάξαντα γραφὴν θηλυκὰ, ὡς τὸ ἀρσενικὸν κατὰ γενικὴν, διαλλάσσει κατὰ τὸν τόνον· ταχέων ταχειῶν· μελάνων μελαινῶν· τοιοῦτο δὲ καὶ τὸ Τρῶες Τρῶαι Τρωῶν· δμῶες δμωαὶ δμωῶν· τὸ δὲ θώων συναπηνέχθη τοῖς προκειμένοις· τὸ δὲ πάντων διὰ τὴν συνέμπτωσιν τοῦ οὐδετέρου βαρύνεται· πάντα πάντων· καθόλου γὰρ τὰ ὁμοφωνοῦντα οὐδέτερα ἐν τοῖς παρασχηματισμοῖς, καὶ ὁμοτονεῖ ἀλλήλοις· τὸ δὲ λάων βαρύνεται, καὶ πρὸς ἀντιδιαστολὴν τοῦ λαῶν, καὶ ὅτι ἐκ συναλιφῆς τυγχάνει, τῆς λαάων· τοιοῦτο καὶ τὸ παίδων.

Τευ :

ὥστε τευ ἢ παρὰ πάμπαν ἀνείμονος ἠὲ πενιχροῦ. (Od. Γ. 348.)

τὸ τευ ὄνομα νῦν ἀόριστον· τὸ δὲ,

τεῦ δμὼς εἰς ἀνδρῶν; τεῦ δ' ὄρχατον. (Od. Ω. 257.)

πυσματικόν ἐστι· τὸ μὲν οὖν πρῶτον ἐστὶ τοῦ, ὅπερ σύνηθες Ἀττικῆς, ὃ κατὰ διάλυσιν τέο·

τέο μέχρις ὀδυρόμενος. (Il. Ω. 228.)

συναλιφόμενον δὲ γίνεται τεῦ· ὡς ἐμοῦ ἐμεῦ· σοῦ σεῦ· ἐκ τοῦ ἐμέο καὶ σέο· τὸ τέο τετόλμηκεν Ἀρχίλοχος,

τέ χολούμενος·

εἰπεῖν, ἀντὶ τίνος· ἡ δοτικὴ τέῳ καὶ τὸ ἀόριστον αὐτοῦ, ὃ τέῳ, καὶ ἐπὶ γενικῆς,

ὅττεό σε χρή. (Od. A. 124.)

τοῦτο τὸ ὄνομα αἰτιατικὴν ὀρθὴν[u] οὐκ ἔχει· ὡσαύτως καὶ ἐπὶ τῶν πληθυντικῶν,

ὁτεών τε πόλιν καὶ γαῖαν ἱκάνω. (Od. K. 39.)

καὶ

ὅ τέοισιν. (Il. O. 491.)

Τρώς: (Il. Υ. 231.) Διατί ὀξύνεται; τὰ εἰς ος λήγοντα μονοσύλλαβα ἀρσενικὰ ὀξύνεται εἰ μὴ ἐκ συναλιφῆς εἴη, ἢ ἐκ μεταθέσεως· ἐκ συναλιφῆς μὲν, ὡς τὸ σόος σῶς· ἐκ μεταθέσεως δὲ, ὅτι Δωριεῖς καὶ Ἴωνες τὸ οως[x] ως λέγουσι· Τρὼς Τρωὸς, ὁ κανών· τὰ εἰς ως ὀξύτονα μονοσύλλαβα, εἰ μὲν ἔχουσι σύμφωνον τῆς τρίτης συζυγίας τῶν βαρυτόνων, διὰ καθαροῦ τοῦ ος κλίνεται· οἷον, θὼς θωὸς, σημαίνει δὲ τὸ θηρίον· δμὼς δμωὸς ὁ δοῦλος· εἰ δὲ μὴ, διὰ τοῦ τος· φὼς φωτὸς ὁ ἀνήρ· πλὼς πλωτὸς ὁ ἰχθύς· χρὼς χρωτὸς τὸ σῶμα.

Τόσσα: (Il. A. 213.) Ὄνομα ἀναφορικόν· ποίου εἴδους τῶν ἀναφορικῶν; ἀνταποδοτικοῦ· διατί; ἐπειδὴ τὰ ὑπὲρ μίαν συλλαβὴν ἐρωτηματικὰ ἀποβάλλοντα τὸ κατ' ἀρχὴν σύμφωνον, ἀναφορικὰ γίνεται· οἷον, τοῖος οἷος· τόσος ὅσος· ἅτινα πάλιν ὀξυνόμενα ἀόριστα γίνεται· πόσος ποσός· τόσος τοσός.

Τροῖα: (Il. A. 129.) Τὸ τροι δίφθογγος· τὰ διὰ τοῦ οια θηλυκὰ δισύλλαβα μακροκατάληκτα, διὰ τῆς ει διφθόγγου γράφεται, καὶ ἐπὶ βαρυτόνων καὶ ὀξυτόνων· οἷον, ποία ἡ βοτάνη·

u MS. ὀρρθήν. x Cod. $\overset{\omega}{\text{οισ}}$. Etym. M. p. 770, 23. οἷς.

κοία, σημαίνει τὴν σφαῖραν· ἡ χρῆσις παρὰ Ἀντιμάχῳ,

κοίας ἐκ χειρῶν εἰς σκόπελον μεταριπτάζουσι.

Τροία ἡ πόλις· ἐπὶ ὀξυτόνων· ποιά· ῥοιά· χροιά· τὰ δὲ ὑπὲρ δύο συλλαβὰς ἅπαντα διὰ τοῦ υ ψιλοῦ γράφεται· σικύα· κωδύα· καὶ ἰξύη· ἀφύα· σιπύα· καρύα.

Τιμή: (Il. Α. 159.) Τὸ τι ἰῶτα ἐκ τοῦ τίω· κανὼν ἔστιν ὁ λέγων ὅτι τὰ διὰ τοῦ ιω ῥήματα δισύλλαβα μὴ παρ' ἐνεστώτων ἢ μέλλοντος γινόμενα, μὴ δὲ ἀπὸ πλεονασμοῦ ἔχοντα τὸ ι, μὴ δὲ ἔχοντα ἀντὶ παρακείμενον τὸ ο, διὰ τοῦ ι γράφεται· οἷον, δίω τὸ διώκω·

μέγα πινάοντα δίεσθαι. (Il. Σ. 162.)

λίω τὸ σημαῖνον τὸ προθυμοῦμαι· ἐξ οὗ λιαρόν· καὶ ἔστι περισπώμενον, λιῶ, λιήσω, λελίηκα, λελίημαι, λελιημένος· ἡ μετοχὴ τοῦ παρακειμένου· τὸ γὰρ λιαρὸν οὐχ ὡς λέγουσί τινες ἀπὸ τοῦ χλιαρὸν γίνεται κατὰ ἀφαίρεσιν· ψίω τὸ λεπτύνω, ἐξ οὗ καὶ ψιὰς, καὶ παράγωγον ψιάω, σημαίνει δὲ τὸ παράγωγον ἐλάττονά τινα οὐσίαν οὗτινος οὖν ὑποκειμένου· καὶ κατὰ τοῦτο[y] διαφέρουσι τὸ ψίω καὶ ψιάω· τοιοῦτον ἐστὶ καὶ τὸ ψῶ, καὶ ψαύω, καὶ ψάλλω· τότε γὰρ ψάλλειν τὸ ἧττονα τῷ πλήκτρῳ παίειν σημαίνει, καὶ τὸ ψαύειν ἧττον τοῦ καθάπτεσθαι· ὁμοίως καὶ τὸ ψίχειν· οὕτως οὖν καὶ τὸ ψίειν, οὗ προκατάρχει[z] τὸ ψῶ, ἀφ' οὗ ὁ ψωμὸς τὸ ἔλαττον παρὰ τὸν ἄρτον· παρὰ τῷ Ὁμήρῳ δῆλον ἐκ τοῦ ψίω ψιὰς,

ψιάδας κατέχευεν ἔραζε. (Il. Ψ. 459.)

κτίω ἐξ οὗ,

εὐκτιμένον πτολίεθρον. (Il. Β. 501.)

καὶ ἵνα πρὸς αὐτὸν ἑλκύσῃ πρωτόκτιτον πίω, ἐξ οὗ,

πιόμεν ἐκ βοτάνης. (Il. Ν. 493.)

ὁ μέλλων πίσω καὶ πίσος,

πίσεα ποιήεντα. (Il. Υ. 9.)

σημαίνει δὲ τὰ ὕδατα· ψιὰς δὲ λέγεται ἡ ἐκ τοῦ κατολίγον κατερχομένη δρόσος· ἴω, καὶ μετὰ τοῦ στερητικοῦ α, καὶ πάλιν τοῦ νυ ἀνίω·

[y] MS. τοῦτο τὸ δ. [z] MS. πρὸ καταρχήν.

ταύτην δ' οὔτ' ἔπεϊ προτιβάλλεαι οὔ τέ τι ἔργῳ,
ἀλλ' ἀνίεις. (Il. E. 879.)

σημαίνει δὲ τὸ ἀναπίθεις· τίω βαρυνόμενον σημαίνει δύο, τιμωρῶ καὶ τιμῶ· καὶ παρακείμενος τὸ λυπῶ, οὗ ὁ μέλλων τιήσω, τετίηκα, τετίημαι, τετιημένος, καὶ τετιημέναι,

φίλον τετιημέναι ἦτορ. (Il. Θ. 437.)

πρόσκειται δισύλλαβα διὰ τὸ ἀχρειῶ καὶ σημειῶ, κατὰ ἄλλον κανόνα διὰ τῆς ει διφθόγγου· πρόσκειται παρ' ἐνεστῶτος ἢ μέλλοντος, διὰ τοῦ θῶ θείω· καὶ βρώσω βρωσείω· καὶ ὄψω ὀψείω· βῶ βείω·

ὄφρ' ἂν ἐγὼ βείω προτὶ Ἴλιον. (Il. Z. 113.)

τὸ δὲ βιῶ εἰ μὲν δευτέρας συζυγίας τῶν περισπωμένων βιᾶς, γίνεται ἐκ τοῦ βία· καὶ Ὅμηρος·

ὡς εἴ ἑ βιῷατο μοῦνον ἐόντα. (Il. Λ. 467.)

καὶ

ὡς δ' ὅτ' ὄνος παρ' ἄρουραν ἰὼν ἐβιήσατο παῖδας
νωθής. (Il. Λ. 558.)

τὸ δὲ βιῶ βιοῖς ἔστιν συζυγίας τρίτης τῶν περισπωμένων, ἐξ οὗ καὶ ὁ μέλλων βιώσω· ἐκ τοῦ βίος γέγονεν· ἐξ οὗ καὶ εἰς μι ῥῆμα βιῶμι, καὶ ἡ μετοχὴ βιούς, καὶ τὸ ἀπαρέμφατον βιῶναι· πρόσκειται μὴ ἔχοντας ἀπὸ πλεονασμοῦ τοῦ ι, διὰ τὸ σείω· τοῦτο γὰρ ἀπὸ τοῦ πλεονασμοῦ ἔχει τὸ ι· ἔστιν γὰρ ῥῆμα σέω, τὸ σώζω, καὶ τροπῇ τοῦ ε τοῦ α[a] γίνεται σάω· τὸ παθητικὸν σάομαι, ὁ παρατατικὸς ἐσαόμην, τὸ δεύτερον ἐσάου, καὶ τροπῇ Δωρικῇ τῆς ου διφθόγγου εἰς ω, ὡς βοῦν βῶν, καὶ συναρχομένως γίνεται σάω· καὶ ἡ χρῆσις·

σάω δ' ἐρίηρας ἑταίρους. (Il. Π. 363.)

εἶπε μὴ ἔχοντα ἀντιπαρακείμενον τὸ ο, διὰ τὸ κλείω κλοιός.

Τηλόθι: (Il. A. 30.) Ἐπίρρημα τοπικὸν ἀπὸ τοῦ τῆλου· τοῦτο παρὰ τὸ τέλος· ὡς τὸ ὕψου ὑψόθι, καὶ τὸ ἀγχοῦ ἀγχόθι.

Τότ' ΑΤΤ'[b]: (Il. B. 221.) Τότε ἐπίρρημα χρόνου δηλωτικόν· σημαίνει τὸ μετὰ ταῦτα, οἷόν ἐστι καὶ τό,

τότε πορευθεὶς εἷς τῶν δώδεκα

[a] Leg. ἐς τὸ α. [b] Cod. τότ' αὖ.

ἀντὶ τοῦ ὅτε·

ἡ γυνὴ ἐλθοῦσα τὸ ἀλάβαστρον ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ἐξέχεε[d]·

[τότε πορευθεὶς εἷς τῶν δώδεκα] καὶ τὸ αὖτε, ἀντὶ τοῦ πάλιν.

Τέο: (Il. B. 225.) Ἔστι τίς τινός· καὶ οἱ Αἰολεῖς ἐκβάλλουσι τὸ νυ καὶ μετάγεται ἡ γενικὴ εἰς εὐθεῖαν, καὶ οἱ Αἰολεῖς βαρυντικοί εἰσι· ἀλλὰ καὶ κανὼν ἐστὶν ὁ λέγων· ὅτι αἱ γενικαὶ μεταγόμεναι εἰς εὐθεῖαν, πολλάκις ἀμείβουσι τοὺς τόνους, καὶ γίνεται τίος καὶ ἡ γενικὴ τίου, καὶ κράσει τοῦ, καὶ διαλύσει Ἰωνικῇ τέο, καὶ Δωρικῶς τεῦ· ἡ δοτικὴ τίῳ· καὶ κράσει τῷ, ἀντὶ τοῦ τίνι· καὶ παρ' Ὁμήρῳ,

οὔτε σοι, οὔτε τῷ ἄλλῳ. (Il. A. 299.)

λοιπόν ἐστι τῷ· καὶ ἐν τοῖς πύσμασιν τοῖς κατὰ ἀναφορὰν γινομένοις πέφυκε προσέρχεσθαι κατ' ἀρχὴν μόριον τὸ ο· ποῖος ὁποῖος· πόσος ὁπόσος, καὶ γίνεται ὅτῳ καὶ ἐφ' ὅτῳ.

Τινάσσω: (Il. M. 298.) Ἐκ τοῦ τιταίνω, τὸ ἕλκω, τιτανῶ, Αἰολικῶς τιτάνσω, καὶ ἐν ὑπερβιβασμῷ τινάσσω.

Τοσαῦτα: (Il. B. 328.) Ἡ εὐθεῖα οὐκ ἔστι· καὶ πόθεν γίνεται; ἐκ τοῦ τόσος κατὰ παραγωγὴν τοσαῦτα· παραλήγουσαν ἔχει τὴν αὐτήν· κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι ἡ πρὸ τέλους συλλαβὴ, ἐπὶ ταύτης τῆς παραγωγῆς τῆς κατὰ γένη καὶ ἀριθμοὺς προιούσης, βούλεται τὸ υ ἔχειν προκείμενον φωνήεντος, ὁποῖον ὁρᾶται ἐν τῇ ληγούσῃ συλλαβῇ· ἔστιν οὖν τῆμος, τοῦτο τὸ ο ἔχει ἐν τῇ ληγούσῃ συλλαβῇ· τὸ τημοῦτος παράγωγον ἕξει πρὸ τοῦ υ[e] τὸ ο προκείμενον· ὁμοίως τῷ τηνίκα, εἰς α λῆγον, τὸ τηνικαῦτα ἕξει τὸ α προηγούμενον τοῦ υ· οὕτως καὶ τὸ ἔνθα ἔνθεν καὶ ἐντεῦθεν· τὸ αὐτὸ καὶ ἐπὶ ὀνομάτων· οἷον, τόσος τοσοῦτος· τόσον τοσοῦτον· τόσαι τοσαῦται· τόσα τοσαῦτα· κατὰ γένη γὰρ καὶ ἀριθμοὺς αἱ παραγωγαὶ γίνονται· οἷον, τηλίκος τηλικοῦτος· τηλίκα τηλικαῦτα· τὸ τοίη τοιαύτη[f] ὤφειλεν εἶναι· ἀλλ' ἐπειδὴ κανὼν ἐστὶν ὁ λέγων, οὐκ ἔστιν ἐπινοῆσαι τὸ η καὶ τὸ υ ἐν μιᾷ συλλαβῇ, τούτου χάριν τρέπεται τὸ η εἰς α.

[e] Cod. α (υ superscr.). [f] Leg. τοιηύτη cum Etym. M. p. 763, 2.

Τέρας: (Il. Δ. 76.) Σημαίνει τὸ σημεῖον· καὶ διαφέρει σημεῖον τέρατος· τέρας λέγεται παρὰ φύσιν γενόμενον πρᾶγμα· σημεῖον δὲ παρὰ τὴν κοινὴν συνήθειαν γενόμενον.

Ταῦρος: (Il. Β. 481.) Γαίω γαῦρος, καὶ τροπῇ τοῦ γ εἰς τ.

Τοίκεν: Ἄρθρον προτακτικὸν ἀντὶ ὑποτακτικοῦ· καὶ λέγομεν ὅτι πῶς ἐστι ἡ εὐθεῖα ο, καὶ τὸ πληθυντικὸν ὤφειλεν οι, ἀλλ' ἐπειδὴ οἱ Δωριεῖς τὴν ἀναλογίαν φυλάττοντες τῆς εὐθείας τῶν δυϊκῶν πλεονάζουσι τὸ τ, καὶ ποιοῦσιν αὐτὸ τοί.

Τόσσος: (Il. Α. 64.) Κανὼν ἐστὶν ὁ λέγων· τὰ ὑπὲρ μίαν συλλαβὴν ἐρωτηματικὰ, ἀποβάλλοντα τὸ κατ' ἀρχὴν σύμφωνον, ἀναφορικὰ γίνονται· οἷον, ποῖος· οἷος· τοῖος· οἷος· ἅτινα προλαμβάνοντα τὸ τ κατ' ἀρχὴν ἀνταποδοτικὰ γίνονται· οἷον, τοῖος· ὅσος· τόσος· ἅτινα πάλιν ὀξυνόμενα ἀόριστα γίνονται· οἷον, πόσος ποσός· τόσος τοσός·

τοσόν δέ τε. (Il. Β. 120.)

τόσσος ὄνομα· ἔστι δὲ ἀνταποδοτικόν.

Τερπικέραυνος: (Il. Α. 419.) Ἐκ τοῦ τέρπω, καὶ τὸ κεραυνός· γίνεται δὲ τερπικέραυνος· τὸ πι ἰῶτα· τὰ ἀπὸ βαρυτόνων, ἢ μελλόντων ἢ ἐνεστώτων συντιθέμενα, συμφώνου ἐπιφερομένου, ἢ τὸ ι ἔχουσιν ἐν τῇ θέσει, ἢ τὸ ε, ἢ τὸ ο· οἷον, τρεπικέραυνος, καὶ ἐν ὑπερβιβασμῷ τερπικέραυνος· φέρω φερέοικος· μένω Μενέλαος· ἄρχω Ἀρχέλαος· καὶ ἀρχέκακος· κτήσω Κτήσιππος· στήσω Στησίχορος· τέρψω τερψίμβροτος· δείσω δεισιδαίμων· κέρσω κερσεκόμης καὶ ἀκερσεκόμης· μίξω μιξοβάρβαρος· φύσω φυσίζωος· ὄρσω ὀρσοθώραξ καὶ ὀρσοθύρη.

Τρώς: Ὄνομα· σημαίνει β'· ὄνομα κύριον καὶ τὸ ἐθνικὸν, καὶ τὸ μὲν κύριον,

Τρωῒ δ' αὖ τρεῖς παῖδες ἀμύμονες ἐξεγένοντο. (Il. Ε. 265.)

τό δ' ἐθνικὸν,

Τρῶες καὶ Λύκιοι. (Il. Λ. 286.)

καὶ τί διαφέρει τὸ κύριον ὄνομα τοῦ προσηγορικοῦ; ὅτι τὸ μὲν κύριον ὄνομα οὐδέποτε παρὰ τῷ ποιητῇ ἐν πληθυντικῇ φωνῇ

παραλαμβάνεται, τὸ δὲ ἐθνικὸν ἐκ τοῦ ἐναντίου, πάντοτε ἐν πληθυντικῷ φωνῆεν παραλαμβάνεται.

Τρωσί: (Il. B. 40.) Διατί ὀξύνεται; πᾶσα δοτικὴ πληθυντικὴ εἰς ι λήγουσα δισύλλαβα, ἐπὶ ὀνομάτων ὀξύνεσθαι θέλει· βουσί· μησί· Τρωσί· πλὴν τοῦ πᾶσι, καὶ τοῦ,

ἐν σπέσσι γλαφυροῖσιν. (Od. Δ. 403.)

ὅπερ ἀπὸ τοῦ σπέεσι γέγονε κατὰ συγκοπὴν, τὸ γὰρ τισὶ καὶ τίσι, πρὸς διάφορον σημασίαν ἔχει καὶ τὸν τόνον· πευστικὸν γὰρ ὂν βαρύνεται· ἐπὶ δὲ μετοχῶν ὀξύνεσθαι θέλει.

Τηλΰγετος: (Il. Γ. 175.) Ἐκ τοῦ τηλοῦ, ὃ σημαίνει τὸ πόῤῥω, καὶ τὸ γεννῶ γεννήσω γεννητός· τηλυγέννητος· καὶ ἐν συγκοπῇ τηλύγετος.

Τέτηκα: (Il. Γ. 176.) Μέσος παρακείμενος, καὶ διαθέσεως μέσσης· καὶ τί ἐστι μέση διάθεσις; ἡ ποτὲ μὲν ἐνέργειαν, ποτὲ δὲ πάθος παριστῶσα· καὶ τί παριστᾶ; ἐπειδὴ τῶν μέσων τύπος ἐπ' ἀμφοτέρας φθάνει τὰς διαθέσεις, καὶ ἐπὶ τῶν ἐνεργητικῶν χαρακτήρων, καὶ ἐπὶ τῶν παθητικῶν· καὶ ἐπὶ τῶν παθητικῶν μὲν, διὰ τὸ ἠκροασάμην καὶ κατηρξάμην· παθητικοῦ γὰρ τύπου ταῦτα· ὅτι δὲ ἐπὶ τῶν ἐνεργητικῶν, ὡς τὸ πέπνιγα καὶ κέκοπα· ἀλλὰ τὸ λέλογα καὶ πέφραδα ἐνεργητικὴν ἔχει σημασίαν· τὸ δὲ τέθεικα καὶ διέφθορα παθητικά· οἱ αὐτοὶ γὰρ σχηματισμοὶ καὶ ἐπὶ ἐνέργειαν λαμβάνονται, καὶ ἐπὶ πάθους.

Τέτυκται: (Il. Γ. 101.) Ἐκ τοῦ τεύχω, τὸ κατασκευάζω· ὁ μέλλων τεύξω, τέτευχα τέτευγμαι, τέτευξαι, τέτευκται, καὶ ἀποβολῇ τοῦ ε τέτυκται· σημαίνει δύο, τὸ κατασκευάζω, καὶ τὸ ἐπιτυγχάνω.

Τῶς: Ἐπίῤῥημα μεσότητος, γίνεται δὲ ἀφαιρέσει ἐκ τοῦ οὕτως,

τώς δέ σ'[g] ἀπεχθήρω. (Il. Γ. 415.)

Τεθναίη: (Il. Γ. 102.) Ἀντὶ τοῦ ἀπόθανε· τὸ ῥῆμα τέθνημι δευτέρας συζυγίας τῶν εἰς μι· ἐξ οὗ καὶ τὸ προστακτικὸν τοῦ ἐνεστῶτος τέθναθι· ὅτι δέ ἐστι ἐνεστῶτος τὸ τέθναθι

[g] Cod. τώς δ' ἀπεχθ.

δείκνυται ἐκ τοῦ βραχὺ εἶναι τὸ α· εἰ γὰρ ἦν δευτέρου ἀορίστου, ὤφειλεν εἶναι μακρόν· ἀεὶ γὰρ ὁ εἰς θι προστακτικὸς ἀόριστος μακρᾷ παραλήγεται· λοιπὸν τέθνημι ἡ μετοχὴ τεθνὰς, τεθνάντος, καὶ τὸ εὐκτικὸν τεθναίην· ὁ κανών· πᾶσα μετοχή· τὸ δεύτερον,

τεθναίης ὦ Προῖτε. (Il. Z. 164.)

ἐκ τοῦ τεθνῶ, τοῦτο ἐκ τοῦ θνῶ, κατὰ ἀναδιπλασιασμὸν τεθνῶ.

Ταλθύβιος: (Il. A. 320.) Τὸ βι ἰῶτα· τὰ διὰ τοῦ ιος κύρια διὰ τοῦ ι γράφεται· χωρὶς τῶν παρὰ τὸ κλέος· οἷον, Ἡράκλειος· καὶ τῶν παρὰ τὸ σεύς· διὰ τὸ βασίλειος.

Τώ μοι: Ἄρθρον ὑποτακτικὸν, ἀντὶ τοῦ προστακτικοῦ· οἱ γὰρ Αἰολεῖς τοῖς προτακτικοῖς ἀντὶ ὑποτακτικῶν χρῶνται· τὸ γὰρ οἵμοι λέγουσιν οὕτως καὶ ὤμοι τώμοι, ἀντὶ τοῦ οὕς τινας[h].

τώ μοι γὰρ μία ἐγείνατο μήτηρ. (Il. Γ. 238.)

Τίνυσθον: (Il. Γ. 279.) Ῥῆμα διαθέσεως· χρόνου ἐνεστῶτος, β′ προσώπου τῶν δυϊκῶν, σημαίνει δὲ τὸ τιμωρεῖσθε· τὸ ῥῆμα τίνυμι· τὸ παθητικὸν τίνυμαι· τὸ δυϊκὸν τινύμεθα, τίνυσθον· τὸ τι καὶ μακρὸν καὶ βραχὺ παρὰ τῷ ποιητῇ· τὸ τι ἰῶτα πρὸς ἀντιδιαστολὴν τοῦ τείνω τὸ τανύω.

Τάμε: (Il. Γ. 292.) Ἀόριστος β′· τὸ ῥῆμα τέμνω· τὸ δὲ τάμνω Δωρικὸν,

ὄφρ' ὁ γέρων ἵπποιο παρηορίας ἀπέταμνεν. (Il. Θ. 87.)

ὁ μέσος παρακείμενος τέτομα διὰ τοῦ μν· εἰ δὲ δύο ἀμεταβόλων εἴη ὁ ἐνεστὼς, διὰ τοῦ προτέρου ὁ μέσος παρακείμενος.

Τλήσομαι: (Il. Γ. 306.) Τὸ ῥῆμα τλῶ, τλᾶς· ὁ μέλλων τλήσω, ἐκ δὲ τοῦ τλῶ, τὸ καρτερῶ, γίνεται τλὰς, καὶ μετὰ τοῦ στερητικοῦ α ἄτλας, ὁ ἀκαρτέρητος, καὶ ἐν ὑπερβιβασμῷ τάλας, οἱονεὶ ὁ ἀκαρτέρητος.

Τριχθά: (Il. B. 668.) Ἐπίῤῥημα μεσότητος παρήχθη[i] ἐκ τοῦ τρίχα, ὃ σημαίνει τὸ τριχῶς· βαρύνεται· τὰ εἰς χα λήγοντα ἐπιῤῥήματα ἐπὶ μεσότητος λαμβανόμενα, βαρύνεσθαι θέλουσιν· εἰ δὲ εἴη ὑπὲρ δύο συλλαβὰς προπαροξύνεται· οἷον,

[h] Cod. οὗς τινός. [i] Cod. παράχθη.

δίχα διάνδιχα· τρίχα καὶ τέτραχα, καὶ πλεονασμῷ τοῦ θ τριχθὰ καὶ τετραχθά· καὶ ὀξύνεται· τὰ εἰς χα λήγοντα ἐπιῤῥήματα ἔχοντα τὸ θ πρὸ τοῦ χ ὀξύνεσθαι θέλουσιν.

Τρυφέν· Διατρυφέν: (Il. Γ. 363.) Τὸ ῥῆμα θρύπτω, τὸ εἰς μικρὰ διακόπτω· ὁ μέλλων θρύψω, ὁ β′ ἀόριστος ἔτρυφον, ἐτρύφην, τρυφεὶς καὶ τρυφὲν καὶ διατρυφέν.

Τρυφάλεια: (Il. Γ. 376.) Κανὼν ἐστὶν ὁ λέγων, ὅτι ὁ δύο καὶ τρεῖς μὴ μετὰ δέκα ἀριθμοῦ συντιθέμενοι εἰς τὸ ἐπίῤῥημα τοῦ δὶς καὶ τρὶς μεταλαμβάνονται· οἷον, διπρόσωπος, ὁ δύο πρόσωπα ἔχων· καὶ τρίπους ὁ ἔχων τρεὶς πόδας, οὕτως καὶ τρυφάλεια, ἡ τρεῖς φαλοὺς ἔχουσα· τριφάλεια καὶ κατὰ τροπήν.

Τρωαί: Ἡ εὐθεῖα Τρωή· Ἰωνικῶς ἐκ τοῦ Τρωὸς γὰρ γίνεται Τρωά· τὸ δὲ Τρωὸς παραλόγως ὠξύνθη· γίνεται οὖν ἐκ τοῦ Τρὼς Τρωὸς Τρώϊος καὶ Τρωός·

ἵππους δὲ Τρωούς. (Il. Ψ. 291.)

Τελείω: (Il. Β. 330.) Βαρύτονον ἐξ οὗ τὸ ἐτελείετο· τὰ γὰρ τοιαῦτα παράγωγα ἄχρι τοῦ παρατατικοῦ κλίνεται κατὰ πᾶσαν ἔγκλισιν, καὶ διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, κιχῶ κιχείω· θῶ θείω· σῶ σείω· τελῶ τελείω· ἰστέον δὲ ὅτι ἀπὸ τῶν ἐνεστώτων γίνεται, καὶ ἀπὸ τῶν μελλόντων· καὶ τὰ μὲν ἀπὸ ἐνεστώτων ἔχουσι καὶ παρατατικόν· τὰ δὲ ἀπὸ μελλόντων ἐνεστῶτας μόνους· ὅθεν σεσημείωται τὸ ὤψεον, ἀπὸ τοῦ ὀψείω· τελῶ τελείω· τὰ εἰς ω λήγοντα καθαρὰ παραληγόμενα τῇ ει διφθόγγῳ βαρύνονται· εἰ δὲ περιεσπάσθη τοῦτο παρ᾽ ὄνομα ἐγένετο· σείω· βρωσείω· τελείω ἐτέλειον,

Διός δ᾽ ἐτελείετο βουλή. (Il. Α. 5.)

τὸ μέντοι μειῶ παρὰ τὸ μεῖον, καὶ τὸ τελειῶ παρὰ τὸ τέλειος, καὶ τὸ ἀρειῶ παρὰ τὸ Ἄρης· σημαίνει δύο· τὸ ἀχρειῶ, παρὰ τὸ ἀχρεῖος.

Τροΐην: (Il. Α. 129.) Κτητικόν ἐστι· Τρὼς Τρωὸς Τρωϊκὸς, ἀποβολῇ τοῦ κ Τρώϊος· τοῦ τόνου ἀναδιδομένου, ὡς Ὀλυμπικὸς Ὀλύμπιος· Τρώϊος Τρωΐα· Ἰωνικῶς Τρωΐη· καὶ συστολῇ ποιητικῇ τοῦ ω εἰς ο διὰ τὸ μέτρον, καὶ συναιρέσει Τροΐη, καὶ Τροΐα· καὶ ἄλλως κτητικόν· ἔστι γὰρ Τροῖα καὶ κατὰ διά-

λυσιν Τροΐα, καὶ ἐκεῖθεν Τροΐην, καὶ κατ' ἐπέκτασιν τοῦ ο εἰς ω Τρωΐην· ἢ Τροίαν, καὶ κατὰ διάλυσιν Τροΐαν, καὶ Ἰωνικῶς Τροΐην.

Τό δέ μοι: Ἀρίσταρχος δύο μέρη λόγου· ὁ δὲ Ἡρωδιανὸς ἕν· Ἀρίσταρχος ὀξυτονεῖ τὸ δὲ ὅμοιον, ἵνα ᾖ δύο μέρη λόγου· ἐπείσθη δὲ ἡ παράλογος Ἀριστάρχου.

Τίσειαν: (Il. A. 42.) Ἀόριστος α' εὐκτικοῦ Αἰολικοῦ τρίτου προσώπου· ἐκεῖνοι γὰρ τύψαιμι τύψεια λέγουσιν· τὸ β' τύψειας, τὸ τρίτον τύψειε· καὶ τῷ μὲν πρώτῳ χρῶνται οἱ Αἰολεῖς, τοῖς δὲ λοιποῖς προσώποις ἡ κοινὴ διάλεκτος· ἔστι τὸ θέμα τίω.

Τελήεις: (Il. A. 315.) Τὰ εἰς εις πόσας παραλήξεις ἐπιδέχεται; τρεῖς· ἐπειδὴ κανών ἐστιν ὁ λέγων· τὰ εἰς εις ὀνόματα ἃ πλεονάζει τῆς τοῦ πρωτοτύπου γενικῆς συλλαβῆς βαρύνεται, καὶ ἢ τῷ η παραλήγεται, ἢ τῷ ο· σπανίως δὲ τῷ ω ὅτε ἐν ἐκτάσει· οἷον, κητώεις· εὐρώεις, καὶ κηώεις· τῷ δὲ ο· οἷον, αἱματόεις· τερμιόεις· σκιόεις· τῷ η· οἷον, φθογγήεις· τελήεις· τιμήεις· ὅθεν τὸ χαρίεις ἀπὸ τοῦ χάρις χάριτος· τὸ δὲ ἀμφιγύεις[k] καὶ θυήεις καὶ τὰ ὅμοια, κατὰ τροπὴν ἐγένοντο τοῦ ο εἰς η· ἔστι γὰρ γῦον καὶ σημαίνει τὸ μέλος· καὶ ἐξ αὐτοῦ γυόεις, καὶ τροπῇ τοῦ ο εἰς η, γυήεις, καὶ ἀμφιγυήεις, καὶ θύον λέγεται τὸ μυρεψικὸν ἄνθος· θυόεις, καὶ τροπῇ τοῦ ο εἰς η,

βωμός τε θυήεις. (Il. Θ. 48.)

Τις:

πωλεῖταί τις δεῦρο. (Od. Δ. 384.)

ἀόριστος νῦν τὸ τις· ὅπερ ἡγήσαντό τινες ἀντωνυμίαν εἶναι, διὰ τὸ εἶναι πτωτικὸν καὶ ἐγκλιτικόν· ὅπερ οὐκ ἔστιν· ἡ γὰρ ἀντωνυμία πρόσωπον ὁρίζει, καὶ τοῦτο δείκνυσιν ἡ ἀναφορά· τὸ δὲ τὶς εἰ μὲν πύσμα σημαίνει, ἐν ἀγνοίᾳ ἐστίν· εἰ δὲ οὐκ ἔστι πύσμα ἀόριστόν ἐστιν· αἱ δὲ ἀντωνύμιαι, ἢ ἀναφορικαί, ἢ δεικτικαί· μάχεται γὰρ τὸ ἀγνοούμενον τῷ ὁρίζοντι· ἀλλὰ καὶ ἡ ἀντωνυμία ἀπέστραπται τὴν ἐγκλιτικὴν σύνταξιν ἐν εὐθείᾳ· τὸ δὲ προκείμενον ἐν εὐθείᾳ ἐγκλιτικόν.

[k] Sic Cod.

[Τόνος: Τόνος ἔστιν ἀπήχησις φωνῆς ἐναρμονίου ἀντὶ τοῦ ἐνσήμου καὶ εὐσυντάκτου, ἐν φωνῇ, ἐν συλλαβαῖς, συμφώνων καὶ φωνηέντων· πάντα γὰρ ταῦτα σημαίνει τὸ ἐναρμόνιον.]

Τοί:

ὅττι τοι ἐν μεγάροισιν. (Od. Δ. 392.)

ἀντωνυμία πρωτότυπος τῷ σημαινομένῳ, νῦν ἀρσενικὴ, πτώσεως δοτικῆς, προσώπου δευτέρου· ἔστι τὸ τοι σύνδεσμος παραπληρωματικός· ἰστέον δὲ ὅτι ἡ σοὶ καὶ ὀρθοτονουμένη ἐστὶ, καὶ ἐγκλιτική· ἐὰν δὲ φθάσῃ γενέσθαι διὰ τοῦ τ, μόνως ἐγκλιτική· ὥστε ἡ φωνὴ ποιεῖ τὸ ἐγκλιτικόν· καὶ τοῦτο ἐπὶ δευτέρου προσώπου ἐξαίρετον· ἐπὶ γὰρ πρώτων ἐγίνετο διὰ τῆς γραφῆς τὸ ὀρθοτονούμενον καὶ ἐγκλιτικὸν διαστέλλεσθαι· οἷον, ἐμὲ τὸ ὀρθοτονούμενον· τὸ ἐγκλινόμενον με· ἐμοὶ[1] καὶ μοι· ἀξιοῖ οὖν ἀναγινώσκειν Ζηνόδοτος,

οὐ τοὶ τέκνον ἐμὸν δέδοται πολεμήϊα ἔργα. (Il. Ε. 428.)

ἔστι γάρ φησι διαστολή· εἰ δὲ διαστολὴ, ὀρθοτονητέον· ὅτι δὲ διαστολὴ, δῆλον ἐκ τοῦ ἐπιφερομένου· ἀλλὰ πρῶτον μὲν, οὐ δίδωσιν ἐγκλιτικὸν μόριον ἐνθάδε· ἡ οὖν γραφὴ εἰ καὶ διαστολή ἐστι, κωλύει ὀρθοτονεῖν τὴν ἀντωνυμίαν· εἰ δὲ σοὶ ἦν ὀρθοτονεῖσθαι ἠδύνατο δευτέρου οὖσα προσώπου· ἡ δὲ τοὶ μόνως ἐγκλιτική· δεύτερον δὲ οὐδὲ ἔστιν ἐκ τῆς ἀντωνυμίας ταύτης διαστολή· τὸ γὰρ,

ταῦτα δ' Ἄρηϊ θοῷ. (Il. Ε. 430.)

πρὸς τὸ,

ἀλλὰ σύ γ' ἱμερόεντα μετέρχεο ἔργα γάμοιο. (Il. Ε. 429.)

ἀλλὰ καὶ ἀλλαχοῦ δὲ ἐμφάσεως οὔσης καὶ διαστολῆς, ἄντικρυς ἐγκλιτικῶς ἀνέγνωμεν,

νῦν δέ τοι οἴῳ πάμπαν ἀπώλετο νόστιμον ἦμαρ. (Od. Ρ. 253.)

ἀντιδιαστέλλει γὰρ πρὸς τοὺς ἄλλους· καὶ ἔστιν ἐπίτασις ἐκ τοῦ λέγειν "τοι οἴῳ·" ἀλλὰ πάλιν διὰ τὴν γραφὴν τῆς ἀντωνυμίας τὸ ἐγκλιτικὸν ἐπεκράτησε· καὶ ὁ σύνδεσμος δὲ ὁ τοι ἐγκλιτικός· ἡ δὲ τοὶ ἀντωνυμία γίνεται παρὰ Δωριεῦσι τὶν, καὶ παρὰ τῷ ποιητῇ πλεονασμῷ τοῦ ε τεὶν, καὶ διαλύσει τεΐν·

[1] Cod. ἐμέ.

τεῒν δ' ἐθέλω τόδ' ὀπάσσαι [m]. (Od. Δ. 619.)

κατὰ τροπὴν οὖν ἡ τοι Δωρική· κατὰ δὲ χρῆσιν κοινή.

Τέτυκται: (Il. Γ. 101.) Ῥῆμα ὁριστικὸν παθητικὸν ἑνικὸν ἁπλοῦν· προσώπου τρίτου χρόνου παρακειμένου, συζυγίας β' τῶν βαρυτόνων, τὸ θέμα τεύχω, ἀφ' οὗ τὸ τρίτον πρόσωπον τεύχει,

Ἑκηβόλος ἄλγεα τεύχει. (Il. Α. 110.)

καὶ ἐπὶ μέλλοντος,

τεύξει [n] ἀσκήσας. (Il. Ξ. 240.)

καὶ ἡ μετοχὴ τεύχων,

τεύχων ἢ πολὺν ὄμβρον ἀθέσφατον. (Il. Κ. 6.)

καὶ εὐκτικὸν τεύχοιμι, ὁ ἐνεργητικὸς, καὶ μέσος παρακείμενος τέτευχα, ἡ μετοχὴ τετευχώς· ἥτις ἀπὸ τοῦ σημαινομένου δείκνυται μέσης οὖσα διαθέσεως· καὶ γὰρ παθητικὸν σημαίνει,

βοὸς ῥινοῖο τετευχώς. (Od. Μ. 423.)

ἀντὶ τοῦ τετυγμένος· ὁ β' ἀόριστος ἔτυχον· ὁ μέσος ἐτυχόμην, καὶ πληθυντικὸν ἐτυχόμεθα· τὸ τρίτον ἐτύχοντο, καὶ κατὰ ἀναδιπλασιασμὸν τετύχοντο· καὶ κατὰ τροπὴν τετύκοντο· ἔστι δ' ὅτε καὶ ἐπὶ τῶν ῥημάτων καὶ ἐπὶ τῶν ῥηματικῶν ὀνομάτων πάθος ἐπακολουθεῖ· ὡς τὸ τέτευγμαι, κατ' ἐκβολὴν τοῦ ε τέτυγμαι, καὶ τετυγμένος· καὶ

τετύγμενα δώματα. (Od Κ. 210.)

ὥσπερ καὶ τὸ,

πεφευγμένος ἦεν ἀέθλων, (Od. Α. 18.)

καὶ τὸ τέτευκται κατ' ἐκβολὴν τέτυκται· καὶ ὥσπερ παρὰ τὸ πλέκω πλεκτὸς, οὕτως παρὰ τὸ τεύχω τευκτὸς, καὶ ἐκβολῇ τοῦ ε τυκτός·

τυκτὸν κακόν. (Il. Ε. 831.)

καὶ

κυνέην εὔτυκτον. (Il. Γ. 336.)

ὥσπερ δὲ ἀπὸ τοῦ μάργος μαργαίνω· σημὸς σημαίνω· οὕτως τευκτὸς τευκταίνω, καὶ ἐκβολῇ τοῦ υ τεκταίνω· καὶ ὡς ἀπὸ τοῦ φαίνω, ὁ ἀόριστος ἔφανα, καὶ Ἰωνικῶς ἔφηνα, οὕτως τεκταίνω

[m] Cod. ὀπασαι. [n] Cod. ταξει (with ευ written above).

ἐτέκτανα[o], καὶ ⊣Ἰωνικῶς ἐτέκτηνα· ὁ μέσος ἐτεκτηνάμην, τὸ τρίτον ἐτεκτήνατο,

ὃς καὶ Ἀλεξάνδρῳ τεκτήνατο. (Il. E. 62.)

παρὰ τὸ τευκτὸς καὶ αὐτὸς ὁ τέκτων ἐκβολῇ τοῦ ε, ὅπερ οἶδε καὶ κύριον ὁ ποιητὴς, καὶ πεποίηκε πατρωνυμικὸν,

υἱὸς Πολυμήλου Τεκτονίδαο. (Od. Θ. 114.)

καὶ ὥσπερ ἀπὸ τοῦ σώφρων σώφρονος, σωφροσύνη· μνήμων μνήμονος, μνημοσύνη· οὕτως τέκτων τέκτονος, τεκτοσύνη· ἀφ' οὗ τὸ,

εὖ εἰδὼς τεκτοσυνάων. (Od. E. 250.)

ἀπὸ τοῦ τεύχω τέχνη, καὶ παράγωγον τεχνήεις, καὶ ἐπίῤῥημα τεχνηέντως,

ἰθύνετο τεχνηέντως. (Od. E. 270.)

ἀπὸ τοῦ τεύχω καὶ ἡ τύχη, ἡ πάντα τεύχουσα· τοῦ τεύχω ὁ παθητικὸς παρακείμενος τέτευγμαι, τὸ τρίτον ⊣Ἰωνικῶς τετεύχαται, καὶ ὑπερσυντελικὸς,

αἱ δὲ βόες χρυσοῖο τετεύχατο. (Il. Σ. 574.)

ἀπὸ τοῦ τεύχω καὶ τεῦχος, καὶ τροπῇ τοῦ υ εἰς ι τεῖχος· παρὰ τὸ χεύω χεῦμα χεῖμα· παρὰ τὸ τεύχω γίνεται περισπώμενον τευχῶ, ὅπερ κέκλικεν ὁ ποιητὴς,

ἀλλὰ τετευχῆσθαι γὰρ ἄμεινον. (Od. X. 104.)

βαρύνεται τὸ τεύχω· τὰ γὰρ εἰς ω μετὰ συμφώνου τῇ εὐθείᾳ παραληγόμενα, βαρύνεται, ὅποτε μὴ ἀπὸ ὀνόματος εἰσὶ κατὰ τροπὴν τοῦ τέλους εἰς ω· οἷον, φεύγω· σπεύδω· ἐρεύθω· κεύθω· εὕδω· οὕτως οὖν καὶ τεύχω· σεσημείωται τὸ εὕρω, ὅπερ οὐχ εὕρηται, ἀλλ' ἐκ τῆς κλίσεως τοῦ μέλλοντος δείκνυται· εὑρήσω γάρ· πρόσκειται ὁπότε μὴ παρ' ὄνομα, διὰ τὸ τεύχω, παρὰ τὸ τεῦχος· καὶ τὸ ψευστῶ παρὰ ψεύστης· καὶ ἐρευνῶ παρὰ τὸ ἔρευνος.

Τεῖχος: (Il. B. 691.) Παρὰ τεύχω, ὡς παρὰ τὸ χεύω χεῦμα· ἔχει δὲ ἐν ἄλλῳ ὀνόματι τὴν ευ[p] δίφθογγον τεῦχος, σημαίνει δὲ ἀγγεῖον· καὶ γὰρ εἴωθεν ἀπὸ τοῦ ἑνὸς ῥήματος γένεσθαι διάφορα ὀνόματα ὡς παρὰ τὸ νέω, τὸ πορεύομαι, νόος καὶ νέος· βαρύνεται· τὰ εἰς ος λήγοντα οὐδέτερα, ὀνόματα μὲν

[o] Cod. ἐτάκτανα. [p] MS. τοῦ ου.

ὄντα, ἀεὶ βαρύνεται· ὄρος· βέλος· ξῖφος· τεῖχος· ταύτῃ κἂν ἀπὸ ἀρσενικοῦ ὀξυτόνου μετάβασις γένηται εἰς οὐδέτερον γένος, συμμεταβάλλει καὶ ὁ τόνος· ὁ μακρὸς τὸ μάκρος·

μάκαρ Πόσειδον τοῦ μάκρους.

Ἀριστοφάνης[q]· ὁ στενὸς,

στεῖνος ὁδοῦ κοίλης. (Il. Ψ. 419.)

εἰ δὲ μετοχικὰ, πάντα ὀξύνονται· δεδορκός· νενοηκός· πεποιηκός.

Τεόν: (Il. A. 138.) Ἀντωνυμία κτητικὴ κατὰ τὸ κτῆμα καὶ τὸν κτήτορα ἑνική· τὸ κοινὸν σόν· Δωρικὸν τεόν· πέπονθε γὰρ πλεονασμὸν τοῦ ε, καὶ τροπὴν τοῦ σ εἰς τ· ἀλλ' ἐπὶ μὲν τῶν πρωτοτύπων τροπὴ μόνη γίνεται· σύ· τύ· ἐπὶ δὲ τῶν κτητικῶν οὔτε ἡ τροπὴ χωρὶς πλεονασμοῦ, οὔτε ὁ πλεονασμὸς ἄνευ τῆς τροπῆς παρὰ Δωριεῦσι· σὸν τεόν· σῷ τεῷ· σῇ τεῇ.

τῇ ἴκελος Πάτροκλε τέρενα κατὰ δάκρυον εἴβεις. (Il. Π. 11.)

ἔστι καὶ προτακτικὸν καὶ ὑποτακτικόν· ἔστι δὲ προτακτικοῦ μὲν ἴδιον τὸ τ· προηγεῖσθαι δὲ θέλει καὶ δοτικῇ,

ἀμφὶ δέ τοι τῇ μῇ κλισίῃ. (Il. I. 650.)

ἔστι οὖν ἐν τῷ,

τῇ ἴκελος Πάτροκλε

προτακτικὸν ἀντὶ ὑποτακτικοῦ· ἀντὶ τοῦ ᾗ ἴκελος· ὥστε ἡ μὲν φωνὴ προτακτικὴ, ἡ δὲ σύνταξις ὑποτακτική· τὸ δὲ τῇ σημαίνει καὶ ἀντωνυμίαν μεταλαμβανομένην εἰς τὸ ταυτήν· ἡ γὰρ κτητικὴ ἐκ τοῦ σῇ γίνεται τροπῇ καὶ πλεονασμῷ τοῦ ε τεή·

ἤδη γάρ με καὶ ἄλλο τεὴ ἐπίνυσσεν ἐφετμή. (Il. Ξ. 249.)

σημαίνει καὶ ῥῆμα τῆ ἀντὶ τοῦ λάβε προτακτικὸν, χωρὶς τοῦ ι· εἰ γὰρ ὁριστικὸν εἴη ἔχει τὸ ι· ἀπὸ τοῦ τῶ τῆς τῇ Δωρικῶς, ὡς ζῶ ζῇς ζῇ· σημαίνει δὲ καὶ τὸ τῇ καὶ ἐπίῤῥημα,

ἀτάρ τοι καὶ κείνῳ ἐγὼ παραμυθησαίμην
τῇ ἴμεν, ᾗ κεν δὴ σύ κεν. (Il. O. 45.)

Τέρεν: (Il. Π. 11.) Νῦν αἰτιατικῆς πτώσεως·

τέρεν κατὰ δάκρυον[r] εἴβεις. (Il. Π. 11.)

γίνεται παρὰ τὸ θέρω θέρεν καὶ τέρεν, τὸ ὥσπερ τεθερμημένον καὶ κεχυμένον καὶ ἁπαλόν·

αἶψα δ' ἰαίνετο κηρὸς ἐπεὶ κέλετο μεγάλη ἴς· (Od. M. 175.)

q Av. 1131. r Cod. δάκρυ.

ὁ ὑπὸ θερμότατος δυνάμενος διαχυθῆναι ὅπερ ἐστὶν ἁπαλόν· οἱ δὲ παρὰ τείρω τέρεν, τὸ ἁπαλὸν, τὸ δυνάμενον καταπονηθῆναι· τὸ γοῦν μὴ τειρόμενον, μὴ δὲ ἁπαλὸν, ἀλλ' ἰσχυρὸν, ἀτειρὲς εἴρηται·

χαλκὸς ἀτειρής. (Il. E. 292.)

τὸ οὖν ἀνένδοτον καὶ ἀκαταπόνητον ἀτειρὲς εἴρηκε· τὸ δὲ οἷόν τε καταπονηθῆναι, καὶ ἁπαλὸν, τέρεν· ἐκεῖθεν καὶ τὸ ἀτέραμνον, τὸ οἷον ἀνένδοτον, ὅμοιον τῷ ἀτειρὲς κατὰ στέρησιν· ὥσπερ δὲ παρὰ τὸ πρίασθαι Πρίαμος, καὶ πλέκω πλόκαμος· ἐμπείρω ἐμπέραμος, οὕτως τείρω τέραμος, καὶ πλεονασμῷ τοῦ ν, ὡς τὸ νώνυμνος, τέραμνος καὶ ἀτέραμνος· ἀπὸ δὲ τῶν εἰς ην οὐ γίνεται συγκριτικόν· ἔνθεν σημειοῦνται τὸ,

ναρκίσσου τερενώτερον·

καὶ λέγουσιν ὅτι ἀπὸ τῆς τέρενος εὐθεῖα γίνεται ὁ τέρενος· ἐκ τούτου τὸ τερενώτερος· ὥστε οὐκ[s] ἀπὸ τῶν εἰς ην, ἀλλ' ἀπὸ τῶν εἰς ος· ὁ δ' Ἀντίμαχος ἀπὸ τοῦ ὁ τέρενος εἶπε κατὰ συγκοπὴν "τερέντρον," ἀπὸ τούτου "τερενώτερος·" κλίνεται τέρην τέρενος· τὰ ἔχοντα οὐδετέρου σχηματισμὸν διὰ τοῦ σ κλίνεται· ἄρσην ἄρσενος· τέρην τέρενος· τὸ Γέρην οὐκ ἔχει οὐδετέρου παρασχηματισμόν· τὰ δὲ μὴ οὕτως ἔχοντα φυλάττει τὸ η· σεσημειωμένου τὸ εἴρενος·

ἀλλ' ἀντὶ βρεφέων πολιὸν νέον εἴρενα μέσσον[t]·

ζητεῖται παρὰ τῷ Ἀλκαίῳ θηλυκὸν,

τερένας ἄνθος ὀπώρας·

πῶς ἡ τέρενα εἴρηκεν· καὶ ἔστιν εἰπεῖν ὅτι ἀπὸ τοῦ τέρην, ἡ γενικὴ τέρενος, καὶ μετάγεται ἡ γενικὴ εἰς εὐθεῖαν ὁ τέρενος· ἀπὸ τούτου θηλυκὸν τερένη, τερένης, καὶ Αἰολικῶς,

τερένας ἄνθος ὀπώρας.

Τοῦτο:

ἴστω τοῦθ', ὅτι νῶϊν ἀνήκεστος χόλος ἔσται. (Il. O. 217.)

ἀντωνυμία μονοπρόσωπος οὐδέτερα· πτώσεως νῦν αἰτιατικῆς, δεικτικὴ καὶ ἀναφορικὴ, ὡς ἡ οὗτος· δεικτικὴ μὲν, ὡς,

[t] Hunc versum, quem noster autem multo emendatiorem præbet, Callimacho assignat Chœrobosc. Bekker. Anecd. p. 1198.

[s] Cod. om. οὐκ.

οὗτός τοι Διόμηδες. (Il. K. 341.)

ἀναφορική·

οὗτος δὴ οὖν ὁ Κροῖσος.

καὶ καθόλου αἱ μονοπρόσωποι ἀντωνυμίαι, αἱ τοῦ τρίτου προσώπου μόνως δεικτικαὶ καὶ ἀναφορικαὶ, ὑπεσταλμένης τῆς αὐτός· αὕτη γὰρ μόνως ἀναφορικὴ, ἔχει δὲ καὶ ἄλλο σημεῖωδες ἡ οὗτος ἀντωνυμία· ἡ ου δίφθογγος ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέξεσι ψιλοῦσθαι θέλει· σεσημειωμένων τοῦ οὕνεκα καὶ τοῦ οὗτος· τὸ μὲν οὕνεκα διὰ τὸ ἔχειν ἀνταπόδοσιν τὴν πρὸς τὸ τοὔνεκα· τοῦ δὲ οὗτος διὰ τὸ προνέμειν Δωριεῖς αὐτῇ τὸ τ· τοῦτος γάρ φασι· καὶ ὅτι καὶ παρὰ τὸ ὅς παρῆκται· καὶ ὅτι πᾶσα ἀντωνυμία ἀπὸ μακρᾶς ἀρχομένης δασύνεται, ὑπεσταλμένης οὢτος[t]· διαφέρει δὲ τῆς ἐκεῖνος· ἀμφότεραι μὲν γὰρ δεῖξιν σημαίνουσιν, ἀλλ' ἡ μὲν ἐκεῖνος ἐν διαστήματι ἔχει τὴν δεῖξιν,

καὶ νῦν οἱ πάρα κεῖνος Ἄρης. (Il. E. 604.)

ἡ δὲ οὗτος πλησιάζουσαν δεῖξιν ἐμφαίνει,

οὗτος τοι Διόμηδες ἀνήρ. (Il. K. 341.)

διὸ καὶ ἐξαίρετον ἔχει ἡ οὗτος, πρὸς τὸ μονοπρόσωπον αὐτὴν οὖσαν, τετολμῆσθαι τίθεσθαι καὶ ἐπὶ κλητικῆς,

οὗτος καθευδεις, ὦ κακόδαιμον.

ἥτις κλητικὴ πρὸς πρόσωπον πλησίαζον ἔχει τὴν δεῖξιν.

ΤΆ:

τ' ἄρα σφ' ἐπὶ νηυσὶν ἔκειτο. (Il. O. 389.)

ἄρθρον ἐνταῦθα προτακτικὸν ἀντὶ ὑποτακτικοῦ· πτώσεως εὐθείας· πόθεν δὲ φαμὲν αὐτὸ προτακτικὸν ἀντὶ ὑποτακτικοῦ; ἐκ τῆς συντάξεως· ἐπιφέρεται γάρ τοι ῥῆμα ὅτε οὐκ ἔστιν ἀντὶ ὑποτακτικοῦ· ἀλλὰ κύριον προτακτικὸν, ὅτε πρόκειται τὸ ῥῆμα,

ὅς ἤδη τά τ' ἐόντα. (Il. A. 70.)

σημαίνει καὶ ἀντωνυμίαν,

μολπή τ' ὀρχηστύς τε τὰ γάρ τ' ἀναθήματα δαιτός. (Od. A. 152.)

ἂν δὲ ἐκταθῇ, θηλυκὸν δυϊκὸν γίνεται· ταύτῃ καὶ ἀποφροντιστοῦντες τοῦ μέτρου ἀνέγνωμεν,

οωυ

[t] Cod. οὢτος, fors. ωὗτός.

τὰ περὶ καλὰ ῥέεθρα ἅλις ποταμοῖο[u]. (Il. Φ. 352.)

τὸ δὲ ῥα σύνδεσμος παραπληρωματικὸς ἀεὶ ἐγκλιτικός·

καί ῥα ἑκάστῳ φωτί. (Od. B. 384.)
δή ῥα τότ' ᾤμωξέν τε. (Il. M. 162.)

τὸ δὲ σφι εὕρηται καὶ μετὰ τοῦ νυ καὶ χωρίς.

Τε: Συνδεσμὸς συμπλεκτικὸς ἰσοδυναμῶν τῷ καί· διαφέρων αὐτοῦ τάξει· ᾗ ὁ μὲν καὶ θέλει προηγεῖσθαι, ὁ δὲ τε ἕπεσθαι· τὰ δὲ τε συντάξεως αὐτοῦ ὧδε ἔχει· ὅτε εἴπου δὶς παραλαμβάνοιτο μετὰ τῆς οὐ συμπλεκτικός ἐστιν· οἷον,

ἔνθα μὲν οὔτε ἀνὴρ ἐπιδευὴς οὔτέ τι ποιμήν. (Od. Δ. 87.)
οὔτ' οὖν πορδάλιος τόσσον[x] μένος οὔτε λέοντος,
οὔτε συὸς κάπρου ὀλοόφρονος. (Il. P. 20.)

τοῦτο πρὸ ἐκεῖνο εὔχρηστον·

τὸν δ' οὔτ' ἄρ τε γέφυραι ἐεργμέναι ἰσχανόωσι. (Il. E. 89.)

ὅτι οὐχ οὕτω δεῖ μερίζειν· δὲ οὐ εἶτα ταρ· ἵν' ᾖ παραπληρωματικὸς ὁ ταρ ἀλλὰ τε ἄρα[y]· ἐπιφέρει γὰρ τὸ,

οὔτ' ἄρα ἕρκεα ἴσχει. (Il. E. 90.)

καὶ ἐκ τῆς ἐπιφορᾶς δῆλον ὡς ἔστι συμπλεκτικός· ἀλλ' ἐν τῷ Α' τῆς Ἰλιάδος οὐκ ἔτι·

οὔτ' ἄρ' ὅγ' εὐχωλῆς ἐπιμέμφεται. (Il. A. 93.)

οὐχ ὡς ὁ Ἀσκαλωνίτης μερίζει ου τε αρ· ἀλλὰ οὐ, εἶτα ταρ παραπληρωματικός· διατί; ἐπιφέρεται γὰρ ὁ δέ·

οὐδ' ἑκατόμβης. (Il. A. 90.)

οὐχὶ ὁ τε· ἔστιν δ' ὁ λόγος "οὐδὲ εὐχωλῆς οὐδὲ ἑκατόμβης ἕνεκα μέμφεται ὁ Ἀπόλλων·" ζητητέον δὲ πῶς ἐν τῷ·

νῆσον τ' Αἰαίην δὲ ὅθι τ' Ἠοῦς ἠριγενείης. (Od. M. 3.)

ἐν τῷ αὐτῷ στίχῳ πῇ μὲν ἠγείραμεν τὸν τόνον διὰ τὸ ἐγκλιτικὸν μόριον, πῇ δὲ οὐκ ἠγείραμεν· "νῆσόν τ' Αἰαίην·" διατί ἠγείραμεν τὴν σον συλλαβήν; διὰ τὴν ἐπιφορὰν τοῦ τε· ἐν δὲ τῷ ἑξῆς οὐκέτι·

ὅθι τ' ἠοῦς ἠριγενείης·

καί τοι ὁ αὐτὸς ἦν τε· καὶ φαμὲν ἂν τροχαϊκὸν ᾖ τὸ σχῆμα, τὸ πρὸ τοῦ ἐγκλιτικοῦ, ἐγείρεται ὁ τόνος·

[u] Cod. ποταμός. [x] Cod. τόσι. [y] Cod. ἄρ.

χαῖρέ μοι ὦ Πάτροκλε· (Il. Ψ. 119.)

τὸ χαῖρε τροχαϊκόν· τὸ μοι ἐγκλιτικόν·

Ξάνθέ τε καὶ σὺ Πόδαργε. (Il. Θ. 185.)

Τῶι :

τῷ οὐκ ἂν βασιλῆας. (Il. B. 250.)

σημαίνει τὸ διὸ, καὶ περισπᾶται κατὰ Ἡρωδιανόν· γέγονε δὲ οὕτως· πολλὰ εἰσὶ ῥήματα ἐλλείποντα προθέσει· οἷον "τρέμω σε" ἀντὶ τοῦ "τρέμω διὰ σέ·" καὶ πολλαί εἰσι προθέσεις ἐλλείπουσαι ῥήματι· οἷον,

ἀλλ' ἄνα, εἰ μεμονάς γεʹ. (Il. I. 247.)

ἀντὶ τοῦ ἀναστῆθι· καὶ πάλιν,

ἔνι τοι φρένες. (Od. Ξ. 141.)

ἀντὶ τοῦ ἔνεισιν· οὕτως οὖν ἐστὶ διὰ τὸ, καὶ ἀποβολῇ τῆς διὰ, τὸ, καὶ κατ' ἐπέκτασιν τοῦ ο εἰς ω, γίνεται τῷ.

ΤΕΛΑΜΩΝΙΆΔΗΣ : (Il. Ψ. 838.) Οἱ μὲν λέγοντες ἀπὸ τοῦ Τελαμώνιος Τελαμωνιάδης, ὡς Ἥλιος Ἡλιάδης· Δεξιάδης· Ἀσιάδης· κατορθοῦσι μὲν τὴν φωνὴν, λύουσι δὲ πατρωνυμικόν· ἀπὸ γὰρ κυρίων θέλει παράγεσθαι τὰ πατρωνυμικά· τὸ δὲ Τελαμώνιος οὐ κύριον ἀλλ' ἐπίθετον· ἄμεινον οὖν ἀπὸ τοῦ Τελαμὼν Τελαμῶνος, Τελαμωνίδης, καὶ κατὰ πλεονασμὸν τοῦ α.

ἈΡΧΗ ΤΟΥ Υ.

ὙΠΕΜΝΉΜΥΚΕ :

πάντα δ' ὑπεμνήμυκε. (Il. X. 491.)

οὐ παρὰ τὸ μνῶμαι δύναται εἶναι, οὐ γὰρ συνᾴδει τῷ νοουμένῳ· δῆλον γὰρ ὅτι "πάντα" ἐν καταπτώσει αὐτῷ καὶ ἐπικλίσει ἐστὶν, οἷον, οὐδὲν ὀρθὸν ἔχει οὐ δὲ εὐτυχές· γίνεται δὲ παρὰ τὸ μύω, τὸ ἐπικλίνω, καὶ καταπίπτω· οὗ ὁ παρακείμενος ἤμυκα, ὁ Ἀττικὸς ἀναδιπλασιασμὸς ὤφειλεν εἶναι ἠμήμυκα· ἀλλ' ἐπειδὴ οἱ Ἀττικοὶ παρακείμενοι πάντως ἀπὸ βραχέως ἄρχεσθαι βούλονται, ὡς ἐν τῷ ἀρήροκα· ἐλήλυθα· ὀμώμοκα· ἐλήλυκα· καν-

γεʹ
ʹ τε.

ταῦθα τὸ η συστείλας εἰς ε ἐποίησε τὸ ἐμήμυκα· ὅπερ ὁ ποιητὴς ἴσως διὰ τὸ μέτρον πλεονάσας τὸ ν, πεποίηκε τὸ ὑπεμνήμυκεν· ὥστε ἡ μὲν τοῦ η συστολὴ εἰς τὸ ε διὰ τὸν Ἀττικὸν παρακείμενον γέγονεν, ἡ δὲ προσθήκη τοῦ νυ τῆς ποιητικῆς ἕνεκα χρείας.

Ὑπώρεια: (Il. Υ. 218.) Σημαίνει τὸ κάτω τοῦ ὄρους· τὸ πω μέγα· τὰ παρὰ τὸ ὄρος συντιθέμενα διὰ τοῦ ω μεγάλου γράφεται.

Ὑψίζυγος: (Il. Δ. 166.) Τὸ ψι ἰῶτα· αἱ παρὰ δοτικὴν τῶν εἰς ος οὐδετέρων συντιθέμεναι λέξεις, εἰ μὲν ἐπιφέρονται φωνῆεν ἢ ἓν ἁπλοῦν, φυλάττουσι τὴν γράφην· Ὀρειγένης Ὀρειβάσιος· ὀρείαυλος· καὶ Ἡσίοδος·

ὀρειχάλκοιο φαείνου· (Sc. 122.)

εἰ δὲ σύμφωνον ἢ ἓν διπλοῦν ἐπιφέρῃ, ἀποβάλλει τὸ ε· οἷον, ὀρίδρομος· ὑψίζυγος· ὑψιβρεμέτης.

Ὕστερος: (Il. Ε. 17.) Παρὰ τὴν ὑπό· ὑπότερος, καὶ κατὰ συγκοπὴν ὕστερος· τὸ δὲ ο συγκοπτόμενον τὸ σ ποιεῖ· θεόφαντον θέσφατον· θεοείκελον θέσκελον· καὶ εἰ οὔτε τὰ εἰς τερος τῷ υ παραληγόμενα ἔχει πρὸ τοῦ τε τὸ σ, οὔτε τὰ εἰς τατος· οἷον, ἐγγύτερος ἐγγύτατος· ὀξύτερος ὀξύτατος· πῶς οὖν τὸ ὕστερος ὕστατος μετὰ τοῦ σ; τότε δέ ἐστι τὸ σ, ὁπότε τὸ ε· εὐσεβέστερος εὐσεβέστατος· σωφρονέστερος σωφρονέστατος· εἰ οὖν τὸ σ ἔχει, ἐχέτω τὸ ε· εἰ δὲ τὸ[z] υ ἔχει, μὴ ἐχέτω τὸ σ· ἀλλὰ λέγομεν ὅτι τὸ πάθος αἴτιον, ὥστε οὐκ ἦν τοῦ χαρακτηριστικοῦ.

Ὕπαιθα: (Il. Ο. 520.) Ὁπότε σημαίνει τὸ ἔμπροσθεν, σημαίνει σχέσιν τοπικήν·

ἡ δ' ὕπαιθα φοβεῖται. (Il. Χ. 141.)

ἀντὶ τοῦ ἔμπροσθεν φεύγει· καὶ ἐπὶ τοῦ Ἀχιλλέως·

ποταμὸς δ' ἐδάμαζεν ἄνακτα
λάβρος ὕπαιθα ῥέων. (Il. Φ. 271.)

ὁπότε δὲ σημαίνει τὸ πρότερον, σημαίνει ἔννοιαν χρονικήν· ἐπὶ οὖν τοῦ,

[z] Cod. εἰσ. (with τ written above)

ὁ δ' ὕπαιθα λιάσθη. (Il. O. 520.)

ἀμφίβολον· ὁ δὲ ἐκκλίνας εἰς τὸ ἔμπροσθεν, ἢ ὁρμήσας, τὸν Μέγητα πρότερον αὐτὸς ἐξέκλινε· λέγεται δὲ καὶ ἄνευ τῆς θα παρὰ Ἀλκμᾶνι, καὶ σημαίνει τὸ πρότερον·

ὅποτε ὑπὸ τοῦ Ἱππολόχου κλέος δ' ἔβαλλον
οὐ νῦν ὑπεστάντων[a].

ἀντὶ τοῦ πρότερον· βαρύνεται· τέσσαρα εἰσὶ παρὰ τῷ ποιητῇ βαρυνόμενα εἰς θα,

ὁ δ' ὕπαιθα λιάσθη· (Il. O. 520.)

μίνυνθα· ἤλιθα· καὶ τὸ ἔνθα· φυσικῶς δὲ τρία εἰσὶν εἰς θα βαρυνόμενα· τοῦ ῥήματος ἐστὶ τὸ θ τοῦ μινύθω· ἠρεμῶ ἠρέμα· καὶ οὐκ αὐτοῦ τοῦ ἐπιῤῥήματος τὸ θα· ὡς ἀτρεμῶ ἀτρέμα· τοῦ προκατάρχοντος ῥήματος τὸ μα.

Ὑψοῦ: (Il. A. 486.) Ἐπίῤῥημα τόπου· εἶτα ἡ σχέσις τοῦ τόπου ἐν τόπῳ· ἄλλοτε δὲ ἐκ τόπου,

ἦ οὐ μέμνῃ ὅτε τ' ἐκρέμω ὑψόθεν. (Il. O. 18.)

καὶ τὸ εἰς τόπον εἰς ε λῆγον·

ὃ δ' ὑψόσε ποσσὶν ἐπήδα· (Il. Φ. 269.)

παρ' οὗ ἐπίῤῥημα ὑψοῦ τῆς ἐν τόπῳ· καὶ τὸ ὕψοθι· τὸ δὲ,

καίεται[b] ὑψόθ' ὄρεσφι. (Il. T. 376.)

καὶ

ὑψόθ' ἐόντι Διί. (Il. K. 16.)

τοῦτο κατὰ συγκοπὴν γίνεται ὕψι·

ὕψι δ' ὑπαὶ νεφέων. (Il. Π. 374.)

ὃ συνέθηκε κατ' ἀρχὴν ὑψίπεδον· ὑψίζυγος· ὑψιπέτηλον· ἄδηλον τὸ ὑψηχὲς καὶ ὑψηρεφές· γίνεται δὲ παρὰ τὸ ὕψος· περισπᾶται· ἑκασταχοῦ· πανταχοῦ· αὐτοῦ· τηλοῦ· ὑψοῦ· οὐ μάχεται τὸ τόπου βαρυνόμενον, ἀλλ' ἀναδέδωκε τὸν τόνον ὁμοίως τῷ πη· ὅπη· ὅπου· τὸ ὑψοῦ ὑψοῖ λέγουσιν Αἰολεῖς τροπῇ τοῦ υ εἰς ι, ὁμοίως τοῖς Ἀττικοῖς, πανταχοῦ καὶ πανταχοῖ· οὐδαμοῦ οὐδαμοῖ· ποῦ καὶ ποῖ· οὐκ ἀεὶ, ἀλλ' ἐπὶ πολλῶν· ἀλλὰ καὶ τὸ κατ' ἀρχὴν Αἰολεῖς τρέπουσι υ εἰς ι,

[a] Fors. leg. τοῦ νῦν ὕπαι στάντων. [b] MS. τὸν δὲ καί.

καιτ᾽ ὑψηλῶν ὀρέων.

Ὑγρός: (Il. A. 312.) Παρὰ τὸ ὕω ὑρός· πλεονάζει τὸ γ, ὡς ἐν τῷ ἁγνὸς καὶ ἀγρὸς, καὶ ἀνάγκη· οἱ δὲ παρὰ τὸ ὑδρὸς ὄνομα, ἢ κατὰ μετάθεσιν ἀπὸ τοῦ ὕδος· ὡς πηγὴ, πηδὴ γὰρ ἦν· καὶ γάμος ἀπὸ τοῦ δάμος, ὁ δαμαστικὸς τῶν θηλείων· ὅθεν τὰς παρθένους ἀδαμάστους λέγουσιν,

παρθένος ἀδμής. (Od. Z. 209.)

τὸ δὲ κυδρὸς καὶ παρὰ τὸ κύδω, καὶ παρὰ τὸ κῦδος.

Ὑπέρμορα: (Il. B. 155.) Ἐπίῤῥημα μεσότητος, φύσει ἢ θέσει· τὰ εἰς α λήγοντα οὐδέτερα, εἰ μὲν μετὰ ὀνόματος συντεθῇ, ὀνόματα εἰσίν· οἷον, "καλὰ γράμματα εἰσίν·" οἷον, "καλὰ γράφει," ἀντὶ τοῦ "καλῶς·" οὕτως οὖν "ὑπέρμορα ἐτύχθη" ἀντὶ τοῦ ὑπὲρ τὸ προσῆκον.

Υἷας: (Il. A. 240.) Ὄνομα αἰτιατικὸν τῶν πληθυντικῶν· ἡ εὐθεῖα υἷϊς· καὶ συναιρέσει οὐ συναιρεῖται· διατί; ἐπειδὴ κανών ἐστιν ὁ λέγων, ὅτι οὐδέποτε τῇ υι διφθόγγῳ τῇ διὰ τοῦ υ ψιλοῦ καὶ ι προγεγραμμένου σύμφωνον ἐπάγεται· καὶ διὰ τοῦτο οὐ συναιρεῖται· καὶ ἡ γενικὴ υἷϊος, καὶ συναιρέσει υἷος· ἡ υἷος ἐκ τῆς υἷϊος· καὶ ἡ εὐθεῖα τῶν πληθυντικῶν,

υἷες Ἀχαιῶν. (Il. A. 162.)

καὶ ἡ αἰτιατικὴ υἷας·

υἷας συνελκῦσαι τε τῇ σῇ βαπτίσει·

λοιπὸν ὥσπερ κῆρυξ κήρυκος κηρύκου, οὕτως ἀπὸ τῆς υἷος υἱὸς υἱοῦ· ἢ φύω φύος καὶ υἱός.

Ὕστατα: (Il. A. 232.) Ἐπίῤῥημα μεσότητος· διατί καλοῦνται μεσότητος; ἐπειδὴ ἀπὸ μέσων ὀνομάτων παράγονται· ἀπὸ ἀρσενικῶν, θηλυκῶν, καὶ οὐδετέρων· ἐὰν γὰρ μὴ εἰσὶ τριγενῆ, μεσότητος ἐπιῤῥήματα οὐ ποιοῦσι· καὶ πῶς εἰσὶν ἐπιῤῥήματα; ἐπειδὴ κανών ἐστιν ὁ λέγων, ὅσα καὶ ὁμοφωνίᾳ καθέστηκε πληθυντικῶν βαρυτόνων ὀνομάτων, ταῦτα καὶ εἰς ἐπιῤῥηματικὴν μετάγονται σύνταξιν· ὥσπερ ἐστὶ τὸ,

ἥδιστα οὖν μᾶλλον καυχᾷς[c].

[c] Etym. Gud. p. 545, 57. καυχήσομαι.

ἥκιστα, ἀντὶ τοῦ οὐδαμῶς· τοῦτο ἀπὸ τῶν οὐδετέρων ἐστὶν εὐθεία τῶν πληθυντικῶν ὕστατα, καὶ μετάγεται εἰς ἐπίῤῥημα.

Ὕστατοι: (Il. B. 281.) Ὄνομα γίνεται ἐκ τῆς ὑπὸ προθέσεως ὑπότερος, καὶ εἴρηται· πλεονασμός ἐστιν ἢ ἴδιος τύπος: ἴδιος τύπος· κανὼν γάρ ἐστιν ὁ λέγων ὅτι τὸ ο συγκοπτόμενον πέφυκεν ἐφελκυστικὸν γίνεσθαι τοῦ σίγμα· ὡς ἐστὶ θεόφατος, καὶ ἐν συγκοπῇ τοῦ ο πλεονασμῷ τοῦ σ γίνεται θέσφατος.

Ὑπόδρα: (Il. A. 148.) Ἐπίῤῥημα πόθεν γίνεται; ὁ μὲν Ἀπολλόδωρος δύο λέγει παραγωγὰς, ὁ δὲ Ἡρωδιανὸς μίαν· ἀπὸ παρακειμένου οὕτως· ὥσπερ ἀπὸ τοῦ ἠρεμῶ γίνεται ἠρέμα, καὶ σιγῶ σίγα, οὕτως καὶ ἐκ τοῦ ὁρῶ ὅρα, καὶ μετὰ τῆς ὑπὸ ὑπόρα, καὶ πλεονασμῷ τοῦ δ ὑπόδρα, τὸ ὑφορᾶσθαι· καὶ ἄλλως· ἔστι δρῶ, καὶ σημαίνει τὸ βλέπω, ἐξ οὗ καὶ δράσις καὶ δρᾶμα· ἐκ τοῦ οὖν δρῶ γίνεται δρᾶ, καὶ μετὰ τῆς ὑπὸ ὑπόδρα, τὸ ὑποβλέπειν, καὶ δραπετής· ὁ δὲ Ἡρωδιανὸς λέγει, ὅτι ἐκ τοῦ ὑποδρὰξ γίνεται· καὶ διατί ὀξύνεται; ἐπειδὴ τὰ εἰς ξ λήγοντα ἐπιῤῥήματα, χωρὶς εἰ μὴ παρὰ προθέσεσιν γίνονται ἅπαντα ὀξύνονται· οἷον, εὐράξ· σημαίνει δὲ τὸ ἐκ πλαγίου·

στῆ δ' εὐρὰξ σὺν δουρί. (Il. Λ. 251.)

ἀπρίξ· ἐναλλάξ· κουρίξ· εἶπε δὲ εἰ μὴ παρὰ προθέσιν γίνονται, διὰ τὸ πέριξ, τὸ γὰρ πάρεξ ἔχει πλεόνα μὲν σημαινόμενα· ὅτε γὰρ ὀξύνεται, οὐ φαμὲν εἶναι ἐπίῤῥημα, ἀλλὰ δύο προθέσεις· σεσημείωται τὸ ἅπαξ· καὶ τὸ ὅπερ ὤφειλε δέξασθαι ἐν τῇ ἁπλότητι, ἐδέξατο ἐν τῇ συνθέσει· ἀπαξαπλῶς· τὸ δὲ ὑποδρὰξ ἀποβαλὸν τὸ σύμφωνον, ἀνεβίβασε τὸν τόνον, ὥσπερ ἀνυστὴς ἀνύτης· δεσποτὴς δεσπότης· οὕτως καὶ ἐνταῦθα[d].

Ὑσμίνη: (Il. B. 40.) Παρὰ τὸ ὑπομένω, καὶ ἐν συγκοπῇ καὶ πλεονασμῷ τοῦ σ, ὑσμίνη· δεῖ γὰρ ὑπομονῆς ἐν πολέμῳ.

Ὑψηλός: (Il. B. 855.) Ὑψηρής τις ὤν· οἱονεὶ, ὁ εἰς ὕψος ἠρμένος.

Ὑπόψιος: Παρὰ τὸ ὕποπτος γίνεται ὑπόπτιος, καὶ τροπῇ τοῦ τ εἰς σ· καὶ κράσει τοῦ π εἰς σ, εἰς ψ· ἐπειδὴ ἐξ αὐτοῦ σύγκειται, καὶ γίνεται ὑπόψιος· τὸ ψι ἰῶτα, ὡς τὸ ὅρκιος.

d Hinc sæpe corr. Etym. Gud. p. 544. 14.

Ὑπερφίαλος: (Il. Γ. 106.) Ὑπερφίαλον λέγουσι τὸ πολὺ καὶ ἄμετρον· ὡς τῆς φιάλης ἀμετροῦ οὔσης, ἐξ οὗ καὶ ὑπερφίαλος λέγεται, ὁ ὑπερβάλλων τῇ ἀμετρίᾳ τὸ μέτρον τῆς φιάλης· φιάλη δὲ παρὰ τὸ πιεῖν ἅλις, πιάλη τὶς οὖσα.

Ὑπερβασία: (Il. Γ. 107.) Λέγεται ἡ παραβασία καὶ ἡ ἀδικία· καὶ τὸ ὑπὲρ τὸ δίκαιον πράττειν· γίνεται βίβημι, βήσω, βέβηκα, βέβαμαι, βέβασαι, βασία, καὶ ὑπερβασία· τὸ σι ἰῶτα διατί; τὰ διὰ τοῦ σια θηλυκὰ μονογενῆ πρὸ μιᾶς τὸν τόνον ἔχοντα, διὰ τοῦ ι γράφεται· οἷον, γερουσία· πανδαισία· ἐκκλησία· οὕτως οὖν καὶ ὑπερβασία.

Ὑπείρεχεν: (Il. Γ. 210.) Ἔστι τὸ ῥῆμα ἔχω, καὶ ὁ παρατατικὸς ἔχον ποιητικὸς, καὶ μετὰ τῆς ὑπὲρ προθέσεως ὑπέρεχον, καὶ πλεονασμῷ τοῦ ι ὑπείρεχον· ὤφειλε δὲ ἐν τῷ τέλει εἶναι ὁ πλεονασμὸς, ἵν᾽ ᾖ ὑπερίεχον· ἐπειδὴ αἱ προθέσεις ἐν τῷ τέλει πλεονάζουσι τὸ ι, ὡς ἐν τῷ ἐν ἐνί· πρὸς προσί· οὕτως καὶ ὑπερίεχον ὤφειλεν εἶναι, ἀλλ᾽ ἐπειδὴ παρέπεται ταῖς προθέσεσι τὸ μεχρὶ τῆς δισυλλαβίας αὔξεσθαι, τούτου χάριν οὐ πλεονάζει τὸ ι· ἵνα μὴ εὑρέθῃ τρισύλλαβος ἡ πρόθεσις· διατί ἀναβιβάζει τὸν τόνον; πᾶς παρωχημένος χρόνος τὸν προγινόμενον αὐτῷ χρόνον ἀποβαλὼν ἐν τῇ συνθέσει, προπαροξύνεται· οἷον, εἶχον ἔχον, κάτεχον.

Ὑφαίνω: (Il. Γ. 212.) Ἐκ τοῦ ὕφος· τοῦτο παρὰ τὴν ὑπὸ πρόθεσιν, καὶ τὸ ος, ὅθεν καὶ τὸ ὑφή.

Ὑπεροπλίῃσι: (Il. Α. 205.) Παρὰ τὸ ὅπλον ὑπέροπλον· ὑπερόπλιος καὶ ὑπεροπλία· σημαίνει δὲ τὴν ὑπερηφανίαν μεταφορικῶς, καὶ ἐστὶν ἡ λέξις ἀπὸ τῶν τὰ ὅπλα φερόντων.

Ὑπό: Πρόθεσις ἀναστρεφομένη ἐφαρμόζουσα ταῖς τρισὶ πλαγίαις πτώσεσιν· ἐναντία κατὰ σχέσιν τῇ ἐπὶ καὶ τῇ ὑπέρ· καὶ τοῦτο δῆλον ἐὰν λαβῇ ῥήματος σύνταξιν· ἐπίκειται· ὑπέρκειται· ἔνθεν ἡ μὲν ὑπὸ τῷ κάτω συντάσσεται ὑποκάτω· ἡ δὲ ὑπὲρ τῷ ἄνω· ἐξαίρετον πέπονθεν, ὅτι ἅμα τῷ πλεονάσαι τὸ ι, ἡ τρόπη γέγονε τοῦ ο εἰς τὸ α· ὑπὸ ὑπαί· πολλάκις δὲ πλεονάζει ἡ τροπὴ τοῦ ο εἰς τὸ α· μεσοπόλιος μεσαιπόλιος· Κλυτομήστρα Κλυταιμήστρα· ἐλοθερὲς "ἐλαιθερὲς ὕδωρ·" οἱ δὲ Αἰο-

λεῖς τὴν ὑπὸ ὑπὲρ λέγουσιν, καὶ τὴν ὑπὸ ὕπα· ἢ γὰρ τὴν ἀρχὴν τρέπουσιν Αἰολεῖς καὶ τὸ τέλος φυλάσσουσιν, ἢ τὸ τέλος τρέπουσι φυλάττοντες τὴν ἀρχήν· ψιλοῦσι δὲ τὸ ι.

Ὑπεραέϊ: (Il. Δ. 297.) Ὄνομα ὑπερθετικὸν σύνθετον· ἡ εὐθεῖα ὑπεραής[e]· ἡ γενικὴ ὑπεραοῦς[f]· τὰ γὰρ εἰς ης λήγοντα, μὴ παρακείμενα ὄντα, ἐπὶ γενικῆς εἰς ους λήγει.

Ὑσμίνη:

ἐν δ' ἔπεσ' ὑσμίνη.

ὄνομα προσηγορικὸν πτώσεως δοτικῆς· ἡ μὲν παράδοσις ἀξιοῖ γράφειν τὸ ὄνομα διὰ τοῦ ι· τὰ γὰρ εἰς νη θηλυκὰ βαρύτονα, ἢ βραχεῖ τῷ ι παραλήγεται, ἢ ἐκτεταμένῳ· δαφνίνη· μυρσίνη· οὕτως καὶ ὑσμίνη· ἡ δὲ ἐτυμολογία διὰ τῆς ει διφθόγγου· εἴτε παρὰ τὸ μένος, εἴτε παρὰ τὸ δυσμενὴς κατὰ ἀφαίρεσιν τοῦ δ· ὡς παρὰ τὸ διωκὴ ἰωκή· καὶ δαῖσα αἶσα, ἡ μοῖρα, παρὰ τὸ δαίω· καὶ ὕνις παρὰ τὸ δύνω δύνις, κατὰ γῆς γὰρ δύνει· τὸ δέ,

μέμασαν καὶ ὡς ὑσμῖνι[g] μάχεσθαι. (Il. Θ. 56.)

κατὰ μεταπλασμὸν εἴρηται, ὡς ἀπὸ τῆς ὑσμὶς εὐθείας.

Ὑρτακίδης: (Il. Β. 837.) Τῷ εἴδει πατρωνυμικόν· τὸ προκατάρχον Ὕρτακος· καὶ Ἄσιον Ὑρτάκου υἱόν· τὰ δὲ ἀπὸ τῶν εἰς ος διὰ τοῦ ιδης ποιεῖ τὸ πατρωνυμικόν· Ἰησονίδης· Ταντλίδης· ἐχρῆν ἄρα παρὰ τὸ Ἐριχθόνιος Ἐριχθονιάδης, ἀλλὰ κατὰ συγκοπὴν Ἐριχθονίδης.

Ὕπνος: Ὄνομα προσηγορικὸν σύνθετον πτώσεως εὐθείας ἐν δὲ τῷ,

Ὕπνε ἄναξ[h].

οὐ προσηγορικὸν ἀλλὰ κύριον· σύνθετον δέ ἐστιν ἐπεὶ ἐτυμολογοῦσιν αὐτὸ παρὰ τὴν ὑπὸ πρόθεσιν, καὶ τὸν νοῦν· ὑπόνουν εἶναι, τὸν ἀφαιρούμενον τὸν νοῦν τῶν εἰς ὕπνον τραπέντων· τὰ δὲ εἰς πνος λήγοντα ὀνόματα δισύλλαβα μονογενῆ ὀξύνεται· τερπνός· ἰπνός· καπνός· σημειωτέον ἄρα βαρυνόμενον τὸ ὕπνος.

Ὑπέρμορα: (Il. Β. 155.) Ὑφὲν ἀναγνωστέον· ἔστι γὰρ

[e] Cod. ἠπερα (ς superscript). [f] Cod. περα (οῦς superscript). [g] Cod. ὑσμίνῃ. [h] Cf. Etym. M. p. 781, 1.

μόρος ἐν συνθέσει ὑπέρμορος, ὡς ὠκύμορος· οὐδέτερον ὑπέρμορον, καὶ ὑπέρμορα πληθυντικὸν, καὶ ὄνομα, καὶ ἐπιῤῥηματικὴν τάξιν ἀναδέχεται,

ἦ μεν καλὰ πατὴρ ὣς κήδεαι υἱοῦ. (Od. Ρ. 397.)

καὶ

πυκνὰ μάλα στενάχων. (Il. Σ. 318.)

οὕτως καὶ,

ὑπέρμορα νόστος ἐτύχθη. (Il. Β. 155.)

τὸ δὲ ἐν τῇ Ὀδυσσείᾳ,

ὡς καὶ νῦν Αἴγισθος ὑπέρμορον Ἀτρείδαο. (Od. Α. 35.)

ἀμφίβολον δύναται ἔχεσθαι· δύναται γὰρ καὶ κατὰ παράθεσιν· ἔθος δὲ τῷ ποιητῇ τὰ θηλυκὰ ἀρσενικῶς προφέρειν· ἑσπέρα ἕσπερος· χολὴ χόλος·

χόλῳ ἄρα σ' ἔτρεφε μήτηρ. (Il. Π. 203.)

οὕτω καὶ τὸ,

δείδω μὴ καὶ τεῖχος ὑπὲρ μόρον ἐξαλαπάξῃ. (Il. Υ. 30.)

δυνάται δὲ καὶ τρίτην ἀπὸ τέλους ἔχειν τὴν ὀξεῖαν· ὑπέρμορον, ἵνα ἐπιῤῥηματικὴ γένηται ἡ σύνταξις.

Ὕρχας: Ψιλοῦται· πᾶν γὰρ φωνῆεν καταλῆγον εἰς ρω ἐπιφερομένου ἑνὸς τῶν δασέων, ψιλοῦσθαι θέλει· οἷον, ὀρφανός· ὄροφος· ὀρθός· ὕρχας, σημαίνει δὲ τὸ ταριχηρὸν ἀγγεῖον.

ΑΡΧΗ ΤΟΥ ΦΙ.

Φημί: (Il. Β. 129.) Διατί οὐκ ἀναδιπλασιάζεται; διότι ἐγκλιτικὸν ἐστί· τὰ δὲ ἐγκλιτικὰ οὐδέποτε πάσχουσι πλεονασμὸν, ἀλλὰ μᾶλλον ἀποκοπήν.

Φολκός: (Il. Β. 217.) Παρὰ τὸ τὰ φάη εἱλκυσμένα ἔχειν· εἱλκυσμένον γὰρ λέγουσι τὸν στραβόν.

Φλοῖσβος: (Il. Ε. 322.) Σημαίνει τὴν τῶν κυμάτων ἀλλεπάλληλον[1] ἐξέγερσιν, καὶ συνεχῆ πάλιν ἀπόπαυσιν.

Φράζεο: (Il. Ε. 440.) Παρὰ τὸ φῶ, ἀφ' οὗ φάζω καὶ

[1] Cod. ἀλλεπάλλιλον.

φράζω, ἔνθεν καὶ φαίνω καὶ φάσκω· παρὰ τὸ φράζω, φραδὴς φραδέος, καὶ φράδους, καὶ ἀριφράδους, καὶ ἀριφραδέως ἐπίρρημα· καὶ ἐξ αὐτοῦ φραδέω· ἀφ᾽ οὗ "φραδέουσι," καὶ ὡς εἴδω, εἴσω, ἴδμων· οὕτως φράζω, φράσω, φράδμων, καὶ

συμφράδμονες εἶεν Ἀχαιῶν[k]. (Il. Β. 372.)

καὶ ὄνομα κύριον,

Φραδμονίδην Ἀγέλαον. (Il. Θ. 257.)

Φόρτου:

φόρτου τε μνήμων. (Od. Θ. 163.)

παρὰ τὸ φέρω, ἐξ αὐτοῦ φορεύς·

τῇ νίσσοντο φορῆες. (Il. Σ. 566.)

καὶ ἐν συνθέσει ἀμφιφορεύς· παρὰ τὸ φέρω οὖν φέρτος, καὶ φόρτος· ἢ παρὰ τὸ φορῶ φόρτος· βαρύνεται· τὰ εἰς τος δισύλλαβα ἀπαρασχημάτιστα ἔχοντα ἐν τῇ πρὸ τέλους τὸ ρ, βαρύνεται· κύρτος· Μύρτος, ἡ πόλις· κίρτος παρὰ Σιμωνίδῃ ἡ χρῆσις.

Φάρος: (Il. Β. 43.) Ποίου εἴδους τῶν ὑποπεπτωκότων τῷ ὀνόματι; ὁμωνύμου· κατὰ πόσους τρόπους δεῖ κοινωνεῖν τὰ ὁμώνυμα; κατὰ ὀκτώ· κατὰ τόνον, ὥσπερ τὸ ἀργὸς καὶ Ἄργος τὸ μὲν ὀξυνόμενον, τὸ δὲ παροξυνόμενον, ὁμώνυμα εἶναι οὐ δύνανται· διότι διάφορον ἔσχε τὸν τόνον· τὸ μὲν γὰρ ὀξυνόμενον δηλοῖ τὸν ταχὺν, παροξυτόνως δὲ τὸν Ἄργον ὃν ἀπέκτεινεν Ἑρμῆς· κατὰ πτῶσιν· ὡς τὸ ἐλάτης καὶ ἐλάτης· εὐθείας μὲν γὰρ ὂν σημαίνει τὸν ἡνίοχον· γενικῆς δὲ σημαίνει τὸ δενδρόν· κατὰ πνεῦμα· ὥσπερ τὸ οἶον καὶ οἷον· τὸ μὲν γὰρ ψιλοῦται, τὸ δὲ δασύνεται· κατὰ γένος· ὥσπερ τὸ φάρος καὶ φάρος· τὸ μὲν γάρ ἐστι ἐνεργητικὸν τὸ δὲ θηλυκὸν, τὸ δὲ οὐδέτερον· κατὰ ἀριθμὸν, ὥσπερ τὸ εἶπον καὶ εἶπον· "εἶπον ἐγώ· εἶπον ἐκεῖνοι" κατὰ γραφήν· ὥσπερ τὸ καινὸν καὶ κενόν· κατὰ μέρος λόγου· ὥσπερ τὸ ἔχεις καὶ ἔχεις· ὄνομα μὲν γὰρ ὂν σημαίνει τοὺς ἔχεις, τοὺς σκορπίους, ῥῆμα δὲ τὴν καθεκτικὴν ἐνέργειαν· κατὰ συνήθειαν· ὥσπερ τὸ ἅρμα κατὰ μὲν Ἕλληνας σημαίνει τὸ ζεῦγος

[k] MS. συμφραδ. ἀχῶς.

τῶν ἵππων· παρὰ δὲ Ῥωμαίοις τὸ ὅπλον· καὶ ἐπειδὴ διάφορον ἔσχε συνήθειαν, ὁμώνυμον εἶναι οὐ δύναται.

Φόως: (Il. B. 49.) Πλεονασμὸν ἔπαθε τὸ φόως ἢ διαίρεσιν· καὶ τί διαφέρει διαίρεσις πλεονασμός[l]; ὅτι ὁ μὲν πλεονασμὸς τὸν οἰκεῖον τόνον φυλάττει· ὥρων ἑώρων· ἥνδανε ἑήνδανε· τὸ δὲ φόως, ἐπειδὴ τὸν οἰκεῖον τόνον οὐκ ἐφύλαξεν, δηλονότι διαίρεσιν ἔπαθεν.

Φίλος: (Il. A. 86.) Τοῦτο καὶ τὸ ἀνὴρ καὶ τὸ ἀνεψιός· Ἀσκληπιὸς καὶ Ἀπολλὼν, καὶ τὸ Ἄρης παρὰ τῷ ποιητῇ· καὶ ἐκτείνεται καὶ συστέλλεται· εἴρηται παρὰ τὸ πίνω, ἀπὸ γὰρ συμποσίων εἰώθασιν οἱ φίλοι γίνεσθαι.

Φλοίσβοιο: (Il. E. 469.) Αἱ διὰ τοῦ οιο Θετταλικαὶ γενικαὶ * * * * * * * * τὸ φλοι δίφθογγος· τὰ ἔχοντα τὸ ε ἐγκείμενον· φλέω γάρ ἐστι καὶ φλύω τροπῇ· καὶ ἐξ αὐτοῦ ἐστὶν ὄνομα πεποιημένον, ὡς τὸ,

λίγξε βιός. (Il. Δ. 125.)

τὸ δὲ φλοῖσβος, καὶ τροπῇ τοῦ μυ εἰς βῆτα, φλοῖσμος κατ' ἀντίφρασιν, ἡ μὴ λέγουσα[m]· καὶ ἀπὸ τοῦ φλῶ, τὸ ἀναπέμπω, φλέω φλοῖσβος, ὁ ἀναδιδόμενος ἦχος τῆς θαλάσσης.

Φοξός: (Il. B. 219.) Ἀπὸ μεταφορᾶς τῶν κεραμεικῶν ἀγγείων, τῶν ἐν τῇ καμίνῳ ἀπὸ τοῦ πυρὸς ἀποξυσμένων· ἔνιοι δὲ κυρίως τὸν ἐπὶ τὰ φάη, τουτέστι τὰ ὄμματα, ἀποξυμμένην ἔχοντα τὴν κεφαλήν· ἀμφοτέρων[n] τὸ πρότερον.

Φρὴν φρενός: (Il. A. 55.) Διατί σεσημείωται; οὐδὲν εἰς ην λῆγον ὄνομα μονοσύλλαβον μόνου ἐστὶ θηλυκοῦ· ἀλλ' εἰ ἐπιδέχοιτο τὸ θηλυκὸν γένος, ἐν κοινότητι ἐπιδέχεται· οἷον, ὁ χὴν ἀρσενικὸν,

χῆνές μοι κατὰ οἶκον ἐείκοσι πυρὸν ἔδουσι. (Od. T. 536.)

καὶ ἡ χὴν θηλυκῶς,

χῆνα ἥρπασ' ἀτιταλλομένην ἐνὶ οἴκῳ. (Od. O. 174.)

ὁ ῥὴν καὶ ἡ ῥήν· σημαίνει δὲ τὸ πρόβατον· τὸ δὲ φρὴν, ὡς

[l] Sic Cod. [m] Etym. M. p. 796, 37. ἡ μὴ φλέγουσα.

[n] Leg. credo ἄμεινον; sed Etym. M. p. 798, 22. cum nostro consentit.

διήλλαξε πρὸς τὰ ἄλλα, πρὸς τὸ μόνον εἶναι θηλυκὸν, διήλλαξε καὶ κατὰ τὴν κλίσιν· τὸ δὲ φρὴν γίνεται παρὰ τὸ φρῶ, τὸ προϊῶ· προϊῶ δὲ σημαίνει τὸ προπέμπω, πρῶ καὶ φρῶ κατὰ μετάθεσιν· καὶ ἐντεῦθεν φρήν· ἀφ᾽ ἧς προΐεται τὰ βουλεύματα[o].

Φημί: (Il. B. 129.) Διατί οὐκ ἀναδιπλασιάζεται; ἐπειδὴ ἐγκλιτικὸν, ὡς εἴρηται, ἢ μονοσύλλαβον, ἢ δισύλλαβον, οὐδέποτε δὲ τρισύλλαβον· λοιπὸν ἵνα μὴ εὑρέθη τὸ φημὶ ὑπερβαῖνον τῇ δισυλλαβίᾳ τούτου χάριν οὐκ ἀνεδιπλασιάσθη· σημαίνει δὲ δύο· τὸ λέγω καὶ τὸ φονεύω· φῶ γὰρ τὸ φονεύω, ῥῆμα εἰς μι φημί· β′ συζυγίας· ὁ παρακείμενος πέφηκα, ὁ παθητικὸς πέφαμαι· τὸ τρίτον πέφαται, καὶ ἐξ αὐτοῦ ὄνομα ῥηματικὸν φατός· καὶ μετὰ τοῦ Ἄρηϊ ἀρηΐφατος·

αἳ ῥά τε φῶτας ἀρηϊφάτους κατέδουσιν. (Il. T. 31.)

Φάσαν:

ὡς φάσαν ἡ πληθύς. (Il. B. 278.)

διατί τῷ πληθυντικῷ ἀριθμῷ ἑνικὸν συνέταξεν ὁ ποιητής; ἑνικὰ γὰρ ὀνόματα ἑνικοῖς συντάσσονται ῥήμασι· καὶ πληθυντικὰ ὀνόματα ὁμοίως πληθυντικοῖς· τὰ περιληπτικὰ ὀνόματα δύο συντάξεις ἀναδέχονται, τῷ λόγῳ τῆς φωνῆς, καὶ τῷ λόγῳ τοῦ σημαινομένου· ἐνταῦθα δὲ ὁ ποιητὴς οὐ τῷ λόγῳ τῆς φωνῆς, ἀλλὰ τῷ λόγῳ τοῦ σημαινομένου· πληθυντικῷ δὲ ἀριθμῷ συνέταξεν, εἰ καὶ τῇ φωνῇ ἑνικῇ τὸ πληθὺς, κατὰ τὸν τοῦ σημαινομένου χαρακτῆρα.

Φρονέω: (Il. Γ. 98.) Τὸ φρο μικρὸν, διότι ἐκ τοῦ φρὼν φρονός· ἔστι γὰρ ἐν τῇ γενικῇ τὸ ο μικρόν· ἐξ αὐτοῦ φρονῶ καὶ φρονέω· ὅπερ μετὰ τῆς προ προθέσεως,

πρόφρων Δαναοῖσι Ποσειδάων. (Il. Ξ. 357.)

Φθινύθειν: (Il. B. 346.) Φθινύθω ἄχρι τοῦ παρατατικοῦ κλίνεται· τὰ διὰ τοῦ υθω ῥήματα βαρύτονα ἄχρι τοῦ παρατατικοῦ κλίνεται· οἷον, βαρύθω· μινύθω· οὕτως οὖν καὶ φθινύθω· τοῦτο ἐκ τοῦ φθίνω· τοῦτο καὶ τὸ φθι διφορεῖται, καὶ διὰ τοῦ ι, καὶ διὰ τῆς ει διφθόγγου, ὡς τὸ,

o Cf. Etym. Gud. p. 557, 33.

φθείσει σε τὸ σὸν μένος. (Il. Z. 407.)

Φῦλα: (Il. B. 362.) Ὄνομα οὐδέτερον δι' ἑνὸς λ· πρὸς ἀντιδιαστολὴν τοῦ φύλλου ἐπὶ τοῦ δένδρου· τὸ φυ ψιλόν· καὶ ἔστι μακρὸν ἐκ τοῦ φύω· ἢ καὶ διὰ τοῦ υλον οὐδέτερα δισύλλαβα καθαρὰ μονογενῆ ἐκτείνει τὸ υ· οἷον, σκῦλον· φῦλον· σεσημείωται τὸ ξύλον.

Φρήτρη: (Il. B. 363.) Ἐκ τοῦ φρατὴρ γίνεται φράτρα, ἡ συγγένεια, καὶ τροπῇ τοῦ α εἰς η γίνεται φρήτρη· τὸ φρη η· τὰ διὰ τοῦ ητρα δισύλλαβα τῷ η παραλήγεται· οἷον, μῆτρα, ἡ κοίλη, ἐξ οὗ τὸ ὀρτυγομήτρα· ῥήτρα ἡ συνθήκη,

ἀλλ' ἄγε νῦν ῥήτρην ποιήσομεν[p]. (Od. Ξ. 393.)

οὕτως καὶ φρήτρα· σεσημείωται δύο· τὸ μίτρα, ὃ σημαίνει τὴν ζώνην· καὶ λίτρα· τοῦτο δὲ σημαίνει παρὰ μὲν τοῖς Σικελιώταις τὸ νόμισμα[q] καὶ τὸν ὀβολόν· παρὰ δὲ τῇ συνηθείᾳ τὸν σταθμόν.

Φένω: Τὸ φε ψιλὸν ἀπὸ τοῦ φῶ, τὸ φονεύω, καὶ ἀποβολῇ τοῦ φι ἔνω, καὶ κατὰ παραγωγὴν ἐνύω, καὶ ὄνομα ῥηματικὸν Ἐνύω καὶ Ἐννυάλιος· ἐκ τοῦ οὖν ἔνω γίνεται ὄνομα ἐξ αὐτοῦ καὶ ἕτερον εἰς της ἕντης, καὶ μετὰ τῆς αὐτὸς αὐτοέντης, καὶ συγκοπῇ αὐτέντης· καὶ ὅτι τὸ ε δασύνεται, καὶ γίνεται αὐθέντης, ὁ ἑαυτὸν ἀναίρων· φένω οὖν ὁ ἀόριστος ἔφενον, μετὰ τῆς ἐπὶ προθέσεως, καὶ ἐν συγκοπῇ ἔπεφνον, καὶ ἡ μετοχὴ πέφνων· καὶ σεσημείωται βαρυνόμενον· συνεξηκολούθησε γὰρ τῷ κάμνων· τέμνων· οὕτως οὖν καὶ πέφνων· οὐδέποτε γὰρ ἀόριστος β' βαρύνεται.

Φύην: (Il. B. 58.) Ἡ εὐθεῖα φυή· διατί ὀξύνεται; τὰ εἰς η λήγοντα θηλυκὰ δισύλλαβα, τῷ υ παραληγόμενα, βαρύνεται· οἷον, δύη, ἡ κακοπάθεια· λύη, ἡ ἄποινα[r]· γύη, μέρος ἀρότρου· ψύη, μέρος τοῦ σώματος· πλὴν τοῦ φυή, σημαίνει δὲ τὴν ἀνάπλασιν καὶ ἕξιν τοῦ σώματος· καὶ Πλυή· ἔστι δὲ δῆμος Αἰολικός.

[p] Cod. ποιήσωμεν. [q] Cod. νόμι (μ suprascr.). [r] Etym. Gud. p. 558, 47. ἡ ἀπορία.

Φοίμενον: Καὶ ἀποφθινόμενον· τὸ ῥῆμα φθῖμι, ἐκ τοῦ φθίω, ὁ μέλλων φθίσω, ὁ παρακείμενος ἔφθικα· τὸ παθητικὸν ἔφθιμαι, ὁ ἀόριστος ἐφθίθην, τὸ πληθυντικὸν ἐφθίθημεν, καὶ τὸ τρίτον ἐφθίθησαν· καὶ τὸ Βοιωτικὸν ἔφθιθεν, καὶ

ἀπέφθιθεν ἐσθλοὶ ἑταῖροι. (Od. E. 110.)

Φάλος: (Il. Γ. 362.) Ἐκ τοῦ φῶ, τὸ φαίνω, ὁ μέλλων φάσω· φάλον τὸ λαμπρὸν, ἐξ οὗ καὶ φάλαρον· κατὰ φάλαρον γάρ·

βάλλετο δ' αἰεὶ
καπφάλαρ' εὐποίητα. (Il. Π. 106.)

καὶ ἐξ αὐτοῦ φαλακρός· ὁ τὸ κάρα φάλαρον ἔχων, τουτέστι λαμπρόν· καὶ ὥσπερ ἔρευθος ἐρευθιῶ, οὕτως καὶ φαλαριῶ καὶ τροπῇ τοῦ α εἰς η φαληριῶ "φαληριόωντα" (Il. N. 799.) ἤγουν λευκανθίζοντα· φάλον βαρύνεται· τὰ δὲ διὰ τοῦ λλ ὀξύνεται, φαλλός· κανὼν γάρ ἐστιν ὁ λέγων· τὰ εἰς λος δισύλλαβα διὰ βραχέος ἅπαντα βαρύνονται· οἷον, πόλος, ὁ οὐρανός· στόλος· κάλως, τὸ σχοινίον· εἰ δέ τι ὀξυτονηθῇ, τοῦτο τριγενὲς, καλὸς, καλὴ, καλόν.

Φήμη: (Od. B. 53.) Ὡς νοήσω νοήμη νόμη, καὶ γνώμη, καὶ κινῶ κινήσω, κίνημι, καὶ κνήμη· οὕτως καὶ φήσω φήμη· παρὰ τὸ φῶ· τοῦτο παρὰ τὸ φῶς· φῶς γὰρ τῶν πραγμάτων οἱ λόγοι· τὸ δὲ φῶς παρὰ τὸ φάος· τὸ δὲ φάος παρὰ τὸ φαύω τὸ λάμπω.

Φοῖβος: (Il. A. 43.) Οἱονεὶ φαόβιος· τουτέστιν ὁ λαμπρὸν βίον ἔχων, ἤγουν τόξον· ὅθεν καὶ φοιβάζω τὸ λαμπρύνω, ἢ ἀπὸ Φοίβης μαμμωνυμικοῦ, ὡς Ἡσίοδος[r].

Φιλοκτεανώτατος: (Il. A. 122.) Παρὰ τὸ φίλος, καὶ τὸ κτεάνον· παρὰ τὸ κτῶ, κτάνον, ὡς τύπτω τύπτανον, καὶ πλεονασμῷ τοῦ ε κτεάνον.

Φέρτερος: (Il. A. 186.) Ἀπὸ τοῦ φέρω φέρτερος· τὰ συγκριτικὰ ἐξ ὀνομάτων γίνεται, ὡς ὀξὺς ὀξύτερος· ἀπὸ ῥημάτων, ὡς φέρω φέρτερος· ἀπὸ προθέσεως, ὡς πρὸ πρότερος· ἀπὸ ἐπιῤῥημάτων, ὡς πάλαι παλαίτερος.

r Cf. Etym. M. p. 796. in fin. ubi male μάμμης νομικῶς.

Φάσθαι: (Il. A. 187.) Μέσος ἀόριστος α΄ ἀπαρεμφάτου τῶν εἰς μι· γέγονεν ἐκ τοῦ φῶ, τὸ φαίνω, παράγωγον φημί· ὁ μέλλων φήσω, ἐφάθην· ὁ μέσος ἐφάμην, ἔφατο, φᾶσθαι·

Φάανθεν: (Il. A. 200.) Τοῦ πρώτου παθητικοῦ ἀπὸ τοῦ φαίνω, ὁ ἀόριστος α΄ παθητικὸς ἐφάνθην, καὶ τὸ τρίτον τῶν πληθυντικῶν ἐφάνθησαν· καὶ ποιητικὸν, Δωρικὸν ἢ καὶ Αἰολικὸν φάανθεν, πλεονασμῷ τοῦ α· ἔθος γὰρ ἔχουσιν οἱ Αἰολεῖς καὶ Δωριεῖς τὰ ἔχοντα ῥήματα τὴν μετοχὴν εἰς σ μετ᾽ ὀξείας τάσεως σχηματίζειν τὰ τρίτα τῶν πληθυντικῶν, ὡς τὰ μὴ ἔχοντα· ὥσπερ καὶ τὸ κόσμηθεν.

Φωνή: Φωνή ἐστιν ἀὴρ[s] πεπληγμένος, ἢ τὸ ἴδιον αἰσθητὸν τῆς ἀκοῆς· εἰ μὴ γάρ τις τάσις γένηται ἐν τῷ πλήττεσθαι τὸν ἀέρα, οὐ γίνεται φωνή· ἴδιον δὲ αἰσθητὸν ἀκοῆς, ἐπειδὴ τῇ ἀκοῇ κρίνονται αἱ φωναί· εἰ μὴ γὰρ κρούσῃ τὴν ἀκοὴν ἡ τοῦ ἀέρος πληγὴ, οὐκ ἀκούεται ἡ φωνή.

Φλοιόν: (Il. A. 237.) Παρὰ τὸ φλοῦς φλοὸς καὶ φλοιὸς, ἢ παρὰ τὸ φλῶ, τὸ ἀναδίδωμι καὶ ἀναπέμπω· φλῶ φλέω, φλοὸς καὶ φλοιὸς, ἢ ἐκ τοῦ φλῶ κατὰ παραγωγὴν φλάζω, καὶ παφλάζω· κατὰ δὲ τροπὴν τοῦ ε εἰς υ φλύω, ἐξ οὗ καὶ φλύαρος, ὁ ἀκρίτως ἀναπέμπων τοὺς λόγους· ἐκ δὲ τοῦ φλέω καὶ φλενὸς καὶ φληνὸς, καὶ μετὰ τοῦ φῶ ῥήματος δηλοῦντος τοῦ λέγω, γίνεται φληναφῶ, καὶ φλήναφος, ὁ ὕθλος.

Φώς: (Il. B. 239.) Ὁ ἀνὴρ, διὰ τὴν τοῦ ἐν ἡμῖν λόγου δύναμιν.

Φηρσίν: (Il. A. 268.) Ἀντὶ τοῦ θηρσί· κατὰ μετάθεσιν τοῦ θ εἰς φ, ὡς καὶ τὸ θλᾶν· κυρίως δὲ θῆρες λέγονται οἱ σύαγροι[t], καὶ οἱ τούτους λαμβάνοντες, θηρευταί.

Φόβος: (Il. Δ. 440.) Γενικόν· γενικὸν δέ ἐστι τὸ εἰς πολλὰ εἴδη διαιρεθῆναι δυνάμενον· διαιρεῖται δὲ ὁ φόβος εἰς ἕξ· εἰς ὄκνον· εἰς ἔκπληξιν· εἰς κατάπληξιν· εἰς αἰδῶ· εἰς αἰσχύνην· εἰς ἀγωνίαν· τί ἐστιν ὄκνος; φόβος μελλούσης ἐνεργείας· μέλλων γάρ τις ποιεῖν φόβου ἄξιον ὀκνεῖ· τί ἐστιν ἔκπληξις; φόβος ἐξ ἀσυνήθους φαντασίας γενόμενος· τί ἐστι

[s] Cod. male ἀνήρ. [t] Etym. Gud. p. 551, 59. male σύαστροι.

κατάπληξις; φόβος ἐκ μεγάλης φαντασίας γενόμενος· τί ἐστιν αἰδώς; φόβος ἐπὶ προσδοκίᾳ ψόγου· προσδοκῶν γάρ τις πρᾶξαί τι εἰς ψόγον καταλῆγον, αἰδεῖται· τί ἐστιν αἰσχύνη; φόβος ἐπὶ αἰσχρῷ πράγματι πεπραγμένος· τί ἐστιν ἀγωνία; φόβος διαπτώσεως, τουτέστιν ἀποτυχίας· φοβούμενοι γὰρ ἀποτυχεῖν ἀγωνιῶμεν[u]· καλοῦσι δὲ αὐτὴν καὶ δειλίαν.

Φωριαμῶν: (Il. Ω. 228.) Ὄνομα ἀρσενικὸν ἁπλοῦν, παρὰ τὸ φὼρ, ὃ σημαίνει τὸν κλέπτην ἐπεὶ πρὸς φυλακὴν τούτων κατεσκεύασται· ἢ παρὰ τὸ τὰ φάρη, ὃ καὶ βελτίον. ἀντιθέσει τοῦ α εἰς ω, ὡς ἐν τῷ θάκος θῶκος· κεκράξω κρώξω· καὶ παρὰ τὴν ἀκὴν τὸ ἀκόλουθον ἀκὺς, καὶ ἀντιθέσει ὠκύς· καὶ τέκμαρ τέκμωρ· εἴτε καὶ περὶ τοὺς φῶρας, εἴτε παρὰ τὸ φάρος, τὸ ἀκόλουθον φωριαμός· διὸ καὶ ὀξύνεται ὡς τρισύλλαβον· τὰ γὰρ διὰ τοῦ αμος τρισύλλαβα ἀρχόμενα ἀπὸ φύσει μακρᾶς ὀξύνονται, μὴ ὄντα κύρια· οἷον, οὐλαμός· χηραμός· οὕτως οὖν καὶ φωριαμὸς, ὥστε κατὰ πλεονασμὸν τοῦ ι γέγονε τὸ φωριαμός.

Φανήηι:

> ὡς δ' ὅταν ἀσπάσιος γῆ νηχομένοισι φανήῃ. (Od. Ψ. 233.)

διαθέσεως παθητικῆς· ὡς γὰρ νυγεὶς, ἐὰν νυγῇ, οὕτως φανεὶς ἐὰν φανῇ καὶ πλεονασμῷ τοῦ η· ὡς τὸ στῇ στήῃ· φθῇ,

> φθήῃ ὀρεξάμενος[x]. (Il. Ψ. 805.)

καὶ βῇ,

> ἐμβήῃ μάλα τούς γε φιλεῖ. (Il. Π. 94.)

τὸ γὰρ δισσὸν ἦτα ἐν περισπωμένοις ἐστὶν, ἐν βαρυτόνοις δὲ οὐκ ἔτι· οὐ γίνεται γὰρ φερήῃ· λεγήῃ· οὐκ ἐπὶ τρίτου δὲ μόνου προσώπου τοῦτο εὑρίσκεται,

> αἴ κέ μεν ἄντα
> στήῃς[y]. (Il. Ρ. 30.)
> μὴ παῖδ' ὀρφανικὸν θήῃς[z]. (Il. Ζ. 432.)

ἔστι δὲ καὶ ἄλλο ὑποτακτικὸν ἐὰν δῶ, δῷς, δῷ· εἶτα ἐγένετο,

> δώῃ καμμονίην. (Il. Χ. 257.)

προσελθόντος τοῦ η· καὶ ἐὰν ἁλῶ ἁλώῃ· ὅτι δ' ὑποτακτικόν

[u] Cod. ἀγωνιῶμεν (ου written above). [x] Hom. edd. φθῇσιν ὀρεξ. [y] Cod. στής. [z] MS. θής.

ἐστι τὸ δώῃ καὶ ἀλώῃ δῆλον· τοῖς ὑποτακτικοῖς προσέρχεται ἡ σι συλλαβὴ,

ἰχθὺς, ὅς κε φάγῃσι. (Il. Φ. 127.)
λαμπρὸν παμφαίνῃσιν. (Il. E. 6.)

ἐγέγονεν οὖν δώῃσιν,

αἴ κεν Ζεὺς δώῃσιν Ὀλύμπιος. (Il. M. 275.)

δῆλον ὅτι ὑποτακτικόν ἐστι· ζητεῖται δὲ περὶ τοῦ ἰῶτα πότερον κατὰ μέσην τὴν λέξιν, ἢ ἐπὶ τέλους.

Φοισίμβροτος: (Il. N. 339.) Παρὰ τὸν φθίσω μέλλοντα,

Δαιμόνιε φθίσει σε τὸ σὸν μένος. (Il. Z. 407.)

τὸ θέμα φθίω· ὅπερ ἐπενθέσει τοῦ ν φθίνω· ὃ καὶ κατὰ παραγωγὴν φθινύω καὶ φθινύθω·

οἶνον[a] δὲ φθινύθουσιν. (Il. Ξ. 95.)

ἄλλοι δὲ παρὰ τὸ φθῖμι, ἔνθεν τὸ,

παιδὸς ἀποφθιμένου·

καὶ ἀποφθιμένη, καὶ ἄφθιτον·

εἵλετο δὲ σκῆπτρον πατρῷϊον ἄφθιτον αἰεί. (Il. B. 46.)

παρὰ τὸ φθίω ἔφθιον,

ὄφρα φθίμεθα ἕκαστος·

καὶ ὁ μέλλων φθίσω· οἱ δὲ μέλλοντες διὰ τοῦ ι τὴν σύνθεσιν λαμβάνουσιν· ὅθεν τὸ φθισίμβροτος· τερψίμβροτος[b]· Πεισίστρατος· ὅθεν καὶ ἑλκεσίπεπλος, καὶ ἀλφεσίβοιαι· οὐκ ἐχυρὸν δὲ τοῦτο λέγειν ἐπὶ πάντων· τὸ γὰρ Περσεφόνη δύναται πλεονασμὸς εἶναι τὸ σ· καὶ τὸ ὀρσοθύρη δύναται παρὰ τὸν ἐνεστῶτα τὸν ὄρσω· καὶ τὸ περσέπολις δύναται Δώριον εἶναι ἐνεστῶτα περθέπολις· καθόλου δὲ τὰ παρὰ τὸ βροτὸς προσλαμβάνει τὸ μ ἐν τῇ συνθέσει· τερψίμβροτος· Στησίμβροτος· ὠφείλετο γὰρ ἐν τῷ βροτὸς τὸ μ· παρὰ γὰρ τὸ μείρω μορτὸς, ὑπερθέσει μροτὸς, ἐπενθέσει τοῦ βῆτα· ὅπερ διὰ τὸ μὴ δύνασθαι βμ διὰ τὴν ἀσυνταξίαν, ἐξέστη τὸ μ· ὅτε οὖν συντίθεται ἀπεδόθη· δύναται γὰρ προηγεῖσθαι τὸ μ τοῦ β ἐν διαστάσει· οὐκ ἔτι δὲ κατὰ σύλληψιν· ἓν παραιτούμεθα τὸ,

[a] Cod. οἷον. [b] Cod. τερψίνβροτος.

ἄσπιδος ἀμφιβρότης. (Il. B. 389.)

διὰ τὴν κακοφωνίαν.

Φρὴν φρενός: (Il. A. 362.) Ἰστέον δὲ ὅτι τὰ εἰς ην λήγοντα ὀξύτονα μονοσύλλαβα, μόνως ἀρσενικὰ, καὶ μὴ μόνως θηλυκὰ, προσθέσει τοῦ ος κλίνεται, καὶ φυλάσσει τὸ η ἐν τῇ γενικῇ· οἷον, σπλὴν σπληνός· μὴν μηνός· σφὴν σφηνός· χὴν χηνός· ὁ γὰρ ποιητὴς εἰπὼν,

ἀργὴν χῆνα. (Od. O. 161.)

θηλυκῶς ποιητικῇ ἐξουσίᾳ ἐχρήσατο· Ζὴν Ζηνός· τὸ δὲ φρὴν φρενός· ἐπειδὴ θηλυκοῦ μόνου γένους ἐστὶ, τρέπει τὸ η εἰς ε ἐν τῇ γενικῇ· τῷ αὐτῷ λόγῳ καὶ ἐπὶ τῶν εἰς ω μονοσυλλάβων· οἷον, ὁ κλὼν, τοῦ κλωνός· τὰ εἰς ων λήγοντα ὀξύτονα μονοσύλλαβα, μόνως ἀρσενικὰ, καὶ μὴ μόνως θηλυκὰ, προσθέσει τοῦ ος κλίνεται, καὶ φυλάσσει τὸ ω ἐν τῇ γενικῇ· οἷον, πρὼν πρωνός· κλὼν κλωνός· τὸ δὲ χθὼν ἐπειδὴ θηλυκοῦ μόνου γένους ἐστὶ, ἔτρεψε τὸ ω εἰς ο ἐν τῇ γενικῇ.

Φαεινός: (Il. Γ. 247.) Τὰ εἰς νος ὀξύτονα παρώνυμα, μὴ ἐπὶ καιροῦ παραλαμβανόμενα, ἀποστρέφεται τὴν διὰ τοῦ ἰῶτα μόνου γραφήν· ὄρος ὀρεινός· πόθος ποθεινός· τὸ φυζακινὸς διὰ τοῦ ι· παρώνυμον γὰρ ἀπὸ τοῦ φύζα φυζεινός[c]· καὶ πλεονασμῷ τοῦ ακ συλλαβῆς φυζακινός· ἅμα τῷ πλεονασμῷ συσταλείσης τῆς διφθόγγου· σημαίνει δὲ τὸν δειλόν· λεπτὸς λεπτεινὸς, καὶ λεπτακινός· ὡς δίψα διψηρὸς πλεονασμῷ τοῦ ακ διψακερός· ἅμα τῷ πλεονασμῷ συσταλέντος τοῦ η.

Φῄς: Τὸ φῂς οὐ δοξάζει ὁ τεχνικὸς σὺν τῷ ι γράφειν· ἡ μέντοι παράδοσις οἶδεν αὐτὸ σὺν τῷ ι γεγραμμένον· ἔστι δὲ ἀπὸ τῶν εἰς μι, οὐ περισπᾶται γάρ· τὰ γὰρ ἀπὸ τῶν εἰς μι δεύτερα πρόσωπα ἐνεστῶτος χρόνου οὐ περισπᾶται· οἷον,

φῄς που ἄτερ λαῶν πόλιν ἑξέμεν. (Il. E. 473.)

εἶς,

τίς πόθεν εἶς ἀνδρῶν. (Il. Φ. 150.)

τίθης· δίδως· χωρὶς τοῦ εἶμι εἶς, τοῦτο γὰρ περισπᾶται τὸ πορεύομαι σημαῖνον· οἷον, ὡς παρ' Ἡσιόδῳ,

[c] Male Cod. ζύφα ζυφεινός.

τῇ δ' εἰς ἧσ' ἂν ἐγὼ περ' ἄγω καὶ ἀοιδὸν ἐοῦσαν. (Op. I. 206.)

τὸ δὲ,

πῶς δὴ φῆς πολέμοιο[d] μεθιέμεν. (Il. Δ. 351.)

περισπώμενον Ἰωνικόν· οἱ γὰρ Ἴωνες ἀπὸ τῶν αὐτῶν τοῖς ἐνεστῶσιν ἐν τοῖς παρῳχημένοις ἄρχονται· καὶ εἰ μὲν μετὰ τὴν ἀφαίρεσιν τοῦ κλιτικοῦ χρόνου μακρὰ συλλαβὴ ἀπολείποιτο, περισπῶσιν· ἔφης φῆς,

πῶς δὴ φῆς πολέμοιο μεθιέμεν· (Il. Δ. 351.)

ἔβην βῆν,

βῆν δ' εἰς Αἰόλου κλυτὰ[e] δώματα. (Od. K. 60.)

εἰ δὲ βραχεῖα ὀξύνουσιν· ἔσταν στάν· ἔβαν βάν.

Φάμεν:

φάμεν δέ οἱ οὐ[f] τελέεσθαι. (Od. Δ. 664.)

οὐκ ἔστιν ἀπὸ τοῦ ἔφημεν β' ἀορίστου· οἱ γὰρ ἐνεργητικοὶ δεύτεροι ἀόριστοι ἐν τοῖς εἰς μι οὐ συστέλλουσι τὴν παραλήγουσαν αὐτὴν ἐν τοῖς πληθυντικοῖς· οἷον, ἔστην ἔστημεν· ἔγνων ἔγνωμεν· ἐβιῶν ἐβιώμεν· ἥλων ἥλωμεν· ἔφην ἔφημεν· τὸ οὖν ἔφαμεν, ἔνθεν τὸ,

φάμεν δέ οἱ οὐ τελέεσθαι. (Od. Δ. 664.)

παρατατικοῦ ἐστίν· ὁ γὰρ παρατατικὸς ἐπὶ τῶν εἰς μι συλλαβὴν τὴν παραλήγουσαν αὐτὴν ἐν τοῖς πληθυντικοῖς πρὸς ἀναλογίαν τοῦ ἐνεστῶτος· σεσημείωται ἐν τοῖς δευτέροις ἀορίστοις τὸ ἔθην ἔθεμεν, καὶ ἔδων ἔδομεν, καὶ ἧν ἕμεν.

τέλος τοῦ φι.

ἈΡΧΗ ΤΟΥ Χ.

Χραισμῶ: (Il. A. 242.) Παρὰ τὸ χάρις χαρισμῶ, καὶ ἐν ὑπερβιβασμῷ τοῦ ρ, καὶ συναιρέσει τοῦ α ἰῶτα εἰς τὴν αι δίφθογγον· σημαίνει δὲ τὸ διὰ τὴν χάριν προτίθημι.

Χρή: (Il. A. 216.) Διατί ὀξύνεται; πᾶσα λέξις δισύλλαβος ἐν ῥήμασι εἰ μὲν ἔχει ταυτὴν ἀπὸ τῆς ἀρχῆς ἀποκοπτομέ-

[d] Cod. πολέμοιιν. [e] Cod. κλητά. [f] Cod. om. οὐ.

νην τὴν καταλιμπανομένην συλλαβὴν περισπᾷ, εἰ δὲ ἀπὸ τέλους ὀξύνει.

Χρή: (Il. A. 216.) Ἐπίρρημα ἐστὶν ὁμοίως καὶ τὸ δεῖ· ὅτι τὰ ἐπιρρήματα καὶ ἐπίκειται τοῖς ῥήμασι προτασσόμενα, καὶ ὑπόκειται· οἷον, "καλῶς ἀναγινώσκει Δίων·" ταῦτα δὲ τὰ προκείμενα ἐν συντάξει ἐστὶ κατὰ τὰ ἀπαρέμφατα· οἷον, "Ἀπολλώνιον χρὴ γράφειν· Ἀπολλώνιον δεῖ περιπατεῖν·" καὶ ἄλλως κανὼν ἐστὶν ὁ λέγων· τὰ ἐν προσώποις ἀντωνυμικοῖς κατὰ παρασχηματισμὸν ἐκφερόμενα, κατὰ τὸ τρίτον πρόσωπον ἐπιρρήματά ἐστιν· οἷον, "Ἑλληνιστὶ λέγω ἐγώ· Ἑλληνιστὶ λέγεις σύ· Ἑλληνιστὶ λέγει ἐκεῖνος·" ὁμοίως· "ἐμὲ χρὴ γράφειν· σὲ χρὴ γράφειν· ἐκεῖνον χρὴ γράφειν·" ἄρα οὖν κατὰ τὴν τοιαύτην ἀπόδειξιν ἐπιρρήματά ἐστιν· ἕτεροι κανόνες εἰσὶν οἱ λέγοντες αὐτὰ τοῦ μὴ ἐπιρρήματα εἶναι ἀλλὰ ῥήματα· ῥήματα δέ ἐστιν ἐπειδὴ ἴδιον ἐστὶ τῶν συγκεχυμένων ῥημάτων τὸν χρόνον διαστέλλειν· ἐνεστῶτος γὰρ χρόνου γίνεται τὸ χρὴ καὶ τὸ δεῖ· οἷον, "χρὴ γράφειν· δεῖ ἀναγινώσκειν·" παρατατικοῦ δὲ, "ἔδει γράφειν" καὶ "ἐχρῆν ἀναγινώσκειν·" προσελθόντος ἔξωθεν τοῦ ε· ὅπερ ῥήματος ἴδιόν ἐστι· καὶ πάλιν διὰ τὴν κατάληξιν ῥῆμα ἐστὶν, ἕτερος γὰρ ἐστὶ κανών· οὐδὲν ἐστὶν ἐπινοῆσαι εἰς ε καταλῆγον μονοσύλλαβον κατὰ τὸ κοινὸν ἔθος ἐπίρρημα· αἱ γὰρ τοιαῦται προφοραὶ ἐν συναιρέσει ῥημάτων ἴδιαί εἰσιν· οἷον· χέεις· ἔεις· ῥεῖ· καὶ πλέει πλεῖ·

ἕως ἐξ οὐρίας πλεῖς·

πνέει πνεῖ· ἄρα οὖν τὸ χρὴ καὶ τὸ δεῖ ῥήματα εἰσίν· ἕτερος κανὼν ἐστί· πᾶν ῥῆμα μακροκατάληκτον ἐπὶ τῆς μακρᾶς ἔχον τόνον.

Χαλκοχίτων: (Il. A. 371.) Ἐκ τοῦ χαλκὸς καὶ τοῦ χιτὼν χιτῶνος· ὁ κανών· τὰ εἰς ων ἰαμβικὰ, πρὸ τέλους ἔχοντα τὸ ἰῶτα, φυλάσσει τὸ ω ἐπὶ τῆς γενικῆς, ὁμοίως βαρύτονα καὶ ὀξύτονα· Πυθῶνος, ὄνομα πόλεως. κιθὼν κιθῶνος· τρίβων τρίβωνος τὸ διδασκαλικὸν ἱμάτιον· Σίμων Σίμωνος· διαφέρει χιτὼν καὶ χιτωνίσκος· ὅτι ἐπὶ μὲν τοῦ ἀνδρὸς λέγεται χιτὼν, ἐπὶ δὲ τῆς γυναικὸς χιτωνίσκος· εἶπε δὲ ὁ ποιητὴς τὸ χιτὼν γενικὸν

πρῶτον "εἵματα ἀποδύσω[g]" τὸ γὰρ εἶμα γενικόν ἐστι λόγου τὸ εἰδικόν· ἔχει[h] ὁ ποιητὴς τὰ γενικὰ πρῶτον λέγειν, εἶτα τὰ εἰδικὰ, ὡς εἰς τὴν Ζ'.

τόν δ' εὗρ' ἐν θαλάμῳ περικαλλέα τεύχε' ἔχοντα. (Il. Z. 321.)

εἶτα τὸ γενικὸν πρῶτον τὰ εἵματα· καὶ ἐπιφέρει τὸ εἰδικὸν,

χλαῖνάν τ' ἠδὲ χιτῶνα. (Il. B. 262.)

καὶ τὰς ἀναξυρίδας ἤγουν τὰ βράκη· χιτὼν δὲ τὸ ὑποκάμεισον· διατί ἀνεβίβασε τὸν τόνον; ἐπειδὴ τὰ εἰς ων λήγοντα, εἴτε μονοσύλλαβα, εἴτε ὑπὲρ δύο συλλαβὰς, ἐν τῇ συνθέσει ἀνεβίβασε τὸν τόνον· οἷον, χθὼν αὐτόχθων· λειμὼν εὐλείμων· χιτὼν χαλκοχίτων· αἰὼν μακραίων· χιτὼν ἀστροχίτων·

πόλῳ ἀστροχίτωνι.

χωρὶς εἰ μὴ τοπικὴν σχέσιν τινὰ σημαίνει, ὡς τὸ κοιτὼν προκοιτῶν· θυρὼν προθυρῶν· ἐτυμολογεῖται χιτὼν παρὰ τὸ κεχύσθαι ἡμῖν τοῖς ὤμοις χυτὼν, καὶ τροπῇ τοῦ υ εἰς ι[i].

Χατίζεις: (Il. B. 225.) Ἐκ τοῦ αἰτῶ, τὸ ζητῶ καὶ χρήζω· καὶ ἀποβάλλον τὸ ι γίνεται ἀτῶ, καὶ πλεονασμῷ τοῦ χ χατῶ, καὶ κατὰ παραγωγὴν χατίζω· ἢ ἐκ τοῦ ματῶ ματίζω, καὶ τροπῇ τοῦ μ.

Χλαῖνα: (Il. B. 183.) Γίνεται ἐκ τοῦ χλιαίνω, τὸ θερμαίνω, χλίαινα καὶ χλαῖνα· χλαμὺς τὸ περιφερὲς, τὸ ἐν τῇ συνηθείᾳ λεγόμενον σαγομάντιον, ὃ φοροῦσι καὶ οἱ κηροφόροι· τὸ δὲ χλαῖνα καὶ χλανὶς τὶ σημαίνει εὔδηλον.

Χαλεπός: (Il. E. 391.) Ἐκ τοῦ χαλέπτω, καὶ κατὰ παραγωγὴν χαλεπταίνω[k], καὶ ἀποβολῇ τοῦ τ χαλεπαίνω.

Χολωσάμενος: (Il. B. 195.) Τὸ χο μικρὸν, ἐκ τοῦ χέω· ὁ γὰρ χόλος διαχεῖται· ἡ πρώτη γὰρ ἔκβασις τῆς καρδίας καὶ διάχυσις καὶ χολῆ[l] πρὸς ὀργὴν χόλος λέγεται· ποίου εἴδους τῶν ὑποπεπτωκότων; εἰδικοῦ· καὶ τὸ γενικόν ἐστι θυμός· ταῦτα δέ εἰσιν εἴδη· χολῶ καὶ χολῶ διαφέρει· ἐπὶ μὲν τοῦ ὀργιζομέ-

[g] Il. B. 261. ἀπὸ μὲν φίλα εἵματα δύσω. [h] Leg. ἔθος ἔχει. [i] Cf. Etym. Gud. p. 561, 52. et Etym. M. p. 805, 56. [k] Cod. χαλαπταίνω. [l] Sic Cod.

νου ἐκ τοῦ χολή· ἔστι δὲ δευτέρας συζυγίας τῶν περισπωμένων, χολῶ χολᾷς, τὸ πληθυντικὸν,

ἐμοὶ χολᾶτε·

ἐπὶ δὲ * * Χ' ἐκ τοῦ χόλος[m] χολῶ συζυγίας τρίτης τῶν περισπωμένων· χολῶ χολόσω.

Χωλός: (Il. B. 217.) Τὸ χῶ μέγα· ἐκ τοῦ κῶλον, ὃ σημαίνει τὸ ὀστοῦν· ὁ τὸ ὀστοῦν βεβλαμμένος[n]· καὶ τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ, καὶ μεταβάσει τοῦ τόνου γίνεται χωλός. τί διαφέρει χῶλος καὶ χωλός; Χῶλος βαρυτόνως ὄνομα κύριον, ὥσπερ καὶ τὸ Πῶλος ὄνομα· χωλὸς δὲ ὀξυτόνως ὁ τοὺς πόδας βεβλαμμένος.

Χαλκός: (Il. A. 236.) Ἐκ τοῦ Χάλυψ Χάλυβος· σημαίνει δὲ ἔθνος· ἐκεῖ γὰρ εὑρέθη ὁ χαλκός· ἐκ τοῦ οὖν χάλυβος χαλβὸς γίνεται, καὶ τροπῇ τοῦ β εἰς κ χαλκός· καὶ διατί ἐκλήθη χαλκὸς ὁ σίδηρος; διότι πρότερον εὑρέθη παρὰ τοῖς ἀρχαίοις ὁ χαλκός· ὕστερος δὲ εὑρεθεὶς ὁ σίδηρος ἐκλήθη ὁμωνύμως τῷ χαλκῷ· σίδηρος, καὶ σίδηρος χαλκός.

Χερειότερος: (Il. B. 248.) Χερείων, καὶ κατὰ μεταπλασμὸν γίνεται χέρειος· ὥσπερ πλείων, καὶ κατὰ μεταπλασμὸν πλεῖος, καὶ πλεία, καὶ

πλειαί τοι χαλκοῦ κλισίαι. (Il. B. 226.)

τί σημαίνει χερείων; ὁ ἐλάσσων, καὶ γίνεται ἐκ τοῦ χεὶρ χερός· ἐξ αὐτοῦ χερείων, ὁ ταῖς χερσὶν ἥττων κυρίως.

Χρύσεος: (Il. A. 15.) Ἀποβάλλει τὸ ι τῆς ει διφθόγγου· τὰ διὰ τοῦ ιος κτητικὰ ὑπὲρ δύο συλλαβὰς οἱ Αἰολεῖς διὰ τοῦ εος προφέρουσιν· οἷον, φλόγειος φλόγεος· σιδήρειος σιδήρεος· χάλκειος χάλκεος· οὕτως καὶ χρύσειος χρύσεος· πόσας διαφορὰς τοῦ κτητικοῦ· μετουσιαστικοῦ· πόσαι διαφοραὶ τῶν κτητικῶν τρεῖς· οἰκειωτικὸν, συνεκφαντικὸν, μετουσιαστικόν· οἰκειωτικόν ἐστι ὡς τὸ ποτάμιος· θαλάσσιος· συνεκφαντικὸν δὲ ὡς τὸ φιλοσοφικός· ῥητορικός· μετουσιαστικὸς δὲ, ὡς τὸ Αἰάντειος· Ἑκτόρειος.

Χῆραί τε: (Il. B. 289.) Γίνεται δὲ παρὰ τὸ χῶ, τὸ χωρῶ,

[m] Sic Cod. [n] Cod. βεβαμένος.

ὁ μέλλων χήσω, καὶ ἐξ αὐτοῦ χῆρα, ἡ χωρητικὴ τῆς λύπης· ἐτυμολογεῖται παρὰ τὸ χαρὰ, καὶ ἀναδόσει τοῦ τόνου, καὶ τροπῇ τοῦ α εἰς η, χῆρα· κατὰ ἀντίφρασιν ἡ ἐστερημένη τῆς σωφροσύνης καὶ τῆς χαρᾶς.

Χειμέριαι: (Il. B. 294.) Τὸ ρι ἰῶτα διατί; τὰ διὰ τοῦ ιος καθαρὸν ἐχούσης τε παραληγούσης τὸ ρ, καιροῦ ὑπόνοιαν ἔχοντα, διὰ τοῦ ι γράφεται· χωρὶς εἰ μὴ[o] ὦσιν ἀπὸ τῶν εἰς ος οὐδετέρων· οἷον, ἀκαίριος, ὁ μὴ ἔχων καιρόν· ὥριος, ὁ τῆς ὥρας προέφθασας ἐν ἀωρίᾳ· παναώριος,

ἀλλ' ἕνα παῖδα τέκεν[p] παναώριον. (Il. Ω. 540.)

ἑσπέριος· ἡμέριος· ἠέριος· καίριος· ἀώριος·

πραγμάτων ἀωρίων·

εἶπε χωρὶς εἰ μὴ ὦσιν ἀπὸ τῶν εἰς ος οὐδετέρων, διὰ τὸ θέρος θέρειος· λοιπὸν οὖν ἐκ τοῦ χειμερινὸς κατ' ἐκβολὴν τοῦ νυ χειμέριος· ὥσπερ ἑσπερινὸς ἑσπέριος· τὸ χει δίφθογγος διατί; ἐκ τοῦ χεῦμα· ὥσπερ ἐκ τοῦ πνέω πνεύσω γίνεται πνεῦμα, οὕτως ἐκ τοῦ χέω χεύσω χεῦμα, καὶ τροπῇ τοῦ υ εἰς ι χεῖμα, ὡς δίφρος[q] δίφρος· ἡ ἐξ αὐτοῦ χειμέριος.

Χθιζά: (Il. B. 303.) Ἐπίῤῥημα ἀπὸ ὀνόματος γενόμενον εἰς ἐπίῤῥημα, ὡς ἐν τῷ ἐτεὸν καὶ τὸ δηρόν· χθιζὸς ὀξύνεται· τὰ εἰς ζος ἀπὸ ἐπιῤῥημάτων παραγόμενα, ἢ τριγενῆ ὄντα, ὀξύνονται· οἷον, χθιζός· πρωϊζός· καὶ πόθεν παρήχθη; ἐκ τοῦ ἐχθές· καὶ ποῖον ἐστὶ ἀναλογώτερον, καὶ κυριώτερον, καὶ πρῶτον, τὸ χθὲς ἢ τὸ ἐχθές; τὸ ἐχθές· ἐπειδὴ κανὼν ἐστὶν ὁ λέγων, ὅτι πᾶν ἐπίῤῥημα μονοσύλλαβον ἀπαθὲς κατ' ἰδίαν ῥητὸν, μακροκατάληκτον[r] φύσει ἢ θέσει· οἷον, μή· νή· πλήν· δήν· πύξ· λάξ· μάψ· ἄψ· καὶ τὰ τοιαῦτα· πρόσκειται μὴ μονοσύλλαβα διὰ τὰ δισύλλαβα· πρόσκειται ἀπαθές· διὰ τὸ δὶς καὶ τρίς· ταῦτα γὰρ κατὰ πάθος εἰσὶν ἐκ τοῦ δυάκις καὶ τριάκις· πρόσκειται κατ' ἰδίαν ῥητὸν, διὰ τὸ λα ἐπιτατικὸν μόριον, καὶ τὸ α τὸ στερητικόν· εἰ ἄρα οὖν τὸ χθὲς ἐπίῤῥημα ἐστὶ, καὶ μονοσύλλα-

[o] Cod. εἰμί. [p] Cod. τέκον παῖδα. [q] Leg. δύφρος.

[r] Etym. M. p. 809, 26. μακροκαταληκτεῖ· cæterum in hac voce plen. est noster et correctior Etym. Gud. p. 565, 21.

βον, καὶ κατ' ἰδίαν ῥητὸν, ἔδει αὐτὸ εἶναι μακροκατάληκτον, εἴτε φύσει, εἴτε θέσει· ὥστε τὸ ἐχθὲς ἀναλογώτερόν ἐστιν ἐκφεῦγον τὴν παραλογίαν τοῦ χθές· γίνεται ἐκ τοῦ ἐκθέω, ἐκθεύσω, ἐχθές· ἡ ἐκθεύσασα ἡμέρα· ἐτυμολογεῖται δὲ παρὰ ἐκτὸς ἡμῶν γενέσθαι ταύτης τῆς ἡμέρας.

Χήν: (Il. B. 460.) Ὄνομα θηλυκόν· ἔστι δὲ κοινὸν τῷ γένει ὁ χὴν καὶ ἡ χήν· γίνεται δὲ παρὰ τὸ ἠχὴ ὃ σημαίνει τὴν βοὴν, ἠχὴν ἡ αἰτιατικὴ καὶ ἀφαιρέσει τοῦ η χήν· κρακτικὸν γὰρ καὶ φωνητικόν· ἔστι δὲ εἰδικόν.

Χθών: (Il. B. 465.) Παρὰ τὸ χῶ τὸ χωρῶ. χὼν καὶ πλεονασμῷ τοῦ θ χθών· ἡ πάντας χωροῦσα· ὁ κανών· πᾶν ὄνομα μονοσύλλαβον εἰς ἀμετάβολον λῆγον προσθέσει τοῦ ος κλίνεται· εἴρηται ἐν τῷ φρήν· περὶ δὲ τῆς χθονὸς εἴπωμεν ὅτι κανὼν ἐστὶν ὁ λέγων, ὅτι τὰ εἰς ων λήγοντα ὀξύτονα μονοσύλλαβα, μόνως ἀρσενικὰ, καὶ μὴ μόνως θηλυκὰ, φυλάσσει τὸ ω ἐπὶ τῆς γενικῆς· οἷον κλὼν κλωνός· πρὼν πρωνός·

ὥστε πρὼν ἰσχάνει ὕδωρ. (Il. P. 747.)

τὸ δὲ χθὼν ἐπειδὴ μόνως ἐστὶ θηλυκοῦ γένους, τούτου χάριν ἔτρεψε τὸ ω εἰς τὸ ο ἐπὶ τῆς γενικῆς· οἷον, τῆς χθονός· τὸ νι ι[s]· τὰ ἀπὸ μονοσυλλάβων ὀξυτόνων διὰ τοῦ ιος γινόμενα ὀνόματα, μὴ σημαίνοντα μέρος.

Χέω καὶ Προχέοντο: (Il. B. 465.) Σημαίνει μεταφορικῶς τὸ προήρχοντο· ἀπὸ μεταφορᾶς τῶν ποταμίων ῥευμάτων· κυρίως γὰρ τὸ χέω ἐπὶ τοῦ ὕδατος λέγεται.

Χαίρω: (Il. A. 158.) Πῶς τὸ χαίρω ἐν φωνῇ ἐνεργητικοῦ πάθος δηλοῦντος· τὸ ἐχάρην παθητικόν ἐστι, τὸ χαίρω ἐνεστῶτος· ἐκλέλοιπεν ἡ φωνὴ ἡ παθητική· τοῦ δὲ ἐχάρην δευτέρου ἀορίστου, ἡ ἐνεργητική· ὁ γὰρ ἔχαιρον δεύτερος ἀόριστος ἐνεργητικὸς οὐ λέγεται· εἰκότως ὁ παθητικὸς μὴ ἔχων τι τὸ ὀφεῖλον ἐλέγξαι τὴν παραλογίαν αὐτοῦ, ἔλαθε τὴν παραλογίαν, καὶ ὑπεισῆλθεν εἰς χρεῖαν τοῦ ἐνεργητικοῦ.

Χαμάδις: (Il. Γ. 300.) Ἐπίρρημα τοπικὸν ἐκ τοῦ χαμαί·

[s] Hæc forsan ad χθόνιος spectant, quod excidit.

τὸ δὶς ἰῶτα· τὰ διὰ τοῦ αδις τρισυλλαβα ἐπιῤῥήματα τῷ α παραληγόμενα διὰ τοῦ ἰῶτα γράφεται καὶ βαρύνονται· οἷον, φυγάδις· ὀκλάδις· χαμάδις· σεσημείωται τὸ ὁμαδὶς ὀξυνόμενον.

Χειμῶνος: (Il. Ρ. 549.) Ὁ κανών· τὰ εἰς ων ὀξύτονα περιεκτικά.

Χαμᾶζε[t]: (Il. Γ. 29.) Ἐπίῤῥημα ἐστὶ παρὰ τὸ χαμαὶ χαμᾶζε· διατί προπερισπᾶται, τοῦ κανόνος λέγοντος ὅτι τὰ εἰς ζε λήγοντα ἐπιῤῥήματα τῷ α παραληγόμενα προπαροξύνεται· οἷον, θύραζε ἐκ τῆς θύρας· καὶ ἔραζε ἐκ τῆς ἔρας· τοῦτο δὲ ἐπιῤῥηματικῶς ἐστὶν, ἀπὸ γὰρ τοῦ χαμαὶ γέγονεν χαμᾶζε· καὶ ἴσως διήλλαξε πρὸς τὰ ἄλλα παρὰ τὸ[u] σημαινόμενον, διήλλαξε δὲ παρὰ τὸν τόνον· ἢ καὶ ἄλλως· διότι ἐκεῖνα μὲν τὸ α βραχὺ αὐτὸ ἔχουσι· τὸ δὲ χαμᾶζε μακρόν· κανὼν γάρ ἐστιν ὁ λέγων· τὰ εἰς ζε λήγοντα ἐπιῤῥήματα συνεσταλμένον ἔχει τὸ πρὸ τέλους α· οἷον, θύραζε· ἔραζε· πλὴν τοῦ χαμᾶζε.

Χαλκήρεϊ: (Il. Γ. 316.) Γένους θηλυκοῦ· ἡ εὐθεῖα χαλκήρης χαλκήρεος καὶ χαλκήρους· ὁ κανών· τὰ ὁμοφωνοῦντα θηλυκὰ τοῖς ἀρσενικοῖς· τὸ ἀρσενικὸν ὁ χαλκήρης· γίνεται ἐκ τοῦ χαλκὸς, καὶ τοῦ ἀρῶ, τὸ ἁρμόζω· τὸ κη η διατί; τὰ διὰ τοῦ ηρης βαρύτονα διὰ τοῦ η γράφεται· οἷον, ποδήρης, ἱερατικὸς χιτών· κλινήρης· φρενήρης.

Χορόνδε: (Il. Γ. 393.) Ὄνομα ἐκ τοῦ χορός· ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον· τὸ δὲ οὐκ ἔστι μέρος λόγου, ἀλλὰ μόριον, λαμβάνεται δὲ ἀντὶ τῆς εἰς προθέσεως.

Χωσαμένη: (Il. Γ. 414.) Ἐκ τοῦ χώω[x], οὗ ὁ παθητικὸς χώομαι· ἢ παρὰ τὸ χω τὸ ὀργίζομαι, ὅπερ γέγονεν ἀπὸ τοῦ χέω χῶ, παρὰ τὸ διαχεῖσθαι τὴν χολήν· χῶ οὖν χώσω, καὶ ἡ μετοχὴ παθητικὴ χοόμενος χούμενος, καὶ χώμενος Δωρικῶς, ὡς μοῦσα μῶσα[y] καὶ πλεονασμῷ τοῦ ο χωόμενος, ἐν ὑπερβιβασμῷ, ὡς ὄρωρεν ὤρωρεν.

[t] Cod. χαμάζε et infra. [u] Cod τό (ά superscr.). [x] Cod. χοω (ώ superscr.). [y] Cod. μοῦσα.

Χειρός: (Il. A. 323.) Κατὰ ἀφαίρεσιν τοῦ ε γέγονε, παρὰ τὸ ἔχειν, ὡς παρὰ τὸ ἐνὶ εἴκειν κατὰ Σιμωνίδην νίκη[z], καὶ

ῥόδην συνηυλίσθην.

ʽΙππῶναξ· μονῆρες δέ ἐστιν· οὐδὲν γὰρ εἰς ηρ λῆγον μονοσύλλαβον θηλυκόν· πρόσκειται θηλυκὸν, ἔστι γὰρ Εἶρ ποταμὸς, οὗ μέμνηται Ἀρτεμίδωρος ἐν Γεωγραφουμένοις· καὶ φθεὶρ, εἴτε ὁ ἥρως, εἴτε τὸ ζῶον, εἴτε ὁ καρπὸς τῆς πίτυος· ἡ κλίσις διττή· χειρὸς καὶ χερός· ἀναλογώτερος δὲ ἡ τὴν δίφθογγον ἔχουσα· λόγοις τρισί· τῷ ἀπὸ γενικῆς· τῷ ἀπ' εὐθείας· τῷ ἀπὸ στοιχείων· ἀπὸ γενικῆς οὕτως· πᾶσα γενικὴ εἰς ρος λήγουσα ἢ θηλυκὰ ὀνόματα μονοσύλλαβα ἀποβολῇ τοῦ ος ποιεῖ τὴν ὀνομαστικήν· ψαρὸς ψάρ· κηρός· κήρ·

φωρὸς δ' ἴχνια φὼρ ἔμαθε·

θηρὸς θήρ· Νωρὸς Νὼρ ἔθνος· οὕτως χειρὸς χείρ· ἡ χὲρ ἄλεκτος· ἀπὸ δὲ εὐθείας οὕτως· πᾶσα εὐθεῖα μονοσύλλαβος εἰς ρω λήγουσα, ἀρσενικοῦ ἢ θηλυκοῦ ὀνόματος, προσθέσει τοῦ ος τὴν γενικὴν ποιεῖ· ἀπὸ στοιχείων δὲ οὕτως· τηνικαῦτα ἀποπίπτει φωνῆεν ἐν τῇ κλίσει ὅτε εἰς σ λήγει ἡ εὐθεῖα· κτεὶς κτενός· εἷς ἑνός· βοῦς βοός· νεὺς νεώς· γραῦς γραός· τὸ δὲ χεὶρ εἰς ρω λῆγον οὐκ εἰς σ· ἐκ πάθους ἄρα τὸ χερὸς ἦν· ἰστέον δὲ ὅτι ὁ ποιητὴς φυλάξας τὴν δίφθογγον ἐν παντὶ ἀριθμῷ, καὶ ἐν πάσῃ πτώσει· οἷον,

αἱματόεσσα δὲ χείρ. (Il. E. 82.)

καὶ

χειρὸς ἕλον τε. (Il. A. 323.)

καὶ

χειρί τέ μιν κατέρεξε. (Il. A. 361.)

καὶ

χεῖρ' ἕλε δεξιτερήν. (Od. A. 121.)

καὶ

σπόγγῳ δ' ἀμφὶ πρόσωπα καὶ ἄμφω χεῖρ' ἀπομόργνυ[a]. (Il. Σ. 414.)

καὶ

χεῖρες τ' ὀφθαλμοίτε. (Il. P. 387.)

[z] Leg. vid. νίκη, καὶ ὡς ἐρωδιὸς ῥωδιός· ῥωδιῷ κατηυλίσθην. quæ sunt verba Hipponactis ap. Etym. M. p. 380, 40. [a] Cod. ἀπεμόργνυ.

καὶ

χειρῶν δ' ἀψάμενος. (Il. K. 377.)

καὶ

χεῖρας τ' ἀλλήλων[b] λαβέτην. (Il. Z. 233.)

διήλλαξεν ἐν τῇ πληθυντικῇ δοτικῇ,

χερσὶ μὲν οὔτοι ἔγωγε μαχήσομαι. (Il. A. 301.)

οὔκετι δὲ χειρσί· τοῦτο δὲ ἐν παραγωγῇ οὐ χέρεσσιν εἶπε ἀλλὰ χείρεσσι·

τοίω τὼ χείρεσσι ὑφ' ἡμετέρῃσι[c]. (Il. E. 559.)

καὶ σχεδὸν ἐμήνυσεν ἡμῖν τὸ αἴτιον· οὐδέποτε γὰρ μετὰ τοῦ χ εὑρίσκεται δίφθογγος καταλήγουσα εἰς ρω, συμφώνου ἐπιφερομένου· οἷον, χάρμα·

αὐλῆς ἐν χόρτῳ. (Il. Λ. 773.)

χέρνιβα δ' ἀμφίπολος. (Od. A. 136.)

καὶ πῶς ἀναλυομένου τούτου τοῦ λόγου, καὶ ἐπὶ τοῦ φι, καὶ γὰρ οὐδὲ μετὰ τοῦ φι εὑρίσκεται δίφθογγος καταλήγουσα εἰς ρω, συμφώνου ἐπιφερομένου· οἷον, φάρμακον·

φροντίδος εὑρείης

στῆθος καὶ χείλεα φύρσω. (Od. Σ. 21.)

κείμενον ἐν φέρτρῳ. (Il. Σ. 236.)

φάρμακον· ἡ φθειρσὶ δοτικὴ συνέστη παρὰ Ἀρχιλόχῳ·

φθειρσὶ μοχθίζοντα.

λέγομεν οὖν ὅτι ἡ χεὶρ ἐπὶ τῆς γενικῆς, καὶ χειρὸς καὶ χερὸς, κατὰ ἀποβολὴν τοῦ ι· ἡ δὲ φθειρὸς οὐ διὰ τοῦτο οὐ δὲ φθειρσίν.

Χῦντο:

χῦντο χαμαὶ χολάδες. (Il. Δ. 526.)

καὶ

χῦτο δ' αἷμα.

καὶ

ἀμφ' αὐτῷ ἐχύμην·

ἀόριστος β' μέσσου χρόνου πεποίηται παρὰ τὸ χῦμι· τοῦτο

[b] Cod. ἀλλέλων. [c] Leg. χ. ὑπ' Αἰνείαο δαμέντε.

παρὰ τὸ χύω· ἔνθα ὁ κέχυκα παρακείμενος· τὸ δὲ χύω παρὰ τὸ χέω κατὰ μετάληψιν· καὶ γὰρ τοὺς θεοὺς λέγουσι θυοὺς Κεῖοι· καὶ τὸ ἡδέως ἡδύως· καὶ τὸ Νεαπολίτης Νυοπολίτης.

Χόλος: (Il. A. 31.) Ὄνομα ῥηματικὸν παρὰ τὸ χέω· εἴδους παραγώγου· τὰ δὲ εἰς λος λήγοντα δισύλλαβα τῷ ο παραληγόμενα βαρύνεσθαι θέλει· στόλος· ψόλος· ὅλος· φόλος· θόλος· χόλος· δόλος· εἴ τι δὲ ὠξύνθη πρὸς διαστολὴν σημαινομένου ὡς τὸ ὅλος καὶ ὁλός· θόλος καὶ θολὸς, ὁ τῆς σηπίας, τὸ δὲ αὐτὸ λέγεται ὁλός· ἐπειδ' ἂν γὰρ ληφθείη ἀφίησι τοῦτο· τὸ δέ·

ὦ ὀλὲ δαῖμον[d].

κτητικὸν ἐκ τοῦ ὀλοὸς συγκέκοπται, ὡς ἐκ τοῦ ἠλεὲ ἠλὲ,

μαινόμενε φρένας ἠλέ.

οἱονεὶ ὁ τῇ ἠλός· ὅθεν τινὲς γράφουσι,

Τρῳὰς δὲ στίχας ἠλὸς Ἄρης ὤτρυνεν. (Il. E. 461.)

Χρύσεα: (Il. Z. 236.) Ὄνομα ἐπιθετικὸν οὐδέτερον πτώ-

[d] Hoc fragmentum ex Herodiano plenius citat Etym. p. 622, 47.

ἔχει μ' ἄχος ὦ ὀλὲ δαῖμον.

sed ex Alcmane derivatum esse docemur ex Grammatico Cod. Barocc. 50. f. 313. quem hic exscribere haud pœnitebit:

Οὔλη δ' ἐπενήνοθε λάχνη. (Il. K. 134.)

Νικίας ὀξύνει, ὡς τῷ,

οὐλὴν μὲν πρῶτον τὴν δ' ἐφράσατο ὀφθαλμοῖσιν. (Od. Ω. 330.)

οἱ δ' ἄλλοι βαρύνουσιν ὡς τῷ κούρην, οὕτως γὰρ καὶ τὸ ἀρσενικὸν αὐτῶν ἐβαρύνετο·

οὔλων τε ταπήτων. (Il. Π. 224.)

τοῦτο συγκατατίθεται καὶ ὁ Ἀσκαλωνίτης καὶ Ἀλεξίων καὶ Ἀρίσταρχος· καὶ μή ποτε ἀναλόγως κατὰ τὴν κοινὴν συνήθειαν, εἴγε ὀξύνουσι τὸ ὄνομα, λέγοντες οὐλὸς ἄνθρωπος, καὶ οὐλὸν, καὶ οὐλὴ κόμη· οὐ δέον δέ· τὰ γὰρ εἰς λος λήγοντα δισύλλαβα, μὴ ἔχοντα πρὸ τοῦ λ ἄλλον σύμφωνον, παραληγόμενα δὲ τὸ ο, ἤ τοι μόνῳ, ἢ μεθ' ἑτέρου φωνήεντος, βαρύνεται· πόλος· στόλος· θόλος· ὅλος· κοῖλος· δοῦλος· οὕτως δὲ καὶ οὖλος· προσέθηκα δὲ μὴ ἔχοντα πρὸ τοῦ λ ἄλλο σύμφωνον, διὰ τὸ μοχλός· πολλός· οὕτως ἀντιπίπτει τὸ θολὸς κατ' ὀξεῖαν τάσιν ὁπότε σημαίνει τὸ μέλαν τῆς σηπίας· πρὸς γὰρ ἀντιδιαστολὴν τοῦ,

μεσσηγύτε τε θόλου καὶ ἀμύμονος ἕρκεος αὐλῆς. (Od. X. 442.)

οὕτως ἐτονώθη· οὐδὲ τὸ Ἀλκμανικὸν* ἔχοι μάχης "ὦ λε δαῖμον" τοῦ γὰρ ὄλωλε συγκοπή ἐστιν.

* MS. ἀλμανικόν.

σεως[c] εἴδους κτητικοῦ παρὰ τὸ χρυσὸς χρύσειος, καὶ κατὰ συναλιφὴν χρυσοῦς, καὶ παρὰ τῷ ποιητῇ εὕρηται τὸ μὲν ἐντελὲς Ἰωνικῶς,

χρυσέῃ ἐν ληκύθῳ. (Od. Z. 79.)

τὸ δὲ κατὰ συναλιφὴν,

οὐδ' εἰ χρυσῇ Ἀφροδίτῃ. (Il. I. 389.)

ὑφαιροῦσι δὲ οἱ Ἴωνες τὸ ι τῶν κτητικῶν· οἷον, ἀπὸ τοῦ χαλκὸς χάλκειος χάλκεος[f]· Ἕκτωρ Ἕκτορος Ἑκτόρειος,

Ἑκτόρεον δὲ χιτῶνα. (Il. B. 416.)

τὰ δὲ εἰς ος λήγοντα δισύλλαβα ὀξύτονα, μακρᾷ παραληγόμενα, διὰ τοῦ ι ποιεῖται τοὺς κτητικοὺς τύπους· οἷον, ῥυθμὸς ῥύθμιος· βωμὸς βώμιος· Λυδὸς Λύδιος· καιρὸς καίριος· σεσημείωται τὸ χρυσὸς, ὅτι χρύσειος, καὶ χαλκὸς, ὅτι χάλκειος διὰ τῆς ει διφθόγγου, ὡς σιδήρειος· φλόγειος.

Χθιζός: (Il. A. 424.) Παράγωγον· παρὰ τὸ χθὲς ἐπίρρημα· τὰ δὲ εἰς ζος λήγοντα τριγενῆ πάντα ὀξύνεται· πεζός· χθιζός· πρωϊζός· τὰ δὲ μονογενῆ βαρύνεται· ὄζος· ῥοῖζος· σεσημείωται τὸ μαζός· ὅτι μονογενὲς ὂν ὀξύνεται· μήποτε οὖν ἀναλογώτεροι οἱ Ἴωνες μαστὸν λέγοντες.

Χαλκωδοντιάδης: (Il. B. 541.) Οἱ μὲν λέγουσιν ἀπὸ εὐθείας Χαλκωδοντιὰς γίνεσθαι, οἱ δὲ ἀπὸ τοῦ Χαλκωδόντιος κτητικοῦ· ἀλλ' οὐδέποτε τὰ πατρωνυμικὰ ἀπὸ κτητικοῦ γίνεται, ἀλλ' ἀπὸ κυρίων· ἄμεινον οὖν, πλεονασμὸν λαμβάνειν· γέγονεν οὖν ἀπὸ τῆς περιττοσυλλάβου γενικῆς, ὡς γὰρ Ἀγαμεμνονίδης· Τεκτονίδης, οὕτως Χαλκώδοντος Χαλκωδοντίδης[g] καὶ πλεονασμῷ Χαλκωδοντιάδης.

Χῶρι: Τὰ ἀποβάλλοντα τὸ σ, ἐὰν φυλάξωσι τὸ αὐτὸ σημαινόμενον φυλάσσουσιν[h]· οἷον, πολλάκις πολλάκι· τετράκις τετράκι· μέχρις μέχρι· οὕτως οὕτω· χωρὶς εἰ μὴ χαρακτὴρ κωλύσῃ· τοῦτο γὰρ βαρύνεται πρὸς τὸν χαρακτῆρα τοῦ νόσφι· ἄγχι· ἶφι· αὖθι· πρόσκειται ἐὰν φυλάξωσι τὸ αὐτὸ σημαινόμενον φυλάσσουσι τὸν αὐτὸν τόνον, διὰ τὸ ἄντικρυς ἀντικρύ· ἐν-

[c] Sic om. casu. [f] Cod. χάλεος. [g] Cod. Χαλκωδοντιάδης.
[h] Suppl. τὸν αὐτὸν τόνον.

ταῦθα γὰρ ἐπειδὴ οὐκ ἐφυλάχθη τὸ αὐτὸ σημαινόμενον· τὸ μὲν γὰρ ἄντικρυς σημαίνει τὸ φανερῶς, τὸ δὲ ἀντικρὺ, τὸ ἐξ ἐναντίας· τούτου χάριν οὐδὲ ὁ αὐτὸς τόνος ἐφυλάχθη.

Χηναλώπηξ: Τοῦτο ἀπὸ εὐθείας οὐ συντίθεται, ἀλλὰ μᾶλλον ἀπὸ γενικῆς· καὶ εἰ μὲν ἐπιφερομένη λέξις ἄρχεται ἀπὸ συμφώνου, ἀποβάλλει ἡ γενικὴ τὸ σ· οἷον, χὴν χηνός· χηνοτρόφος· χηνοβοσκός· φρὴν φρενός· φρενοβλαβής· εἰ δὲ ἀπὸ φωνήεντος ἄρχεται, ἀποβάλλει ἡ γενικὴ καὶ τὸ ο· οἷον, φρεναπάτης· οὕτως καὶ ἀπὸ τοῦ χὴν χηνὸς χηναλώπηξ· πρόσκειται, ἀλλὰ μᾶλλον ἀπὸ γενικῆς, ἐπειδὴ καὶ ἀπὸ δοτικῆς γίνεται σύνθεσις· ὡς ἐπὶ τοῦ πῦρ πυρὸς πυρίβλητος καὶ πυρίκαυστος· δεῖ προσθεῖναι ἐν τῷ κανόνι, χωρὶς τῶν ἀπὸ τοῦ ε ἀρχομένων, καὶ τῶν ἀπὸ τοῦ η· τούτων γὰρ ἀρχομένων πολλάκις τὸ σ μόνον ἀποβάλλεται καὶ οὐχὶ τὸ ο μόνον· οἷον, λιμὴν λιμένος λιμενοειδής· χεὶρ χειρὸς χειροήθης, καὶ χειροεργὸς, καὶ κατὰ κρᾶσιν χειρουργός· δεῖ προσθεῖναι καὶ χωρὶς τοῦ χειροάναξ, ὅπερ κατὰ κρᾶσιν τοῦ ο καὶ α εἰς ω γίνεται χειρῶναξ, ὡς Ἱππoάναξ Ἱππῶναξ[i].

Χθὼν, χθόνιος: (Il. B. 465.) Τὰ ἀπὸ μονοσυλλάβων ὀξυτόνων διὰ τοῦ ιος παραγόμενα, μὴ σημαίνοντα μέρος σωματικὸν, μὴ δὲ μετουσιαστικὰ ὄντα, διὰ τοῦ ἰῶτα γράφεται· οἷον, Φρὺξ Φρύγιος· Τρὼς Τρώϊος[k]· δμὼς δμώϊος· Κὰρ Κάριος· Στὺξ Στύγιος· μὴν μήνιος· χθὼν χθόνιος· χεὶρ χείριος καὶ ὑποχείριος· νὺξ νύχιος.

ΑΡΧΗ ΤΟΥ Ψ.

Ψάμαθος: (Il. A. 486.) Λέγεται δὲ καὶ ἄμαθος καὶ πλεονασμῷ τοῦ ψ σπανίως, παρὰ τὸ ἄμαθος, καὶ ἀμαθύνω, καὶ ἠμαθόεις, ὡς ἄνεμος ἠνεμόεις[l],

παρ' ἠνεμόεντα Μίμαντα. (Od. Γ. 172.)

ὁμοίως ἄμαθος ἀμαθόεις καὶ ἠμαθόεις,

[i] Cf. Etym. M. p. 810, 53. [k] Cod. τώϊος. [l] Cod. ἀνεμόεις (ἠ superscript).

Πύλου ἠμαθόεντος. (Il. I. 153.)

παρὰ δὲ τὸ ψάμαθος οὐδέτερον· τὸ δὲ ψάμμος ἀπὸ τῆς ψήφου λέγουσι ψῆφος· ψάμμος προπαροξύνεται· τὰ εἰς ος λήγοντα τὸ α παραληγόμενα, ὁπότε ὑπὲρ δύο συλλαβὰς ἐστὶ μονογενῆ, προπαροξύνεται· Σκίαθος· κίαθος· κάλαθος· Κράπαθος· ψίαθος· ἀντιπίπτει τὸ ὁρμαθός· τὸ δὲ ἀγαθὸς τριγενές ἐστι.

Ψεδνή: (Il. B. 219.) Ἐκ τοῦ φῶ, τοῦ σημαίνοντος τὸ ἀπό τινος μείζονος οὐσίας εἰς ἐλάχιστον καὶ μικρὰ μέρη καθιστῶ· γίνεται ὁ μέλλων ψήσω· ῥηματικὸν ὄνομα ψηνὸς, καὶ πλεονασμῷ τοῦ συμφώνου γίνεται ψεδνός. ὁ γὰρ πλεονασμὸς τοῦ συμφώνου τοῦ φύσει μακροῦ μετέβαλεν εἰς τὴν θέσει μακρὰν, ὥσπερ πένης πενιχρὸς, καὶ μῆκος μικρός· ἐξ αὐτοῦ καὶ ψωμὸς, μέρος τὶ ἐκ τοῦ ἄρτου· ὁ γὰρ ἄρτος ὁλόκληρος· σημαίνει δὲ ψεδνὸς τὸν φαλακρόν.

Ψυχρός: (Il. E. 75.) Ἀμφίβολον πότερον παρώνυμον παρὰ τὸ ψῦχος, ἢ παρὰ τὸ ψύχω ῥηματικόν· ὥσπερ καὶ τὸ κυδρὸς, πότερον παρὰ τὸ κῦδος, ἢ τὸ κυδῶ, ἀφ' οὗ τὸ κυδιῶ, καὶ

κυδιόων, ὑψοῦ δὲ κάρη ἔχει. (Il. Z. 509.)

ἈΡΧΗ ΤΟΥ Ω.

Ὤθουν: Τοῦτο καὶ ἐώθουν, ὥσπερ καὶ τὸ ἑώρων, πλεονασμὸν ἔχει τοῦ ε· ὡς καὶ τὸ ἑώρακα, ὅπερ καὶ διὰ τοῦ ο λέγεται,

πολλὸν γὰρ αὐτοὺς οὐχ ἑώρακα χρόνον.

Ἀριστοφάνης ἐν Πλούτῳ[m]· τοιοῦτον δέ ἐστι καὶ τὸ ἐώνημαι, ἀπὸ γὰρ τοῦ ὠνῶ ὤνημαι ἐστὶ τὸ ἀκόλουθον· Ἀθηναῖοι δὲ ἐώνημαι[n] λέγουσιν, οὕτως καὶ τὸ ἐώθουν,

τήν δε μὲν δίκροις ἐώθουν τὴν θεὸν καὶ κράγμασιν.

Ἀριστοφάνης ἐν Εἰρήνῃ[o]· καὶ τὸ ἀνῶγον ἀνέωγον καὶ ἀνέωξα,

ἀνεωγμένας πύλας·

καὶ ἀνέωκται· καὶ ἡ λοιπὴ κλίσις τοῦ ῥήματος τούτου, καὶ ἀνεώγνυν· ἐπὶ μὲν τοιοῦτο ἐώθουν ἐστὶ, καὶ τὸ ἐξέωσται, καὶ

[m] v. 98. [n] Cod. ὤνημαι. [o] v. 620. ubi edd. κεκράγμασιν.

ἐξεώσθην, καὶ ἀπεωσμένος· ταῦτα δὲ πάντα ἐστὶ ὡς ἀπὸ τοῦ ὤθω βαρυτόνου· ὅθεν ὦσα· τὸ δὲ ἐώθουν ἀπὸ περισπωμένου τοῦ ὠθῶ· καὶ Ἀριστοφάνης ἐν Λυσιστράτῃ,

ἀλλ' ὅμως
ἐωσάμεθα τὸν στρατὸν ξὺν θεοῖς πρὸς ἑσπέραν[o].

τὸ ἐωνούμην Εὔπολις Μαρικᾷ,

κρούων γε μὴν αὐτὰς ἐωνούμην ἐγώ.

γίνονται δὲ καὶ ὑπερβιβασμοὶ χρόνου καὶ πλεονασμοὶ φωνηέντων· καὶ ὑπερβιβασμοὶ μὲν χρόνου· ὑπόρωρεν,

ὑπώρορε βοώμενος.

ἠόρταζον ἑώρταζον· πλεονασμὸς δὲ φωνήεντος· ἴσης εἴσης· ἔδνα ἔεδνα· ἧς ἑῆς·

ἑῆς τὸ πρίν γ' ἐράασθε. (Il. Π. 208.)

ὠνοχόει ἐωνοχόει· ὤνημαι ἐώνημαι, καὶ ἐωνούμην· εἶς ἕεις· ἕρσα ἐέρσα· ᾔδειν ἠείδειν· μύει ἠμύει· ὤθουν ἐώθουν· ἀνεώγνυν[p] ἀνεώγνυν· ἐνούρησεν ἐνεούρησεν Ἀττικῶς· Εὔπολις Αὐτολύκῳ,

ἆρα σφόδρ' ἀνεούρησεν ἐξούλης γέρων;

καὶ Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος·

καὶ τὰς ἀμίδας κατεσκαδάννυσαν, καὶ προσενεούρουν[q].

Ὦμος: Παρὰ τὸ ὦ, τὸ ὑπάρχω, ὁ ὑπομένων τὰ βάρη ἰσχυρῶς.

Ὧτε:

ἀλλ' ἔχον ὥτε τάλαντα. (Il. M. 433.)

τοῦτο σημαίνει τὸ καθάπερ, καὶ γράφεται σὺν τῷ ι· ἔστι γὰρ ὡσεί τε καὶ κατ' ἀποβολὴν τοῦ σ γίνεται ὡεί τε, καὶ κράσει τοῦ ε καὶ ω εἰς τὸ ω, καὶ συναιρέσει τοῦ ω καὶ ι εἰς τὴν ει δίφθογγον γίνεται ὥτε[r],

ἀλλ' ἔχον ὥτε τάλαντα γυνὴ χερνῆτις ἀληθής. (Il. M. 433.)

χερνῆτις ἡ ταπεινὴ, παρὰ τὸ ἐκ χείρων τρέφεσθαι.

Ὥρμαινεν[s]: (Il. A. 193.) Ἐκ τοῦ ὁρμῶ ὁρμαίνω, ὁ παρατατικὸς ὥρμαινεν.

[o] Hæc nullibi ap. Aristoph. occurrunt. [p] Sic.
[q] Demosth. p. 1257. edd. κατεσκεδάννυον et mox προσέουρουν.
[r] Cod. $\overset{\text{ωεί}}{\text{ὥτε}}$. [s] Cod. ὥρμανεν.

ˈΩΜΟΦΑΓΟΝ : Ὄνομα ἐπιθετικὸν σύνθετον παρὰ τὸ φαγεῖν· λωτοφάγος· κρεωφάγος· καίτοι τοῦ ἔφαγον μόνου ἐν χρήσει κατὰ τὸν β' ἀόριστον καὶ ἄλλο κίνημα οὐκ ἔστι αὐτοῦ, οὔτε κατὰ διάθεσιν, οὔτε κατὰ χρόνον· τὸ μέντοι φάγομαι ὅσοι λέξιν[t] ἁμαρτάνουσιν· οὐ γὰρ εἴρηται παρά τινι[u] τῶν παλαιῶν, ἀλλ' ἔδομαι[v]· τὰ δὲ παρὰ τὸ φαγεῖν συντιθέμενα πάντα παροξύνονται.

ˈΩΧΡΗΣΑΝΤΑ[x] : (Od. Λ. 528.) Ἀπὸ τοῦ ὠχρῶ ὠχρεῖς, ὅπερ ἀπὸ τοῦ ὠχρός· τοῦτο παρὰ τὸ χρόος, καὶ τοῦ στερητικοῦ α ἄχροος καὶ ὦχρος· ψιλοῦται· πᾶν φωνῆεν πρὸ δασέος καὶ τοῦ ρω ψιλοῦται· τοῦ δὲ χρόα ἡ εὐθεῖα χροῦς,

οὔτ' ὠχρήσαντα[y] χρόα κάλλιμον.

Ὅμηρος ταῖς πλαγίαις κέχρηται, τῇ εὐθείᾳ οὔ· ἔστι καὶ ἄλλη εὐθεῖα χρὼς σὺν ταῖς πλαγίαις.

ˈΩΚΥΣ : (Il. Α. 58.) Παρὰ τὸ ἀκή· τὸ γὰρ ὀξὺ καὶ ταχύ· καὶ ὡς θάκω θάκος καὶ θῶκος· καὶ ἀράματα ἀρώματα· παρὰ τὰς ἀρὰς τὸ ἐπὶ τῶν ἀρωμάτων· καὶ φωριαμὸς παρὰ τὰ φάρη, τούτων γὰρ δεκτικός· καὶ τὸ σκύβαλον σκύβωλον τῆς ˈΕφεσίου[z] διαλέκτου.

ˆΩ πόποι : (Il. Α. 254.) ˈΕπίῤῥημά ἐστι· καὶ πῶς τιθένται δύο τόνοι; εἰ γὰρ ἦν μέρος λόγου ὤφειλεν ἕνα τόνον ἔχειν· οὐδέποτε γὰρ ἓν μέρος λόγου δύο τόνους ἐπιδέχεται· εἰσὶ δὲ δύο ἐπιῤῥήματα, καὶ ἔστι ἀντὶ τοῦ παπαί· καὶ ἔστι ἐκ παραλλήλου ἓν μέρος λόγου· καὶ λέγομεν ὅτι συνεξηκολούθησε τῇ ὀνοματικῇ πτώσει τῇ ὦ φίλοι· ὤφειλε ὀξύνεσθαι, ὡς γενόμενον ἐκ τοῦ παπαὶ, ἀλλὰ συνεξηκολούθησε[a] τῇ ὀνοματικῇ πτώσει· οἱ γὰρ Σκυθαὶ ἀγάλματά τινα ἔχοντες ὑπόγαια τῶν θεῶν πόπους αὐτὰ ἐκάλουν[b].

ˆΩΜΟΣ : (Il. Α. 46.) ˈΕκ τοῦ οἴσω μέλλοντος· ὁ γὰρ ἐνεστὼς οὐκ εἴρηται, καὶ ὥσπερ τρέπεται εἰς τὴν οι διφθογγον, ὡς ἀγκὼν ἀγκῶνος ἀγκώνη, καὶ ἀγκοίνη· θῶ, τὸ εὐωχοῦμαι, θώσω,

[t] An leg. λέγουσιν? [u] Cod. τι. [v] Cod. ἐδωμαι.
[x] Cod. ὠχρήσαντο. [y] Cod. οὔτω χρήσαντο. [z] Sic Cod.
[a] Cod. συνεξακολούθησε. [b] Cf. Etym. M. p. 823, 24.

θώνη[c] καὶ θοίνη, οὕτως καὶ ἡ οι δίφθογγος τρέπεται εἰς τὸ ω, καὶ γίνεται ὦμος· διαφέρει ὦμος καὶ ὠμός· ὠμὸς ὁ ἀπηνὴς καὶ σκληρός· ὦμος δὲ τὸ μέρος τοῦ σώματος· τὸ ω μέγα· τὰ διὰ τοῦ ωμος δισύλλαβα μονογενῆ, μὴ ἔχοντα ῥῆμα ἀντιπαρακείμενον διὰ τοῦ ε, διὰ τοῦ ω μεγάλου γράφεται· ἐπὶ βαρυτόνου καὶ ὀξυτόνου· ἐπὶ βαρυτόνων· οἷον, κῶμος· μῶμος· ἐπὶ ὀξυτόνων· βλωμὸς, τὸ δῆγμα· ζωμός· ψωμός.

Ὦκα: (Il. A. 447.) Ἐκ τοῦ ὠκέα, καὶ ἐν συγκοπῇ ὦκα· καὶ διατί βαρύνεται; ἐπειδὴ τὰ ἀπὸ πληθυντικῶν οὐδετέρων μεταγόμενα εἰς ἐπιῤῥηματικὴν σύνταξιν ἅπαντα βαρύνεται· οἷον, ταχέα τάχα· σαφέα σάφα· ὠκέα ὦκα· πλὴν τοῦ θαμὰ,

θάμ' ἐβάζετε. (Il. Π. 207.)

τὸ δὲ ὠκέα ἐκ τοῦ ὠκύς· τὸ δὲ ὠκὺς παρὰ τὸ ἀκὴ, ὃ σημαίνει τὴν ὀξύτητα· καὶ τὸ οὐδέτερον ἀκὺ ἀκέα, καὶ μεταθέσει τοῦ α εἰς η γίνεται ἧκα, ἀντὶ τοῦ ἠρέμα, μετὰ ἡσυχίας· τρέπεται δὲ τὸ α εἰς ω μέγα· καὶ γίνεται ὦκα· ὥσπερ ἐστὶ φάρος καὶ ἐξ αὐτοῦ φαριαμὸς καὶ φωριαμός· ἐκ τοῦ ὠκὺς καὶ τοῦ μόρος γίνεται ἐν συνθέσει ὠκύμορος· διατί ἀπέβαλε τὸ σ ἐν τῇ συνθέσει; τὰ γὰρ εἰς υς ἐν τῇ συνθέσει ἀποβάλλει τὸ σ, καὶ φυλάσσει τὸ υ· οἷον ὠκύμορος· ὀξύδρομος· ὀξυθάνατος· ὀξύγραφος· πλὴν τοῦ ἥμισυς, ἀποβάλλων τὴν συλλαβήν· ἡμίονος· ἡμικύκλιον· ἡμίφωνον· ἔστι δὲ τὸ ὦκα ἐπίῤῥημα μεσότητος διὰ τὸν κανόνα· ὅσα ἐν ὁμοφωνίᾳ καθέστηκε πληθυντικοῖς βαρυτόνων ὀνομάτων, ταῦτα μετάγονται εἰς ἐπιῤῥηματικὴν σύνταξιν.

Ὥκεν: Τὸ μὲν ὡς ἀντὶ τοῦ ὅπως· τὸ δὲ κεν ἀντὶ τοῦ ἄν.

Ὡς: Ἐπίῤῥημα παραβολῆς· καὶ πότε ὀξύνεται καὶ βαρύνεται τὸ ὡς; ὅτε ἐπὶ τέλους στίχου κεῖται, ὀξύνεται,

ὄρνιθος ὥς. (Il. Γ. 2.)

καὶ ὅτε προηγεῖται ἐγκλιτικὸν, ἐάντε ἀρχὴ φράσεως, ἐάντε μέσον εἴη,

ὥς μοι καλὰ τὸν οἶτον ἀπότμου παιδὸς ἐνίσποις. (Il. Ω. 388.)
ὥστε γὰρ ἢ παῖδες νεαροὶ, χῆραί τε γυναῖκες. (Il. B. 289.)
ἀλλ' ὥς τις τούτων τε βέλος καὶ οἴκοθι πέμπει. (Il. Θ. 513.)

[c] Cod. θάνη.

βαρυτονεῖται δὲ ἐν ἀρχῇ τασσόμενον, μὴ ἐπιφερομένου ἐγκλιτικοῦ,

ὡς εἰπὼν πυλέων. (Il. H. 1.)
ὡς δὲ λέων μήλοισιν. (Il. K. 485.)
ὡς ἐχάρη Μενέλαος. (Il. Γ. 27.)

καὶ ἐν μέσῃ φράσει μὴ ἐπιφερομένου ἐγκλιτικοῦ, εἰ μὴ σημαίνει τὸ ὅμως, ἢ τὸ οὕτως· ὁπότε γε οὕτως ὑποτάσσοιτο συνδέσμῳ,

ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον. (Od. P. 218.)

καὶ

Ἕκτωρ δ' ὡς εἶδε Τεύκρου[c] βλαφθέντα βέλεμνα. (Il. O. 484.)
Ἕκτωρ δ' ὡς οὐκ ἔνδον ἀμύμονα τέτμεν ἄκοιτιν[d]. (Il. Z. 374.)

Ἀρίσταρχος δὲ παρήνει καὶ Τυραννίων, τὸ ὡς ἐν μέσῃ φράσει περισπᾶν εἰ μὴ ὑποτάσσοιτο συνδέσμῳ, ὡς τὸ καὶ

ἀλλὰ καὶ ὡς ἐθέλω ἐπεὶ ὧς ἄγε νεῖκος Ἀθήνη. (Il. Λ. 721.)
ἀλλὰ καὶ ὧς ἱππεῦσι μετέσσομαι[e]. (Il. Δ. 322.)
ἀλλὰ καὶ ὧς ἐθέλω δόμεναι πάλιν εἰ τόγ' ἄμεινον. (Il. A. 116.)
ἀλλ' οὐδ' ὧς σε ἔολπα ὀνήσεσθαι κακότητος[f]. (Od. E. 379.)

Ὥρα: (Il. E. 749.) Ὄνομα θηλυκόν· τὸ ρα μακρόν· τὰ γὰρ εἰς ρα δισύλλαβα μακρὰ, εἰ μὲν διφθόγγῳ παραλήγεται, συστέλλει τὸ α· οἷον, στεῖρα· πεῖρα· σφαῖρα· σπεῖρα· εἰ δὲ ἑνὶ φωνήεντι, ἐκτείνει τὸ α· χώρα· τραπήρα· ὥρα·

Ὠκεανός: (Il. A. 423.) Παρὰ τὸ ὠκέως νέειν, ὅ ἐστι πορεύεσθαι ταχύ· τὸ α βραχύ· τὰ διὰ τοῦ ανος, εἰ μὲν ὦσι τρισύλλαβα, συστέλλει τὸ α.

Ὦ μάκαρ Ἀτρείδη μοιρηγενὲς ὀλβιόδαιμον: (Il. Γ. 182.) Τί ἔχει ἐξαίρετον οὗτος ὁ στίχος ὑπὲρ τοὺς λοιπούς; μιμεῖται τὰς τοῦ ἡλίου ἀκτῖνας· καὶ ὥσπερ ἐκεῖνος ἀνατέλλων ὀλίγον τι ἐφαπλοῖ τὰς ἀκτῖνας αὐτοῦ, ἐπειδὰν δὲ ἐν τῷ μεσουρανήματι ἔλθῃ τελώτερος γίνεται, οὕτως καὶ οὗτος ὁ στίχος ἀπὸ εὐτελῶν συλλαβῶν ἀρχόμενος ἐπὶ τὸ τέλειον ἔρχεται· τὸ γὰρ ω

[c] Cod. τεῦκρον. [d] Cod. ἄκοιτην. [e] Cod. μεθελεύσομαι.
[f] Cod. καρότητος.

μονοσύλλαβον, τὸ μάκαρ δισύλλαβον, τὸ Ἀτρείδη τρισύλλαβον, τὸ μοιρηγενὲς τετρασύλλαβον.

Ὤμοι: (Il. A. 149.) Ἀναφώνημα ἐστὶ λύπης δηλωτικόν· ἐκ τοῦ οἴμοι κατὰ ἔκτασιν τοῦ ο εἰς ω, εἴρηται γὰρ καὶ οἴμοι δι' ἑνὸς μυ· ἢ ἀπὸ τοῦ ω τοῦ σχετλιαστικοῦ, ὅπερ καὶ εἰς α συστέλλεται· ὡς τὸ "ἆ δειλέ·" ἀντι τοῦ ὦ ἄθλιε· τοίνυν ἀπὸ τοῦ ω ὤμοι· καὶ τὸ ι οὐκ ἔχει.

Ὡς: Ποσαχῶς ἡ παραβολή; παραβολὴ ὀνειδισμοῦ·

ἔθου ἡμᾶς εἰς παραβολὴν ἐν τοῖς ἔθνεσι·

παραβολὴ[g] ὁ αἰνιγματώδης λόγος· ὃ πολλοὶ λέγουσι ζήτημα, ἐμφαῖνον μέντοι· οὐκ αὐτόθεν δὲ πάντως δῆλον ἀπὸ τῶν ῥημάτων ὄν, ἀλλ' ἔχον ἐντὸς κεκρυμμένην διάνοιαν, ὡς ὁ Σαμψὼν ἔλεγεν·

ἐξῆλθεν ἀπὸ στόματος ἰσχυροῦ γλυκύ.

καὶ Σολομών·

τότε νοήσεις παραβολὴν καὶ σκοτεινὸν λόγον.

παραβολὴ καὶ ἡ ὁμοίωσις· "ἄλλην γάρ," φησὶ, "παραβολὴν παρέθηκεν αὐτοῖς λέγων· ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ[h] σπείροντι καλὸν σπέρμα·" παραβολή[i] ἐστι καὶ ἡ τροπικῶς λεγομένη· οἷον ἐστὶ τό· "υἱὲ ἀνθρώπου εἶπον αὐτοῖς τὴν παραβολὴν ταύτην· ὁ ἀετὸς ὁ μέγας, ὁ μεγαλοπτέρυξ·" ἀετὸν λέγει τὸν βασιλέα[k].

Ὦμος: (Il. E. 80.) Διατί βαρύνεται; τὰ εἰς ος λήγοντα δισύλλαβα μονογενῆ. ἀρχόμενα ἀπὸ τοῦ ω, μὴ προσκειμένου τοῦ ι, βαρύνεται· οἷον, ὦρος· ὦμος· ὦχρος· πρόσκειται μονογενῆ διὰ τὸ ὠμὸς, ὁ ἀπηνὴς, καὶ ἡ ὠμὴ, καὶ τὸ ὠμόν· πρόσκειται ἀπὸ τοῦ ω ἀρχόμενα, διὰ τὸ ζωμός· ψωμός· βλωμός· μὴ προκειμένου τοῦ ι, διὰ τὸ ᾠδὸς ὁ τραγῳδός.

Ὡς ἅμα: Ἐν τάχει ἀναγνωστέον τὸ ὡς, ἀντὶ γὰρ τοῦ ἵνα ἐστίν· τὸ δὲ ἅμα δασύνεται· ὥσπερ γὰρ ἀπὸ τοῦ χάζω, τὸ ὑποχωρῶ[l] γίνεται κατὰ ἀποβολὴν τοῦ χ ἄζω ἔμεινε καὶ ἡ ἀναλο-

[g] Cod. παραβω (λ' above). [h] Cod. ἀνων (with overline). [i] παρεβο (λ' above). [k] Cf. Etym. Gud. p. 582, 35. [l] Cod. ὑποχορῶ.

γοῦσα τῷ χ δασεῖα οὕτως καὶ ἐκ τοῦ θαμὰ ὃ σημαίνει τὸν πυκνὸν γίνεται κατὰ ἀποβολὴν τοῦ θ ἅμα, τὸ γὰρ πυκνὸν καὶ ἐπάλληλον ἅμα γίνεται, καὶ ἐν τῷ αὐτῷ καιρῷ· τὸ δὲ ἅμα βαρύνεται· ἐπειδὴ τὰ εἰς α λήγοντα δισύλλαβα ἐπιῤῥήματα ἅπαντα βαρύνονται· οἷον, ὦκα· τάχα· ἅμα· σάφα· λίγα· λίπα· χωρὶς τοῦ θαμά· ἅμα δὲ σημαίνει ὧν ἡ γένεσις ἐν τῷ αὐτῷ χρόνῳ· οἷον,

> ἅμα[m] τράφεν ἠδ' ἐγένοντο. (Il. Λ. 251.)

ὪΜΟΣΕ ΚΑΡΤΕΡῸΝ ὍΡΚΟΝ: (Il. Τ. 127.) Τὸ ὀμῶ οὐ τρίτης ἐστὶ συζυγίας μόνον, ἀφ' ἧς ὁ ὀμόσω μέλλων, καὶ ὤμοσα ἀόριστος καὶ ὀμώμοσθαι Ἀττικὸν παρακείμενον· ἀλλὰ καὶ πρώτης, ἀφ' ἧς καὶ τὸ Δωρικὸν ὀμεῖται παρ' Ἡσιόδῳ καὶ Ἀριστοφάνει ἐν Νεφέλαις[n].

ὨΡΈΧΑΤΑΙ: Παρὰ τὸ ὀρέγω ὁ παρακείμενος ὤρεχα, ὁ παθητικὸς ὤρεγμαι, καὶ τὸ τρίτον ὤρεκται, καὶ Ἰακῶς ὠρέχαται, καὶ Ἀττικῷ διπλασιασμῷ ὀρωρέχαται·

> κυάνεοι δὲ δράκοντες ὀρωρέχαται. (Il. Π. 834.)

Ὦ: Ἐξαχῶς ἐλέγχεται τὸ τῷ τῆς κλητικῆς μὴ εἶναι ἄρθρον· πᾶν ἄρθρον ἀπὸ φωνήεντος ἀρχόμενον δασύνεται· καὶ πᾶν ἄρθρον προτακτικὸν θέλει ἢ ὑποτακτικόν· καὶ πᾶν ἄρθρον διαλλάσσειν θέλει ἐν τοῖς τρισὶν γένεσι, καὶ ἐν τοῖς τρισὶν ἀριθμοῖς· καὶ πᾶν ἄρθρον τρίτου προσώπου θέλει εἶναι, καὶ οὐχὶ δευτέρου· καὶ πᾶσα κλητικὴ τὸν ἴσον χρόνον θέλει ἔχειν τῆς εὐθείας, ἐλάττονα, οὐδέποτε δὲ μείζονα.

Ὦ ΑἼΑΝΤΕ: Ὁ τόνος· πᾶσα πτῶσις ὁμοφωνήσασα ἑτέρᾳ πτώσει κατὰ τὴν αὐτὴν διάλεκτον, καὶ τὸν αὐτὸν ἀριθμὸν, ὁμοτονεῖν θέλει καὶ ὁμοχρονεῖν αὐτῇ.

m Cod. ἅμεν. n Cod ἐν εφε^λ.

ΤΕΛΟΣ ΣΥΝ ΘΕΩ ΤΩΝ ῾ΟΜΗΡΟΥ ᾿ΕΠΙΜΕΡΙΣΜΩΝ.

INDEX GLOSSARUM.

INDEX AUCTORUM.

ERRATA.

P. 114, 2. pro *παρεσχηματισμὸν* leg. *παρασχηματισμόν*.
P. 263, 3. pro *λάχος* leg. *λέχος*.
P. 285, 19. pro *γλυχερώτερος* leg. *γλυκερώτερος*.
P 370, 17. pro ΠΟΝΤΙΑ leg. ΠΟΤΝΙΑ.